ἐκζητεῖν, αὐτοῖς καὶ μόνοις γυμνοῖς τοῖς τῆς προσευχῆς προσέχοντας ῥήμασι, καὶ μηδὲν ἕτερον οὔτ' ἔσωθεν, οὔτ' ἔξωθεν τοσύνολον παραδεχομένους ἀσχημάτιστον ὅλως καὶ ἄχροον τηρεῖν τὴν διάνοιαν. Τὰς δὲ δὴ τῆς ἐργασίας ταύτης ἀφορμάς, καὶ τήν, ὡς ἂν εἴποι τις, ὕλην, ἐξ αὐτῆς ἔσχον τῆς τοῦ Κυρίου διδασκαλίας, ποτὲ μὲν λέγοντος· «Ἡ Βασιλεία τοῦ Θεοῦ ἐντὸς ὑμῶν ἐστιν»[7]. Ποτὲ δέ· «Ὑποκριτά, καθάρισον πρῶτον τὸ ἐντὸς τοῦ ποτηρίου, καὶ τῆς παροψίδος, καὶ τότε τὸ ἐκτὸς αὐτῶν ἔσται καθαρόν»[8]. Ἅπερ, οὐκ αἰσθητῶς, ἀλλὰ περὶ τοῦ ἐντὸς ἡμῶν ἐννοεῖται ἀνθρώπου. Ἔκτε τοῦ Ἀποστόλου Παύλου πρὸς Ἐφεσίους γράφοντος οὑτωσί· «Τούτου χάριν κάμπτω τὰ γόνατά μου πρὸς τὸν Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ἵνα δῴη ὑμῖν δυνάμει κραταιωθῆναι διὰ τοῦ Πνεύματος αὐτοῦ, εἰς τὸν ἔσω ἄνθρωπον κατοικῆσαι τὸν Χριστὸν διὰ τοῦ Πνεύματος ἐν ταῖς καρδίαις ὑμῶν[9]». Τί ταύ-

λεος, ἔχοντας στραμμένη τὴν προσοχή τους σ' αὐτὰ καὶ μόνον, τὰ ἁπλὰ λόγια τῆς προσευχῆς καὶ χωρὶς νὰ δέχωνται [στὸν νοῦ] τίποτα ἄλλο καθόλου οὔτε ἀπὸ μέσα οὔτε ἀπὸ ἔξω, νὰ τηροῦν τὸν νοῦ ἐντελῶς ἀσχημάτιστο καὶ ἀχρωμάτιστο. Τὶς δὲ ἀπαρχὲς αὐτῆς βέβαια τῆς ἐργασίας καὶ τὴν – ὅπως θὰ μποροῦσε νὰ πῇ κάποιος – πρώτη ὕλη, [τὴν] ἔχουν πάρει ἀπὸ αὐτὴν τὴν διδασκαλία τοῦ Κυρίου, ὁ ὁποῖος ἄλλοτε μὲν λέγει: «ἡ Βασιλεία τοῦ Θεοῦ βρίσκεται ἐντός σας». Ἄλλοτε δέ [λέγει]: «ὑποκριτή, καθάρισε πρῶτα τὸ ἐντὸς τοῦ ποτηρίου καὶ τοῦ πιάτου καὶ τότε τὸ ἐκτὸς αὐτῶν θὰ εἶναι καθαρό». Τὰ ὁποῖα ἀκριβῶς ἐννοοῦνται ὄχι αἰσθητῶς, ἀλλὰ σχετικὰ μὲ τὸν ἐσωτερικό μας ἄνθρωπο. [Ἐπίσης ἔχουν πάρει τὴν ἐργασία αὐτή] ἀπὸ τὸν Ἀπόστολο Παῦλο, ὁ ὁποῖος [στὴν] πρὸς Ἐφεσίους [ἐπιστολή], γράφει ἔτσι ἀκριβῶς: «Χάριν αὐτοῦ κάμπτω τὰ γόνατά μου πρὸς τὸν Πατέρα τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, γιὰ νὰ σᾶς δώσῃ νὰ ἐνισχυθῆτε μὲ δύναμι διὰ τοῦ Ἁγίου Πνεύματός Του, γιὰ νὰ κατοικήσῃ ὁ Χριστὸς στὸν ἐσωτερικὸ ἄνθρωπο διὰ τοῦ [Ἁγίου] Πνεύματος [ποὺ ὑπάρχει] μέσα στὶς καρδίες σας». Τί θὰ

της τῆς μαρτυρίας σαφέστερον γένοιτ᾽ ἄν; Καὶ ἀλλαχοῦ δέ, «ᾄδοντές φησι, καὶ ψάλλοντες ἐν τῇ καρδίᾳ ὑμῶν τῷ Κυρίῳ»[10]. Ἀκούεις; ἐν τῇ καρδίᾳ, φησίν. Οὐ μήν, ἀλλὰ καὶ ὁ Κορυφαῖος τοῦτο προσεμπεδοῖ, «ἕως οὗ, φάσκων, ἡμέρα διαυγάσῃ, καὶ φωσφόρος ἀνατείλῃ ἐν ταῖς καρδίαις ὑμῶν»[11]. Τοῦτο δέ, ὡς ἀναγκαῖον παντὶ εὐσεβοῦντι, καὶ ἐν μυρίαις ὅσαις ἄλλαις σελίσι τῆς Νέας Γραφῆς τὸ Πνεῦμα ἐκπαιδεύει τὸ Ἅγιον, ὡς ἔξεστι κατιδεῖν τοῖς ἐπεσκεμμένως ταύταις ἐγκύπτουσιν. Ὑπὸ τῆς τοιαύτης καὶ γὰρ πνευματικῆς, καὶ ἐπιστημονικῆς ἐργασίας, μετὰ καὶ τῆς ἐφικτῆς τῶν ἐντολῶν καὶ τῶν λοιπῶν ἠθικῶν ἀρετῶν πράξεως, διὰ τῆς ἐκ τῆς τοῦ Παναγίου ὀνόματος ἐπικλήσεως ἐγγινομένης τῇ καρδίᾳ θέρμης, καὶ τῆς κατ᾽ αὐτὴν πνευματικῆς ἐνεργείας, τὰ μὲν πάθη καταναλίσκονται. Πῦρ γὰρ ὁ Θεὸς ἡμῶν καὶ πῦρ καταναλίσκον τὴν μοχθηρίαν[12]. Ὅ, τε νοῦς καὶ ἡ καρδία κατ᾽ ὀλίγον

μποροῦσε νὰ γίνῃ σαφέστερο ἀπὸ αὐτὴ τὴν μαρτυρία; Καὶ σὲ ἄλλο δὲ σημεῖο [γράφει ὁ Ἀπόστολος]: «ᾄδοντας, λέγω καὶ ψάλλοντας στὸν Κύριο, μέσα στὴν καρδία μας». Ἀκοῦς; Λέγει: «μέσα στὴν καρδία μας». Ὄχι βεβαίως [μόνο], ἀλλὰ καὶ ὁ Κορυφαῖος [τῶν Ἀποστόλων Πέτρος] αὐτὸ ἐπιβεβαιώνει λέγοντας: «ἕως ὅτου νὰ φωτίσῃ ἡ ἡμέρα καὶ ὁ ἀστέρας, ποὺ φέρνει τὸ φῶς [ὁ ἥλιος τῆς Δικαιοσύνης, Χριστός] νὰ ἀνατείλῃ μέσα στὶς καρδίες μας». Αὐτὸ βέβαια, ἐπειδή [εἶναι] ἀναγκαῖο γιὰ τὸν καθένα, ποὺ ζῇ ἐν εὐσεβείᾳ, [τό] διδάσκει ἐπακριβῶς τὸ Πνεῦμα τὸ Ἅγιο καὶ σὲ μύρια ὅσα ἄλλα σημεῖα τοῦ βιβλίου τῆς Καινῆς Διαθήκης, καθὼς εἶναι δυνατὸν νὰ παρατηρήσουν, ὅσοι ἐμβαθύνουν μὲ περίσκεψι σ᾽ αὐτά. Ἀπὸ αὐτοῦ τοῦ εἴδους τὴν ὄντως καὶ πνευματικὴ καὶ ἐπιστημονικὴ ἐργασία, μαζὶ καὶ μὲ τὴν ἐφικτὴ ἐφαρμογὴ τῶν ἐντολῶν καὶ τῶν λοιπῶν ἠθικῶν ἀρετῶν, μέσῳ τῆς θέρμης, ποὺ γεννᾶται μέσα στὴν καρδία ἀπὸ τὴν ἐπίκλησι τοῦ Παναγίου ὀνόματος καὶ τῆς κατὰ τήν [ἐν τῇ καρδίᾳ θέρμη] πνευματικῆς ἐνεργείας, τὰ πάθη ὄντως ἀφανίζονται, «διότι ὁ Θεός μας [εἶναι] φωτιὰ καὶ φωτιά, ποὺ ἀφανίζει τὴν μοχθηρία». Ὁπότε ὁ νοῦς καὶ ἡ καρδία βαθμηδὸν

καθαίρονται, καὶ πρὸς ἑαυτὰ ἑνοῦνται. Κεκαθαρμένων δὲ τούτων, καὶ πρὸς ἑαυτὰ ἡνωμένων· ἐντεῦθεν, αἱ σωτηριώδεις ἐντολαὶ εὐχερέστερον κατορθοῦνται· ἐντεῦθεν, οἱ καρποὶ τοῦ Πνεύματος ἐπανατέλλουσι τῇ ψυχῇ, καὶ πᾶσα ἡ τῶν ἀγαθῶν σωρεία ἐπιδαψιλεύεται· καί, ἵνα συνελὼν εἴπω, ἐντεῦθεν, συντομωτέρως ἔξεστιν ἡμῖν ἐπαναδραμεῖν πρὸς τὴν ἐξ ἀρχῆς δωρηθεῖσαν ἐν τῷ Βαπτίσματι τελείαν χάριν τοῦ Πνεύματος, ἐν ἡμῖν μὲν οὖσαν, ἀλλὰ δίκην τοῦ ἐν αἰθάλῃ σπινθῆρος συγκεχωσμένην τοῖς πάθεσι, καί τηλαυγῶς ἀναλάμψασαν αὐτὴν κατοπτεῦσαι, καὶ φωτισθῆναι νοερῶς, καὶ ἑπομένως τελειωθῆναι, καὶ θεωθῆναι κατάλληλα. Τῆς γεμὴν ἐργασίας ταύτης οἱ πλείους μὲν τῶν Πατέρων σποράδην ἐν τοῖς ἑαυτῶν συγγράμμασι μνημονεύουσιν, ὡς πρὸς εἰδότας τὸν λόγον ποιούμενοι. Ἔνιοι δὲ τοῦτο προειδότες ἴσως τὴν τῆς ἡμετέρας γενεᾶς περὶ ταύτην τὴν σωτηριώδη μελέτην, ἀγνωσίαν ὁμοῦ καὶ

καθαρίζονται καὶ ἑνώνονται μεταξύ τους. Ὅταν δὲ αὐτά [ὁ νοῦς καὶ ἡ καρδία] ἔχουν καθαρθῆ καὶ μεταξύ τους ἑνωθῆ, ἀπὸ ἐκεῖ καὶ ὕστερα, οἱ σωτηριώδεις ἐντολὲς τηροῦνται εὐχερέστερα. Ἀπὸ τότε οἱ καρποὶ τοῦ Πνεύματος ἀνατέλλουν πάλι στὴν ψυχὴ καὶ ὅλο τὸ πλῆθος τῶν ἀρετῶν παρέχεται πλουσίως. Καὶ γιὰ νὰ πῶ συνοπτικά, ἀπὸ τότε εἶναι δυνατὸν σ᾽ ἐμᾶς, συντομώτερα νὰ ἐπιστρέψουμε πρὸς τὴν τελεία Χάρι τοῦ [Παναγίου] Πνεύματος, ποὺ μᾶς ἐδωρήθη ἀρχικὰ μὲ τὸ Ἅγιο Βάπτισμα, ἡ ὁποία ὑπάρχει μὲν ἐντός μας, ἀλλὰ εἶναι σκεπασμένη μὲ τὰ πάθη, ὅπως ἕνας σπινθήρας, [χωμένος] μέσα στὴ στάχτη. [Ὅταν ὅμως οἱ καρποὶ τοῦ Πνεύματος ξαναεμφανιστοῦν στὴν ψυχὴ τότε], αὐτή [ἡ ψυχή], ἀφοῦ ἀναλάμψη ὁλόλαμπρα, [θὰ μπορέση] νὰ ἐπαγρυπνήση καὶ νὰ φωτισθῆ νοερῶς καὶ ἑπομένως νὰ τελειωθῆ καὶ ἀκολούθως νὰ θεωθῆ. Οἱ περισσότεροι βέβαια ἀπὸ τοὺς Πατέρες μνημονεύουν τὴν ἐργασία αὐτὴ σποραδικὰ μέσα στὰ συγγράμματά τους, μὲ τὴν ἰδέα, ὅτι ὁμιλοῦν σέ [ἀνθρώπους], πού [τήν] γνωρίζουν. Μερικοὶ ὅμως, ἴσως προγνωρίζοντας αὐτό, [δηλαδὴ] τὴν ἀγνωσία μαζὶ καὶ ἀμέλεια σχετικὰ μὲ τὴν σωτηριώδη αὐτὴ ἐνασχόλησι τῆς δικῆς

ἀμέλειαν· καὶ τὸν πρακτικὸν αὐτῆς τρόπον διάτινων φυσικῶν μεθόδων λεπτομερῶς ἑρμηνεύσαντες, καθάπερ τινὰ πατρικὴν κληρονομίαν, ἡμῖν τοῖς ἑαυτῶν τέκνοις παραδοῦναι οὐκ ὤκνησαν. Οἳ καὶ πολυωνύμως ταύτην ἀποσεμνύνοντες, καὶ ἀρχὴν πάσης ἄλλης θεοφιλοῦς ἐργασίας, καὶ σωρείαν τῶν ἀγαθῶν, καὶ ἀκραιφνέστατον γνώρισμα μετανοίας, καὶ πρᾶξιν νοερὰν ἐπίβασιν οὖσαν ἀληθοῦς θεωρίας, αὐτὴν προσειπόντες, ἅπαντας ἐπὶ τὸ ὀνησιφόρον τοῦ ἔργου προτρέπουσι. Θρηνῶ δὲ τοεντεῦθεν. Καί μοι τὸ πάθος ἐπικόπτει τὸν λόγον. Τῶν γὰρ περὶ τῆς τοιαύτης τῳόντι Καθαρτικῆς, καὶ Φωτιστικῆς, καὶ Τελειωτικῆς, κατὰ τὸν Ἀρεοπαγίτην εἰπεῖν, ἐργασίας φιλοσοφούντων βιβλίων· οὐ μήν, ἀλλὰ καὶ τῶν ἄλλων, ὅσα, διὰ τὸ περὶ προσοχῆς, καὶ νήψεως διεξιέναι, Νηπτικὰ τοῖς πολλοῖς ἀκούει· πάντων ὁμοῦ ὥσπερ ἀναγκαίων τινῶν Μέσων τε καὶ ὀργάνων εἰς τὴν αὐτὴν τεινόντων ὑπό-

μας γενεᾶς, δὲν ἀμέλησαν νὰ παραδώσουν σὲ μᾶς, τὰ παιδιά τους, σὰν κάποια πατρικὴ κληρονομιά [αὐτὴ τὴν πνευματικὴ ἐργασία] ἐξηγώντας λεπτομερῶς καὶ τὸν πρακτικό της τρόπο μὲ κάποιες φυσικὲς μεθόδους. Καὶ οἱ [Πατέρες] αὐτοί, ἀφοῦ τὴν ἐξύμνησαν μὲ πολλὰ ὀνόματα καὶ τὴν ἀποκάλεσαν ἀρχὴ κάθε ἄλλης θεοφιλοῦς ἐργασίας καὶ πλῆθος τῶν ἀγαθῶν καὶ γνησιώτατο γνώρισμα μετανοίας καὶ νοερὰ πρᾶξι, ποὺ εἶναι ἡ βάσι τῆς ἀληθινῆς θεωρίας, [μᾶς] παρακινοῦν ὅλους, στὴν ὠφέλεια [αὐτοῦ] τοῦ ἔργου. Θρηνῶ ὅμως τὸ μετὰ ταῦτα [αὐτό, ποὺ συνέβη ἔπειτα]. Καὶ ὁ πόνος μοῦ διακόπτει τὸν λόγο. Διότι τὰ βιβλία τὰ ὁποῖα μελετοῦν σὲ βάθος τὰ σχετικὰ μὲ αὐτοῦ τοῦ εἴδους τὴν ὄντως Καθαρτικὴ καὶ Φωτιστικὴ καὶ ὁδηγοῦσα στὴν Τελείωσι ἐργασία, γιὰ νὰ μιλήσουμε σύμφωνα μὲ τὸν Ἀρεοπαγίτη [Ἅγιο Διονύσιο], ὄχι βεβαίως [μόνο], ἀλλὰ καὶ ἀπὸ τὰ ἄλλα [βιβλία], ὅσα ὀνομάζονται ἀπὸ τοὺς πολλοὺς Νηπτικά, ἐπειδὴ πραγματεύονται τὸ περὶ προσοχῆς καὶ νήψεως [θέμα], ὅλα μαζί, σὰν κάποια ἀναγκαῖα Μέσα μαζὶ καὶ ὄργανα, τὰ ὁποῖα ἀποβλέπουν στὴν ἴδια ὑ-

θεσιν, καὶ σκοπὸν ἕνα ἐχόντων τὸ Θεουργῆσαι τὸν ἄνθρωπον· διά τε τὴν τοῦ χρόνου παλαιότητα, διά τε τὴν σπάνιν, δὸς δ᾽ εἰπεῖν, καὶ τῷ μηδέποτε τύποις ἐκδοθῆναι, μονονουχὶ ἐκλελοιπότων· εἰδὲ καί τινά που περιελέλειπτο, κᾀκείνων σητοβρώτων ὄντων καὶ πάντῃ διεφθαρμένων, καὶ ἴσα σχεδὸν τοῖς, εἰ μηδέποτ᾽ ἦσαν, μνημονευομένων. Προσθήσω δ᾽ ὅτι, ἐπεὶ καὶ οἱ πλείους τῶν ἡμετέρων ἀμελῶς διάκεινται, καὶ περὶ μὲν τὰ πολλὰ τυρβαζόμενοι, τὰς σωματικάς φημι, καὶ πρακτικὰς τῶν ἀρετῶν· ἤ, ἀληθέστερον εἰπεῖν, περὶ μόνα τὰ τῶν ἀρετῶν ἐργαλεῖα, ἐν αὐτοῖς τὸν ἅπαντα κατατρίβουσι βίον· τοῦ δὲ ἑνός, τῆς φυλακῆς δηλαδὴ τοῦ νοός, καὶ τῆς καθαρᾶς προσευχῆς, οὐκ οἶδ᾽ ὅπως, ἀνεπιστημόνως γε λίαν ὀλιγωροῦσι· κινδυνεύει τὴν τοιαύτην σύντομον, καὶ γλυκυτάτην ἐργασίαν τέλεον ἐκλιπεῖν· ἀμαυρωθῆναί τε ἐντεῦθεν, καὶ ἀποσβεσθῆναι τὴν χάριν· σὺν ταύτῃ δὲ καὶ τὴν πρὸς Θεὸν ἡμῶν

πόθεσι καὶ ἔχουν ἕνα [κοινό] σκοπό, τὸ νὰ Θεουργήσουν δηλαδὴ τὸν ἄνθρωπο· [ὅλα αὐτὰ τὰ βιβλία] ἐξ αἰτίας καὶ τῆς παλαιότητος τοῦ χρόνου καὶ τῆς σπανιότητος καὶ ἃς ποῦμε ἐπιπλέον, ἐπειδὴ ποτὲ δὲν ἐξεδόθησαν μέσῳ τοῦ τύπου, [ὅλα αὐτὰ τὰ βιβλία εἶναι] ἀπὸ ἐκεῖνα ποὺ σχεδὸν ἔχουν ἐκλείψει. Ἐὰν δὲ καὶ κάποια κάπου ἔχουν ἀπομείνει, ἐπειδὴ καὶ ἐκεῖνα εἶναι σκοροφαγωμένα καὶ ὁλοσχερῶς ἐφθαρμένα [κατέληξαν] καὶ νὰ μνημονεύωνται σχεδὸν μὲ ὅμοιο τρόπο μὲ ὅσα δὲν ὑπῆρξαν ποτέ. Θὰ προσθέσω δὲ ὅτι, ἐπειδὴ καὶ οἱ περισσότεροι ἀπὸ τοὺς δικούς μας διάκεινται μὲ ἀμέλεια καὶ εἶναι ἀνακατεμένοι μὲ πολλά, [δηλαδή] μὲ τὶς σωματικές, λέγω, καὶ τὶς πρακτικὲς ἀπὸ τὶς ἀρετές, ἢ γιὰ νὰ μιλήσω πλέον ἀληθινά, [ἀσχολοῦνται] μόνο γύρω ἀπὸ τὰ ἐργαλεῖα τῶν ἀρετῶν, ὅλη τὴν ζωή [τους, τήν] καταδαπανοῦν σ᾽ αὐτά. Γιὰ τὸ ἕνα ὅμως, δηλαδὴ τὴν φυλακὴ τοῦ νοὸς καὶ τὴν καθαρὰ προσευχή, δὲν γνωρίζω πῶς, μὲ ἀγνωσία, πολὺ μάλιστα ἀμελοῦν. Κινδυνεύει τελείως νὰ ἐκλείψῃ αὐτοῦ τοῦ εἴδους ἡ σύντομη καὶ γλυκυτάτη ἐργασία καὶ ἐπομένως νὰ ἀμαυρωθῇ καὶ νὰ σβήσῃ ἡ Χάρι καὶ μαζὶ δὲ μ᾽ αὐτὴν νὰ χαθῇ καὶ ἡ ἕνωσί μας μὲ τὸν

ἕνωσιν καὶ θεουργίαν διαπεσεῖν. (Ὅπερ ἦν τό, ὡς εἴρηται, προηγούμενον ἀπ᾽ ἀρχῆς καὶ κατ᾽ εὐδοκίαν θέλημα τοῦ Θεοῦ. Πρὸς ὃ δή, ὡς εἰς σκοπιμώτατον τέλος ἀφορῶσιν, ἥ τε πρὸς τὸ εἶναι δημιουργία, καὶ ἡ πρὸς τὸ εὖ εἶναι, καὶ ἀεὶ εὖ εἶναι περὶ ἡμᾶς τοῦ Θεοῦ Λόγου οἰκονομία· καὶ ἁπλῶς ὅσα γε ἐν τῇ Παλαιᾷ, καὶ ὅσα ἐν τῇ Καινῇ θεοπρεπῶς διαπέπρακται.)

Ὅπου γὰρ πρότερον πολλοί, καὶ τῶν κατὰ Κόσμον ὄντες, καὶ Βασιλεῖς αὐτοί, καὶ ἐν Βασιλείοις διατρίβοντες, καὶ μυρίαις ὅσαις φροντίσι, καὶ μερίμναις βιωτικαῖς ὁσημέραι κατατεινόμενοι, ἓν καὶ καθ᾽ αὐτὸ ἔργον εἶχον τὸ ἀδιαλείπτως ἐν καρδίᾳ προσεύχεσθαι, ὡς πολλοὺς ἐν ταῖς ἱστορίαις εὑρίσκομεν· νῦν ἐξ ἀμελείας τε καὶ ἀγνωσίας, οὐ μόνον παρὰ τοῖς ἐν κόσμῳ οὖσιν, ἀλλὰ καὶ παρὰ τοῖς μοναχοῖς αὐτοῖς καὶ ἡσύχως μονάζουσι, σπανιώτατον ἐστίν, ὢ τῆς ζημίας, καὶ πάνυ δυσεύρετον. Οὔτινος καὶ στερούμενοι,

Θεὸ καὶ ἡ θεουργία [τοῦ ὅλου ἀνθρώπου]. (Τὸ ὁποῖο ἀκριβῶς ἦταν, ὅπως [ἤδη] ἔχει εἰπωθῆ, τὸ προηγούμενο, ἀπὸ τὴν ἀρχὴ καὶ τὸ κατ᾽ εὐδοκίαν θέλημα τοῦ Θεοῦ. Πρὸς τὸ ὁποῖο βέβαια, ἀποβλέπουν, ὅπως σὲ πάρα πολὺ προεσκεμμένο σκοπό, καὶ ἡ δημιουργία πρὸς τὸ εἶναι καὶ ἡ πρὸς τὸ εὖ εἶναι καὶ ἀεὶ εὖ εἶναι οἰκονομία τοῦ Θεοῦ Λόγου γιὰ ἐμᾶς καὶ γενικῶς [ὅλα] ὅσα μάλιστα μέσα στὴν Παλαιὰ καὶ ὅσα μέσα στὴν Καινὴ Διαθήκη ἔχουν θεοπρεπῶς ἐπιτελεσθῆ.)

Ἐνίοτε λοιπόν, σὲ προηγούμενες [ἐποχές], πολλοί, οἱ ὁποῖοι ἦταν καὶ οἱ ἴδιοι Βασιλεῖς καὶ ζοῦσαν στὰ Βασίλεια καὶ καταγίνονταν κάθε μέρα μὲ μύριες ὅσες φροντίδες καὶ βιοτικὲς μέριμνες, ἕνα καὶ κατ᾽ ἐξοχὴν εἶχαν ἔργο, τὸ νὰ προσεύχωνται ἀδιαλείπτως μέσα στὴν καρδία [τους], ὅπως πολλοὺς βρίσκουμε στὶς ἱστορίες. Τώρα καὶ ἀπὸ ἀμέλεια καὶ ἀπὸ ἀγνωσία, ὄχι μόνο σ᾽ ἐκείνους ποὺ βρίσκονται μέσα στὸν κόσμο ἀλλὰ καὶ ἀνάμεσα στοὺς ἴδιους τοὺς μοναχοὺς καὶ σὲ ὅσους μονάζουν στὴν ἡσυχία, εἶναι σπανιώτατο [αὐτὸ τὸ ἔργο] - ὢ τί ζημία [εἶναι αὐτή]! – καὶ πάρα πολὺ δυσεύρετο. Καὶ ἐπειδὴ στεροῦνται αὐτοῦ

καί τοι κατὰ τὸ δυνατὸν ἀγωνιζόμενοι ἕκαστος, καὶ τοὺς ὑπὲρ ἀρετῆς ὑπομένοντες πόνους, οὐδένα ὅμως καρπὸν ἀποδρέπονται. Ὅτι τῆς ἀδιαλείπτου τοῦ Κυρίου μνήμης, καὶ τῆς ἐξ αὐτῆς τικτομένης καρδίας τε, καὶ νοὸς ἀπὸ παντὸς πονηροῦ καθαρότητος χωρίς, καρποφορῆσαι ἀδύνατον. Χωρίς, γάρ φησιν, ἐμοῦ, οὐ δύνασθε ποιεῖν οὐδέν. Καὶ πάλιν· ὁ μένων ἐν ἐμοὶ οὗτος φέρει καρπὸν πολύν[13].

Ἐντεῦθεν δὴ καὶ τεκμαίρομαι μὴ ἄλλην εἶναι τὴν αἰτίαν, δι᾽ ἣν οὕτως ἐξέλιπον οἱ ἁγιότητι διαπρέποντες καὶ ζῶντες ἔτι καὶ μετὰ θάνατον, καὶ οὕτως ὀλίγοι εἰσὶν οἱ σωζόμενοι[14] *ἐν τῷ νῦν καιρῷ, εἰμὴ ταύτην· ὅτι δηλαδή, τούτου τοῦ πρὸς θέωσιν ἀνάγοντος ἔργου παρημελήσαμεν. Δίχα δὲ τοῦ θεωθῆναι τὸν νοῦν, ἔφη τις, οὐχ᾽ ὅπως ἁγιάσαι, ἀλλ᾽ οὐδὲ σωθῆναι τὸν ἄνθρωπον ἐνδέχεται· ὃ καὶ μόνη ἀκοῇ φρικωδέστατον. Ταὐτὸν γάρ ἐστι σωθῆναι, καὶ θεωθῆναι κατὰ τὴν τῶν θεοσόφων ἐκφαντορίαν. Τὸ δὲ*

[τοῦ ἔργου], ἂν καὶ ὁ καθένας κατὰ τὸ δυνατὸν ἀγωνίζονται καὶ ὑπομένουν τοὺς κόπους γιὰ χάρι τῆς ἀρετῆς, ὅμως κανέναν καρπὸ δὲν συλλέγουν γιὰ τοὺς ἑαυτούς τους, διότι εἶναι ἀδύνατον νὰ καρποφορήσουν χωρὶς τὴν ἀδιάλειπτο μνήμη τοῦ Κυρίου καὶ τὴν ἐξ αἰτίας αὐτῆς καθαρότητα ἀπὸ κάθε πονηρό, ἡ ὁποία γεννᾶται στὴν καρδία μαζὶ καὶ στὸν νοῦ. Διότι λέγει ὁ Κύριος: «Χωρὶς Ἐμένα δὲν μπορεῖτε νὰ κάνετε τίποτα». Καὶ πάλι: «Ἐκεῖνος ποὺ μένει μέσα σὲ μένα, αὐτὸς φέρει πολὺ καρπό».

Ἀπὸ αὐτά, συνεπῶς, καὶ συμπεραίνω, ὅτι δὲν ὑπάρχει ἄλλη αἰτία, γιὰ τὴν ὁποία τόσο ἐξέλιπαν ἐκεῖνοι, ποὺ διαπρέπουν στὴν ἁγιότητα καὶ οἱ ὁποῖοι ζοῦν ἀκόμα καὶ μετὰ θάνατον καὶ εἶναι τόσο λίγοι ὅσοι σώζονται στὸν παρόντα καιρό, παρὰ μόνον ὅτι παραμελήσαμε αὐτήν [τὴν ἐργασία], δηλαδὴ αὐτὸ τὸ ἔργο, τὸ ὁποῖο ἀναβιβάζει στὴν θέωσι. Χωρὶς δὲ τὸ νὰ θεωθῇ ὁ νοῦς, λέγει κάποιος, ὁ ἄνθρωπος δὲν εἶναι δυνατὸν ὄχι νὰ ἁγιάσῃ, ἀλλὰ οὔτε νὰ σωθῇ, τὸ ὁποῖο καὶ μόνο στὴν ἀκοή [εἶναι] φοβερὰ φρικτό. Διότι τὸ ἴδιο εἶναι [τό] νὰ σωθῇ [ὁ ἄνθρωπος] καί [τὸ ἴδιο] νὰ θεωθῇ σύμφωνα μὲ τὴν ἀποκάλυψι τῶν θεοσόφων [Πατέρων]. Τὸ δὲ

πλέον καὶ κυριώτερον, ὅτι καὶ τῶν εἰς τοῦτο χειραγωγούντων βιβλίων στερούμεθα. Τούτων δὲ χωρίς, τοῦ τέλους ἐπιτυχεῖν, τῶν ἀδυνάτων ἐστίν.

Ἀλλ' ἰδοὺ ὁ πάντα καλὸς κἀγαθός· ὁ τῳόντι φιλόχριστος Κύριος Ἰωάννης Μαυρογορδάτος· ὁ μηδενὶ τῶν ἁπάντων τῶν πρωτείων παραχωρῶν, ὅσα γε εἰς ἐλευθεριότητος ἥκει λόγον, φιλοπτωχείας τε, καὶ φιλοξενίας, καὶ τῆς ἄλλης χορείας τῶν ἀρετῶν· ὁ τῷ ἐνθέῳ ζήλῳ ὑπὲρ τῆς τοῦ κοινοῦ ὠφελείας διαπαντὸς πυρπολούμενος.

Οὗτος δὴ οὗτος παρὰ τῆς τοῦ Χριστοῦ χάριτος τοῦ πάντας ἀνθρώπους σωθῆναι καὶ θεωθῆναι ἐθέλοντος[15] ἐμπνευσθείς, εἰς χαρὰν μεταβάλλει τὸν θρῆνον, λύων τὸ ἄπορον. Εἰς τὸ Κοινὸν γὰρ προτιθεὶς τὸ τῆς θεώσεως Μέσον, ὁλοψύχως, καὶ ἵν' οὕτως εἴπω, χερσί τε ποσί τε συντρέχει, καὶ τρόπῳ παντὶ συνεργεῖ ἐν τῷ μέρει τούτῳ τῇ, ὡς εἴρηται, προαιωνίῳ βουλῇ τοῦ Θεοῦ. Βαβαὶ τῆς

περισσότερο καὶ κυριώτερο [εἶναι], ὅτι στερούμεθα καὶ τὰ βιβλία τὰ ὁποῖα καθοδηγοῦν σ' αὐτό [τὸ ἔργο]. Χωρὶς ὅμως αὐτά, τὸ νὰ ἐπιτύχουμε τὸν σκοπό [μας], εἶναι ἀπὸ τὰ ἀδύνατα.

Ἀλλὰ ἰδού! ὁ κατὰ πάντα καλὸς καὶ ἀγαθός, ὁ ἀληθινὰ φιλόχριστος κύριος Ἰωάννης Μαυρογορδάτος, ὁ ὁποῖος σὲ κανένα ἀπὸ ὅλους [ἀνεξαιρέτως] δὲν παραχωρεῖ τὰ πρωτεῖα, ὅσα βέβαια ἀναφέρονται στὴν γενναιοδωρία, τὴν φιλοπτωχία καὶ τὴν φιλοξενία καὶ στὴν ὑπόλοιπη χορεία τῶν ἀρετῶν, ἐκεῖνος ποὺ πυρπολεῖται πέρα ὡς πέρα ἀπὸ τὸν ἔνθεο ζῆλο γιὰ χάρι τῆς ὠφέλειας τοῦ συνόλου.

Αὐτὸς μάλιστα, αὐτός! ἐμπνευσμένος ἀπὸ τὴν Χάρι τοῦ Χριστοῦ, ποὺ θέλει νὰ σωθοῦν καὶ νὰ θεωθοῦν ὅλοι οἱ ἄνθρωποι, μεταβάλλει τὸν θρῆνο σὲ χαρὰ λύνοντας τὸ ἀκατόρθωτο. Διότι παραθέτοντας ὁλόψυχα στὴν Ἐκκλησία τὸ Μέσον τῆς θεώσεως [τὴν βίβλο τῆς *Φιλοκαλίας*] καὶ γιὰ νὰ τὸ πῶ ἔτσι, τρέχει μαζὶ μὲ χέρια καὶ μὲ πόδια καὶ συνεργεῖ μὲ κάθε τρόπο σ' αὐτὸ τὸ μέρος, στήν, ὅπως [ἤδη] ἔχει εἰπωθῆ, προαιώνιο βουλὴ τοῦ Θεοῦ. Ὢ, τῆς

δόξης. Εὖγε τῶν μεγαλείων. Ἰδοὺ γάρ, τὰ ποτὲ μηδέποτε ἐν τοῖς ἀνωτέρω χρόνοις ἐκδοθέντα. Ἰδοὺ τὰ ἐν παραβύστῳ, καὶ σκότῳ, καὶ γωνίᾳ που κείμενα ἀκλεῆ καὶ σητόβρωτα, καὶ τῇδε κἀκεῖσε παρεῤῥιμένα τε καὶ διεσπαρμένα. Ἰδοὺ τὰ πρὸς τὴν καθαρότητα καρδίας, καὶ νῆψιν νοός, καὶ ἀνάκλησιν τῆς ἐν ἡμῖν χάριτος, πρόσθες δέ, καὶ θεώσεως, ἐπιστημονικῶς χειραγωγοῦντα, εἰς ἓν συναγαγών, καὶ δαπάνης οὐδόλως φεισάμενος, ἐπὶ τὸ μέγα καὶ περιφανὲς φῶς τῆς Τυπογραφίας ἐκδίδωσιν. (Ἔδει γάρ, ἔδει τὰ περὶ φωτισμοῦ θείου διαγορεύοντα, καὶ φωτὸς τοῦ κατὰ τύπον ἀξιωθῆναι.) Καὶ διὰ ταύτης, ἀπαλλάττει μὲν τοὺς εἰδότας τῶν περὶ τὴν ἀντιγραφὴν πόνων, διεγείρει δὲ ἐν ταὐτῷ καὶ τοὺς μὴ εἰδότας ἐπὶ τὸν τῆς κτήσεως, εἴπω δ᾽ ὅτι καὶ τῆς κατ᾽ ἐνέργειαν πράξεως, ἔρωτα. Καὶ ἔχεις τοιγαροῦν, ὦ φίλτατε Ἀναγνῶστα, διὰ τοῦ πάντ᾽ ἀρίστου Κυρίου Ἰωάννου, ἄπονον τοῦ λοι-

δόξης! Εὖγε γιὰ τὰ μεγαλεῖα! Διότι ἰδού! ἐκεῖνα τὰ ὁποῖα ποτὲ κατὰ τοὺς προηγούμενους χρόνους δὲν ἐξεδόθησαν. Ἰδού! αὐτὰ ποὺ βρίσκονται κάπου στὴν ἀφάνεια καὶ στὸ σκοτάδι καὶ στὴ γωνία ἀδόξως καὶ σαρακοφαγωμένα καὶ ἐδῶ καὶ ἐκεῖ παραπεταμένα καὶ μαζὶ διασκορπισμένα. Ἰδού! ὅσα ἐπιστημονικῶς καθοδηγοῦν πρὸς τὴν καθαρότητα τῆς καρδίας καὶ τὴν νῆψι τοῦ νοὸς καὶ τὴν ἀνάκλησι τῆς ἐντός μας Χάριτος, πρόσθεσε δὲ καὶ τῆς θεώσεως, ἀφοῦ [τά] συγκέντρωσε σὲ ἕνα [σύνολο] καὶ χωρὶς καθόλου νὰ φειστῇ τῆς δαπάνης, [τά] παραδίδει στὸ μέγα καὶ περιφανὲς φῶς τῆς Τυπογραφίας. (Διότι ἔπρεπε! Ἔπρεπε ἐκεῖνα, τὰ ὁποῖα διακηρύσσουν τὰ σχετικὰ μὲ τὸν θεῖο φωτισμό, νὰ ἀξιωθοῦν τοῦ φωτός ἀπὸ τὸν τύπο.) Καὶ μέσῳ αὐτῆς [τῆς ἐκδόσεως] ἀπαλλάσσει μὲν ἐκείνους, ποὺ γνωρίζουν ἀπὸ τοὺς σχετικοὺς μὲ τὴν ἀντιγραφὴ κόπους, παρακινεῖ δὲ ταυτοχρόνως καὶ ὅσους δὲν ἔχουν ἰδέα ἀπὸ τὸν ἔρωτα τῆς ἀποκτήσεως, ἂς πῶ δὲ ὅτι καὶ τῆς ἐνεργοῦ πράξεως. Καὶ ἀποκτᾶς λοιπὸν εἰς τὸ ἑξῆς, ἀγαπητὲ Ἀναγνῶστα, μέσῳ τοῦ κατὰ πάντα ἀρίστου κυρίου Ἰωάννου, τὸ παρὸν πνευ-

ποῦ καὶ εὐπόριστον, τὴν παροῦσαν πνευματικὴν Βίβλον. Βίβλον, τὸ τῆς νήψεως ταμιεῖον· τὸ τοῦ νοὸς φυλακτήριον· τὸ μυστικὸν διδασκαλεῖον τῆς νοερᾶς προσευχῆς. Βίβλον, τῆς πρακτικῆς τὴν ἐξαίρετον ὑποτύπωσιν· τῆς θεωρίας τὴν ἀπλανῆ ὁδηγίαν· τὸν τῶν Πατέρων Παράδεισον· τῶν ἀρετῶν τὴν χρυσῆν σειράν. Βίβλον, τὸ πυκνὸν τοῦ Ἰησοῦ ἀδολέσχημα, τὴν ἀνακλητικὴν τῆς χάριτος σάλπιγγα, καί, συνελόντα φάναι, αὐτὸ δὴ αὐτὸ τὸ τῆς θεώσεως ὄργανον, χρῆμα εἴπέρ τι ἄλλο μυριοπόθητον, καὶ πρὸ πολλῶν ἐτῶν μελετώμενον μὲν καὶ ζητούμενον, ἀλλ' οὐχ' εὑρισκόμενον. Διὰ τοῦτο ἄρα καὶ χρέος ἄφυκτον ἐπικείμενόν σοι ἂν εἴη, καὶ παντὶ λόγῳ δικαίου ἐποφειλόμενον, ὑπὲρ τοῦ Εὐεργέτου, καὶ τῶν συνεργῶν, εὐχαῖς ἐκτενέσι τὸ Θεῖον καθικετεύειν, ὅπως ἂν καὶ αὐτοὶ τοῦ ἴσου μέτρου τῆς θεώσεως ἐπιτύχωσι, καὶ ὡς εἰς τοῦτο κοπιάσαντες, πρῶτοι καὶ τῶν καρπῶν ἀπολαύωσιν.

ματικὸ Βιβλίο, χωρὶς κόπο καὶ μὲ τὴν δυνατότητα νά [τό] προμηθευτῇς εὔκολα. Τὸ βιβλίο, [τὸ ὁποῖο εἶναι] τὸ θησαυροφυλάκιο τῆς νήψεως, τὸ φρούριο τοῦ νοός, τὸ μυστικὸ σχολεῖο τῆς νοερᾶς προσευχῆς. Τὸ βιβλίο [ποὺ παρουσιάζει] τὸ ἐξαίρετο ὑπόδειγμα τῆς πρακτικῆς [ζωῆς], τὴν ἀλάνθαστο διδασκαλία τῆς θεωρίας, τὸν Παράδεισο τῶν Πατέρων, τὴν χρυσῆ σειρὰ τῶν ἀρετῶν. Τὸ Βιβλίο, [ποὺ συνιστᾶ] τὸ πυκνὸ ἀδολέσχημα τοῦ Ἰησοῦ, τὴν σάλπιγγα, ποὺ προσκαλεῖ πίσω τὴν Χάρι, καὶ διὰ νά [τό] πῶ συνοψίζοντας, αὐτό, ἀκριβῶς αὐτὸ τὸ ὄργανο τῆς θεώσεως, τὸν πλοῦτο τὸν μυριοπόθητο περισσότερο ἀπὸ κάθε ἄλλο καὶ τὸν ὁποῖο πρὸ πολλῶν χρόνων μελετούσαμε καὶ ἀναζητούσαμε ἀλλὰ δὲν εὑρίσκαμε. Γι' αὐτὸ ἑπομένως μακάρι νὰ εἶναι γιὰ σένα ἐπιβαλλόμενο ἀναπόφευκτο χρέος καὶ ὀφειλόμενο σύμφωνα μὲ κάθε ἔννοια δικαίου, [τό] νὰ καθικετεύῃς μὲ προσευχὲς τὸν Θεὸ ὑπὲρ τοῦ Εὐεργέτου [κυρίου Ἰωάννου] καὶ τῶν συνεργατῶν [του], ὅπως ἴσως καὶ αὐτοὶ ἐπιτύχουν τὸ ἴδιο μέτρο τῆς θεώσεως καὶ ἐπειδὴ κοπίασαν σ' αὐτὸ [τὸ ἔργο], πρῶτοι νὰ ἀπολαύσουν καὶ τοὺς καρπούς.

Ἀλλ᾽ ἐνταῦθα τοῦ λόγου γενομένοις ὑποκρούσειεν ἄν τις ἴσως, μὴ θεμιτόν, εἶναι φάσκων, ἔστιν ἅττα τῶν ἐν τῇ Βίβλῳ δημοσιεύειν ταῖς τῶν πολλῶν ἀκοαῖς ὡς ξενήκουστα. Ὅτι φησί, καὶ κίνδυνός τις ἐκ τούτων παρακολουθεῖ. Πρὸς ὃν δῆτα συντόμως ἀνθυποκρούομεν· ὅτι οὐδὲ ἡμεῖς, ὦ φίλ᾽ ἑταῖρε, οἰκείοις λογισμοῖς στοιχοῦντες ἐπὶ τὴν τοιαύτην ἐγχείρησιν ἤλθομεν, παραδείγμασι δὲ μᾶλλον χρησάμενοι, ἔνθα μὲν τῆς ἱερᾶς Γραφῆς ἀδιορίστως ἅπασι τοῖς εὐσεβέσιν ἐντελλομένης ἀδιαλείπτως προσεύχεσθαι[16]*, καὶ πρὸ ὀφθαλμῶν διαπαντὸς ἔχειν τὸν Κύριον· ἀσεβὲς δὲ τὸ λέγειν κεκωλυμένον τι, ἢ ἀδύνατον ἔχειν τὰ τοῦ Πνεύματος παραγγέλματα, κατὰ τὸν μέγαν Βασίλειον. Ἔνθα δέ, καὶ τῆς τῶν Πατέρων ἐγγράφου παραδόσεως. Ὁ γὰρ Θεολόγος Γρηγόριος ἅπασι κοινῶς τοῖς ὑπ᾽ αὐτὸν λαοῖς ὑποτίθεται, μνημονεύειν τοῦ Θεοῦ μᾶλλον, ἢ ἀναπνεῖν. Ὅ,τε Θεῖος Χρυσόστομος τρεῖς*

Ἀλλ᾽ ἐφόσον φθάσαμε στὸ σημεῖο αὐτὸ τοῦ λόγου, θὰ μποροῦσε ἴσως νὰ διαφωνήσῃ κάποιος, ἰσχυριζόμενος ὅτι δὲν εἶναι ἐπιτρεπτὸ νὰ δημοσιεύωνται κάποια ἀπὸ τά [εὑρισκόμενα] στὸ Βιβλίο, ἐπειδὴ γιὰ τὶς ἀκοὲς τῶν πολλῶν εἶναι ξένα [ἀσυνήθη] ἀκούσματα, διότι, λέγει, ἐπακολουθεῖ ἐξ αἰτίας αὐτῶν καὶ κάποιος κίνδυνος. Πρὸς τὸν ὁποῖο βεβαίως [διαφωνοῦντα ἀδελφό], συντόμως ἀνταπαντῶ κι ἐγώ, [λέγοντας] ὅτι οὔτε ἐμεῖς ἀγαπητὲ ἀδελφέ, δὲν προχωρήσαμε σ᾽ ἕνα τέτοιο ἐγχείρημα ἀκολουθώντας τοὺς δικούς μας λογισμούς, ἀλλὰ μᾶλλον ἐφαρμόζοντας τὰ ὑποδείγματα, ἀπὸ τὴν μιὰ μὲν τῆς Ἁγίας Γραφῆς, ἡ ὁποία προστάζει γενικῶς ὅλους ἀνεξαιρέτως τοὺς εὐσεβεῖς νὰ προσευχώμεθα ἀδιαλείπτως καὶ νὰ ἔχουμε πάντοτε πρὸ ὀφθαλμῶν [μας] τὸν Κύριο. Εἶναι δὲ ἀσέβεια, σύμφωνα μὲ τὸν Μέγα Βασίλειο, τὸ νὰ λέγῃ κάποιος ὅτι περιέχουν κάτι ἀπαγορευμένο ἢ ἀδύνατο τὰ παραγγέλματα τοῦ [Παναγίου] Πνεύματος. Ἀπὸ τὴν ἄλλη δέ [ἐφαρμόζοντας τὰ ὑποδείγματα] τῆς γραπτῆς παραδόσεως τῶν Πατέρων. Διότι ὁ Θεολόγος Γρηγόριος σὲ ὅλα ἀπὸ κοινοῦ τὰ πλήθη [τῶν ἀνθρώπων, τὰ ὁποῖα εὑρίσκοντο] ὑπὸ τὴν [πνευματική] του [καθοδήγησι], συμβουλεύει νὰ μνημονεύουν περισσότερο τὸν Θεὸ παρὰ νὰ ἀναπνέουν. Καὶ ὁ θεῖος Χρυσόστομος διατυπώνει

ὅλους λόγους ἐκτίθεται περὶ τῆς ἀδιαλείπτου καὶ νοερᾶς προσευχῆς, καὶ μυριαχοῦ δὲ τῶν λοιπῶν αὐτοῦ λόγων ἅπαντας κοινῶς ἐπὶ τῷ διαπαντὸς προσεύχεσθαι παραινεῖ. Καὶ ὁ θαυμαστός δ' ἐκεῖνος Σιναΐτης Γρηγόριος διαφόρους πόλεις περιερχόμενος τὴν τοιαύτην σωτήριον ἐργασίαν ἐδίδασκεν. Ἀλλὰ γὰρ καὶ ὁ Θεὸς αὐτὸς διὰ θαυματουργίας ἄνωθεν Ἄγγελον ἀποστείλας, τὴν τοιαύτην ἀλήθειαν ἐπεσφράγισεν, ἐπιστομίσας τὸν ἀντιλέγοντα μοναχόν, ὡς ἐν τῷ τέλει τῆς παρούσης Βίβλου ὁρᾶται. Καὶ τί δεῖ μοι πρὸς τοῦτο λόγων; Ὅπου γε αὐτοὶ οἱ κατὰ κόσμον ὄντες, καὶ ἐν βασιλείοις διατρίβοντες, ἔργον ἀδιάκοπον, ὡς εἴπομεν, τὴν τοιαύτην μελέτην ἔχοντες, πραγματικῶς ἐπικυροῦσι τὸν λόγον, καὶ ἱκανοὶ παρ' ἑαυτῶν ἐπιστομίσαι τοὺς ἀντιλέγοντας. Εἰ δὲ καί τινες ἔσθ' ὅτε μικρόν τι παρετράπησαν, τί θαυμαστόν; Ἐξ οἰήσεως ὡς ἐπὶ τὸ πλεῖστον τοῦτο πεπόνθασι κατὰ τὸν Σιναΐτην

τρεῖς ὁλοκλήρους λόγους σχετικὰ μὲ τὴν ἀδιάλειπτη καὶ νοερὰ προσευχὴ καὶ βέβαια σὲ μύρια ὅσα σημεῖα τῶν ὑπολοίπων του λόγων νουθετεῖ ὅλους ἀνεξαιρέτως [σχετικὰ μὲ τό] νὰ προσεύχωνται συνεχῶς. Καὶ ὁ θαυμάσιος ἐκεῖνος Γρηγόριος ὁ Σιναΐτης, ὅταν περιήρχετο διάφορες πόλεις αὐτὴ ἀκριβῶς τὴν σωτήριο ἐργασία ἐδίδασκε. Ἀλλὰ βέβαια καὶ ὁ ἴδιος ὁ Θεός, ἀφοῦ ἀπέστειλε ἀπὸ τὸν Οὐρανὸ Ἄγγελο, θαυματουργικὰ ἐπισφράγισε αὐτοῦ τοῦ εἴδους τὴν ἀλήθεια, κλείνοντας τὸ στόμα τοῦ μοναχοῦ ἐκείνου, ποὺ ἀντιλογοῦσε, ὅπως φαίνεται στὸ τέλος τοῦ παρόντος βιβλίου. Ἀλλὰ γιατὶ μοῦ χρειάζονται οἱ λόγοι σχετικὰ μ' αὐτό; Βεβαίως αὐτοὶ οἱ ὁποῖοι εἶναι στὸν κόσμο καὶ διαβιοῦν στὰ βασίλεια, ἔχοντας ἐνίοτε, ὅπως εἴπαμε, αὐτοῦ τοῦ εἴδους τὴν μελέτη σὰν ἀδιάκοπο ἔργο τους, πραγματικὰ ἐπικυρώνουν τὸν λόγο καί [εἶναι] ἱκανοὶ ἐκ μέρους τῶν ἑαυτῶν [τους] νὰ ἀποστομώσουν ὅσους ἀντιλέγουν. Ἐὰν δὲ καὶ κάποιοι κάποτε παρεκτράπησαν λίγο, ποῦ [εἶναι] τὸ θαυμαστό; Ὡς ἐπὶ τὸ πλεῖστον αὐτό [τό] ἔχουν πάθει ἀπὸ τὴν οἴησι [τὴν ἔπαρσι], σύμφωνα μὲ τὸν Γρηγόριο,

Γρηγόριον. Ἐγὼ δ᾽ οἶμαι τὸ μάλιστα, καὶ κυρίως τῆς παρατροπῆς ταύτης αἴτιον τοῦτο εἶναι, τὸ μὴ ἀκριβῶς κατὰ πάντα στοιχεῖν τῇ περὶ τῆς ἐργασίας ταύτης τῶν Πατέρων διδασκαλίᾳ. Οὐ παρὰ τὴν ἐργασίαν αὐτήν. Ἄπαγε. Ἁγία γὰρ αὕτη, καὶ δι᾽ αὐτῆς μᾶλλον πλάνης ἁπάσης ἀπαλλαγῆναι δεόμεθα. Ἐπεὶ καὶ ἡ κατὰ νόμον τοῦ Θεοῦ ἐντολή, ἡ εἰς ζωὴν ὁδηγοῦσα, εὑρέθη, φησὶν ὁ Παῦλος, τισὶν εἰς θάνατον. Ἀλλ᾽ οὐ διὰ τὴν ἐντολὴν τοῦτο γέγονε· πῶς γάρ; Ἁγίας τε οὔσης ταύτης, καὶ δικαίας καὶ ἀληθοῦς;[17] *Διὰ δὲ τὴν μοχθηρίαν τῶν πεπραμένων ὑπὸ τὴν ἁμαρτίαν. Τί οὖν διὰ τοῦτο; Καταγνωστέον μὲν τῆς θείας Ἐντολῆς διὰ τὴν τινῶν ἁμαρτίαν; Ὀλιγωρητέον δὲ καὶ τῆς τοιαύτης σωτηριώδους ἐργασίας διὰ τὴν τινων παρατροπήν; Οὐδαμῶς· οὔτ᾽ ἐκείνης, οὔτε μὴν ταύτης. Θαῤῥοῦντας δὲ μᾶλλον τῷ εἰπόντι, ἐγώ εἰμι ἡ ὁδὸς καὶ ἡ ἀλήθεια*[18]*, μετὰ πάσης ταπεινοφροσύνης, καὶ πενθικῆς διαθέσε-*

τὸν Σιναΐτη. Ἐγὼ δὲ νομίζω ὅτι τὸ κατ᾽ ἐξοχὴν κύριο καὶ βασικὸ αἴτιο αὐτῆς τῆς παρεκτροπῆς εἶναι αὐτό, τὸ νὰ μὴν ἀκολουθῇ [κάποιος] κατὰ πάντα μὲ ἀκρίβεια τὴν σχετικὴ μὲ τὴν ἐργασία αὐτὴ διδασκαλία τῶν Πατέρων. Ὄχι ἐξαιρώντας τὴν ἐργασία αὐτή. Φεῦγε [τὴν βλασφημία]! Διότι [εἶναι] ἁγία αὐτὴ [ἡ ἐργασία] καὶ μέσῳ αὐτῆς περισσότερο προσευχόμεθα νὰ ἀπαλλαγοῦμε ἀπὸ κάθε πλάνη. Δεδομένου ὅτι καὶ ἡ ἐντολὴ σύμφωνα μὲ τὸν νόμο τοῦ Θεοῦ, ἡ ὁποία ὁδηγοῦσε στὴ ζωή, ἐπέφερε, λέγει ὁ [Ἀπόστολος] Παῦλος, σὲ κάποιους τὸν θάνατο. Ἀλλὰ δὲν ἔχει γίνει αὐτὸ ἐξ αἰτίας τῆς ἐντολῆς. Πῶς λοιπόν; Ἐφόσον αὐτὴ εἶναι καὶ ἁγία καὶ δίκαιη καὶ ἀληθινή; Ἀλλὰ ἐξ αἰτίας τῆς μοχθηρίας ἐκείνων, ποὺ ἔχουν πουληθῆ ὑποτελεῖς στὴν ἁμαρτία. Ἐξ αἰτίας λοιπὸν αὐτοῦ, τί; Πρέπει νὰ περιφρονηθῇ λοιπὸν ἡ θεϊκὴ ἐντολὴ ἐξ αἰτίας τῆς ἁμαρτίας κάποιων; Καὶ πρέπει νὰ παραμεληθῇ καὶ ἡ σωτηριώδης αὐτὴ ἐργασία ἐξ αἰτίας τῆς παρεκτροπῆς κάποιων; Καθόλου! Οὔτε ἐκείνη [ἡ θεϊκὴ ἐντολὴ νὰ περιφρονηθῇ], οὔτε βέβαια αὐτὴ [ἡ σωτηριώδης ἐργασία νὰ παραμεληθῇ]. Ἀλλὰ μᾶλλον πρέπει νὰ ἐπιχειροῦμε τὸ ἔργο μὲ κάθε ταπεινοφροσύνη καὶ πενθικὴ διάθεσι, παίρνοντας θάρρος ἀπὸ ἐκεῖνον ποὺ εἶπε: «Ἐγὼ εἶμαι ἡ

ως ἐγχειρητέον τῷ ἔργῳ. Τῷ γὰρ οἰήσεως καὶ ἀνθρωπαρεσκείας ἀπηλλαγμένῳ, κἂν πᾶσα ἡ πονηρὰ τῶν δαιμόνων φάλαγξ κατ᾽ αὐτοῦ συῤῥαγῇ, οὐδὲ προσεγγίσαι δυνήσεται, κατὰ τὴν τῶν Πατέρων διδασκαλίαν. Τούτων οὕτως ἐχόντων, καὶ τῆς Βίβλου πανταχόθεν, ἐξ ὧν εἴρηται, τὸ ἀνεπίληπτον πάντῃ πάντως προβαλλομένης, ἐπικαιρότατον ἂν εἴη λοιπὸν τὸ δειπνοκλητικὸν ἐκεῖνο τῆς Σοφίας[19] εἰς χεῖρας ἀναλαβεῖν, μετὰ ὑψηλοῦ τοῦ κηρύγματος ἐπὶ τὴν τῆς Βίβλου ταύτης πνευματικὴν ἑστιατορίαν συγκαλέσαι τοὺς ἅπαντας· ὅσοι μὴ περὶ τὰ θεῖα μισόδειπνοι, μηδὲ κατὰ τοὺς ἐν Εὐαγγελίοις ἐκείνους, ἀγρούς, καὶ βόας, καὶ γυναῖκας προφασιολογούμενοι[20]. Ἔλθετε τοίνυν, ἔλθετε· φάγετε τὸν ἐν αὐτῇ γνωστικὸν τῆς σοφίας ἄρτον, καὶ πίετε οἶνον τὸν εὐφραίνοντα μὲν νοητῶς τὴν καρδίαν, ἐξιστῶντα δὲ πάντων αἰσθητῶν ὁμοῦ τε, καὶ νοητῶν διὰ τὴν κατ᾽ ἔκστασιν θέωσιν, καὶ μεθύσθητε

ὁδὸς καὶ ἡ ἀλήθεια». Διότι σ᾽ ἐκεῖνον ποὺ εἶναι ἀπαλλαγμένος ἀπὸ τὴν ἔπαρσι καὶ τὴν ἀνθρωπαρέσκεια, ἀκόμη κι᾽ ἂν ὅλη ἡ πονηρὴ παράταξι τῶν δαιμόνων συγκεντρωθῇ ἐναντίον του, οὔτε [πού] θὰ μπορέσῃ νά [τόν] πλησιάσῃ σύμφωνα μὲ τὴν διδασκαλία τῶν Πατέρων. Ἐπειδὴ αὐτὰ ἔτσι ἔχουν καὶ ἀφοῦ τὸ Βιβλίο, βάσει ὅσων ἀνεφέρθησαν, προτείνει σὲ ὅλους τὴν ἐντελῶς ἀνεπίληπτη ἀπ᾽ ὅλες τὶς ἀπόψεις [ἁγία πνευματικὴ ἐργασία] θὰ ἦταν λοιπὸν ἐξαιρετικὰ ἐπίκαιρο νὰ πάρουμε στὰ χέρια [μας] τὸ προσκλητήριο ἐκεῖνο τῆς Σοφίας σὲ δεῖπνο, γιὰ νὰ προσκαλέσουμε τοὺς πάντας στὸ πνευματικὸ συμπόσιο αὐτοῦ τοῦ Βιβλίου μὲ ὑψηλό [σὲ πνευματικὴ ποιότητα] κήρυγμα. Ὅσοι δὲν μισεῖτε τὰ θεϊκὰ δεῖπνα καὶ οὔτε προφασίζεσθε τοὺς ἀγροὺς καὶ τὰ βόδια καὶ τὶς γυναῖκες, ὅπως ἐκεῖνοι [ποὺ ἀναφέρονται] στὰ Εὐαγγέλια, ἔλθετε λοιπόν! Ἔλθετε! Φᾶτε τὸ γεμάτο γνῶσι ψωμὶ τῆς σοφίας, [ποὺ βρίσκεται] σ᾽ αὐτό [τὸ Βιβλίο] καὶ πιεῖτε τὸ κρασί, τὸ ὁποῖο εὐφραίνει μὲν νοητῶς τὴν καρδία, ἀπομακρύνει δὲ ἀπὸ ὅλα τὰ αἰσθητὰ μαζὶ καὶ τὰ νοητὰ μέσῳ τῆς κατ᾽ ἔκστασιν θεώσεως καὶ μεθῦστε

μέθην τῷόντι νηφάλιον. Ἔλθετε πάντες ὅσοι κλήσεως ὀρθοδόξου τυγχάνετε μέτοχοι, συνάμα Λαϊκοί τε, καὶ Μοναχοί, οἱ τὴν ἐντὸς ὑμῶν οὖσαν τοῦ Θεοῦ βασιλείαν[21]*, καὶ τὸν ἐν τῷ ἀγρῷ τῆς καρδίας κεκρυμμένον εὑρηκέναι σπουδάζοντες θησαυρόν*[22]*· ὅς ἐστιν ὁ γλυκὺς Ἰησοῦς Χριστός. Ἵν' ὅπως, τῆς περὶ τὰ κάτω αἰχμαλωσίας, καὶ τῆς περιφορᾶς τοῦ νοὸς ὑμῶν ἐλευθερωθέντος, καὶ τῆς καρδίας τῶν παθῶν καθαρθείσης, διὰ τῆς ἀδιαλείπτου τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ φοβερᾶς ἐπικλήσεως, καὶ τῶν λοιπῶν συνεργῶν ἀρετῶν, τῶν ἐν τῇ παρούσῃ Βίβλῳ διδασκομένων, ἑνωθείητε μὲν πρὸς ἑαυτούς, δι' ἑαυτῶν δὲ καὶ πρὸς Θεόν, κατὰ τὴν πρὸς τὸν Πατέρα τοῦ Κυρίου παράκλησιν, ἵνα ὦσι, λέγοντος, ἕν, ὡς ἡμεῖς ἕν ἐσμεν*[23]*. Καὶ οὕτως αὐτῷ ἡνωμένοι, καὶ ὅλως ἠλλοιωμένοι τῇ κατοχῇ καὶ ἐκστάσει τοῦ Θείου ἔρωτος δαψιλέστατα θεωθείητε, ἐν αἰσθήσει νοερᾷ, καὶ ἀδιστάκτῳ πληροφορίᾳ, καὶ πρὸς*

μὲ μέθη πράγματι νηφάλιο. Ἔλθετε ὅλοι ὅσοι τυχαίνει νὰ εἶστε μέτοχοι στὴν ὀρθόδοξο πρόσκλησι, μαζὶ Λαϊκοὶ καὶ Μοναχοί, ὅσοι ἀγωνίζεστε νὰ βρῆτε τὴν Βασιλεία τοῦ Θεοῦ, ποὺ ὑπάρχει μέσα μας καὶ τὸν κρυμμένο στὸν ἀγρὸ τῆς καρδίας θησαυρό, ὁ ὁποῖος εἶναι ὁ γλυκὺς Ἰησοῦς Χριστός. Ὥστε καθὼς ἐλευθερωθῇ ὁ νοῦς σας ἀπὸ τὸν περισπασμὸ καὶ τὴν σχετικὴ μὲ τὰ κατώτερα αἰχμαλωσία καὶ ἡ καρδία [σας] καθαριστῇ ἀπὸ τὰ πάθη μέσῳ τῆς ἀδιαλείπτου φοβερῆς ἐπικλήσεως τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ καὶ μέσῳ τῶν ὑπολοίπων συνεργῶν ἀρετῶν, οἱ ὁποῖες διδάσκονται στὸ παρὸν Βιβλίο, νὰ ἑνοποιηθῆτε μὲν ὡς πρὸς τοὺς ἑαυτούς [σας], μέσῳ δὲ τῶν ἑαυτῶν [σας νὰ ἑνωθῆτε] καὶ μὲ τὸν Θεό, σύμφωνα μὲ τὴν δέησι τοῦ Κυρίου πρὸς τὸν Πατέρα, ὅταν λέῃ: «γιὰ νὰ εἶναι ἕνα, ὅπως Ἐμεῖς εἴμαστε Ἕνα». Καὶ κατ᾽ αὐτὸν τὸν τρόπο ἑνωμένοι μ᾽ Ἐκεῖνον καὶ ὁλοκληρωτικὰ ἀλλοιωμένοι ἀπὸ τὴν κατάληψι καὶ ἔκστασι τοῦ θεϊκοῦ ἔρωτος νὰ θεωθῆτε πλουσιώτατα μὲ νοερὰ αἴσθησι καὶ ἀνενδοίαστη πληροφορία

τὸν πρῶτον σκοπὸν τοῦ Θεοῦ ἐπανέλθοιτε, δοξάζοντες Πατέρα, Υἱόν, καὶ Πνεῦμα Ἅγιον τὴν μίαν Θεαρχικωτάτην Θεότητα. Ἧ πρέπει πᾶσα δόξα; τιμή, καὶ προσκύνησις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

καὶ νὰ ἐπανέλθετε στὸν πρῶτο σκοπὸ τοῦ Θεοῦ, δοξάζοντας τὸν Πατέρα καὶ τὸν Υἱὸν καὶ τὸ Ἅγιο Πνεῦμα τὴν Θεαρχικωτάτη Θεότητα, στὴν ὁποία πρέπει κάθε δόξα, τιμὴ καὶ προσκύνησι στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΣΗΜΕΙΩΣΕΙΣ - ΣΧΟΛΙΑ

ΠΑΡΑΠΟΜΠΕΣ

ΣΕ ΧΩΡΙΑ ΤΗΣ ΑΓΙΑΣ ΓΡΑΦΗΣ

[1] Σοφ. Σειρ. 15, 14.
[2] Ψαλμ. 32, 11.
[3] Ἰωάνν. 1, 12.
[4] Ἐφεσ. 4, 13.
[5] Πράξ. 19, 2.
[6] Α' Θεσσ. 5, 17.
[7] Λουκ. 17, 21.
[8] Ματθ. 23, 26.
[9] Ἐφεσ. 3, 14-17.
[10] Ἐφεσ. 5, 19.
[11] Β' Πέτρ. 1, 19.
[12] Δευτ. 4, 24.
[13] Ἰωάνν. 15, 5.
[14] Πρβ. Λουκ. 13, 23.
[15] Α' Τιμ. 2, 4.
[16] Α' Θεσσ. 5, 17.
[17] Ῥωμ. 7, 12.
[18] Ἰωάν. 14, 6.
[19] Παροιμ. 9, 1-6.
[20] Λουκ. 14, 18-20.
[21] Λουκ. 17, 21.
[22] Ματθ. 13, 44.
[23] Ἰωάνν. 17, 11.

ΣΗΜΕΙΩΣΕΙΣ[β']

[α'] Πρόκειται γιὰ τὸ ἴδιο τὸ κείμενο τοῦ Ἁγίου Νικοδήμου τοῦ Ἁγιορείτου, τὸ ὁποῖο ὁ ἴδιος ὁ Ἅγιος χρησιμοποιεῖ ὡς ἐπιμύθιο στὸν βίο, ποὺ συνέταξε γιὰ τὸν Ἅγιο Μᾶρκο τὸν Ἀσκητή (βλ. σ. 352 τοῦ παρόντος

τομ. Α΄ τῆς Φιλοκαλίας). Ἐδῶ τὸ αὐτὸ κείμενο χρησιμοποιεῖται κατ᾽ ἀντιστοιχίαν προσαρμοσμένο, στὸν βίο τοῦ ἴδιου τοῦ Ἁγίου Νικοδήμου τοῦ Ἁγιορείτου.

β΄


ΔΙΕΥΚΡΙΝΙΣΕΙΣ

Ἐπειδὴ τὸ τμῆμα τῶν ΣΗΜΕΙΩΣΕΩΝ - ΣΧΟΛΙΩΝ ἐμφανίζει μία πολλαπλότητα ὡς πρὸς τὴν μορφή του, κάνουμε περὶ αὐτοῦ τὶς ἀναγκαῖες διευκρινίσεις. Συγκεκριμένα στὸ τμῆμα τῶν ΣΗΜΕΙΩΣΕΩΝ-ΣΧΟΛΙΩΝ παρουσιάζονται:

1. Μὲ τὴν ξεχωριστὴ ἔνδειξι: ΣΗΜΕΙΩΣΕΙΣ - ΣΧΟΛΙΑ ΑΓΙΟΥ ΝΙΚΟΔΗΜΟΥ, παρουσιάζονται οἱ μικρὲς σημειώσεις μὲ τὶς ὁποῖες ὁ ἴδιος ὁ Ἅγιος εἶχε ἐνσημάνει τὴν ἔκδοσι τῆς Βενετίας τοῦ 1782. Αὐτὲς ἦταν δύο εἰδῶν: α)ὅσες ἀφοροῦσαν κριτικὰ σχόλια ἐπὶ τῶν λέξεων τοῦ κειμένου, οἱ ὁποῖες ἐσημειώνοντο στὶς παράπλευρες τοῦ διστήλου κειμένου στῆλες τῶν στίχων καὶ ἀνάμεσα σ᾽ αὐτοὺς καὶ β)ὅσες σχολίαζαν ἐπὶ τοῦ πνευματικοῦ θέματος ποὺ ἀνέπτυσσε ὁ συγγραφέας τοῦ κειμένου. Αὐτὲς οἱ τελευταῖες, οἱ ὁποῖες ἦταν καὶ σαφῶς λιγώτερες, ἦταν τοποθετημένες ἐν εἴδει ὑποσημειώσεων ἀκριβῶς κάτω ἀπὸ τὸ κείμενο ποὺ σχολίαζαν μὲ σύμβολο παραπομπῆς ἀστερίσκο:*. Στὴν παροῦσα ἔκδοσι, ὅλες οἱ σημειώσεις τοῦ Ἁγίου καὶ τῶν δύο εἰδῶν παραπέμπονται ἐδῶ, μὲ ἑλληνικὴ ἐρυθρὰ ἀρίθμησι ἐκ τῆς στήλης τοῦ πρωτοτύπου κειμένου, κατὰ τὴν σειρὰ ποὺ ἐμφανίζονται. Ὅσες ὅμως ἀνήκουν στὴν πρώτη κατηγορία καὶ ἀφοροῦν τὰ κριτικὰ σχόλια τοῦ Ἁγίου ἐπὶ τοῦ κειμένου, σημειώνονται ἐπιπλέον καὶ πάνω στὸ σῶμα τοῦ κειμένου, μέσα σὲ ἀγκύλη δίπλα στὴν διορθωτέα λέξι καὶ μετὰ τὴν ἔνδειξι *recte* πρὸς διευκόλυνσι τοῦ ἀναγνώστη.
2. Ἐπιπλέον μὲ τὴν ξεχωριστὴ ἔνδειξι ΠΑΡΑΠΟΜΠΕΣ ΣΕ ΧΩΡΙΑ ΤΗΣ ΑΓΙΑΣ ΓΡΑΦΗΣ, στὸ ἴδιο τμῆμα παρουσιάζεται καὶ τὸ testimonium μὲ τὶς παραπομπὲς ἐκ τῶν χωρίων τῆς Ἁγίας Γραφῆς ποὺ ἐνυπάρχουν στὰ κείμενα. Οἱ ἐν λόγῳ παραπομπὲς ἐνσημαίνονται μὲ ἀραβικὴ ἐρυθρὰ ἀρίθμησι στὴ στήλη τοῦ πρωτοτύπου κειμένου, ὅπου καὶ ἡ αὐθεντικὴ μορφὴ τοῦ ἀντιστοίχου χωρίου.
3. Οἱ ΣΗΜΕΙΩΣΕΙΣ, οἱ ὁποῖες ἀφοροῦν ἀναγκαῖες πληροφορίες ἢ διευκρινίσεις σχετικὰ μὲ τὴν ἀπόδοσι τῶν νοημάτων σὲ μεταφραστικὸ ἐπίπεδο καὶ παραπέμπονται ἐδῶ μὲ ἑλληνικὴ ἀρίθ-

μησι ἀπὸ τὴν στήλη τῆς ἀποδόσεως. Ἡ *Φιλοκαλία* κάνει εἰδικὴ χρῆσι κάποιων λέξεων, διευρύνοντας τὸ νόημά τους κατὰ τρόπο, ὥστε δι᾽ αὐτῶν νὰ ἐνσημανθοῦν τὰ ἀντίστοιχα πνευματικὰ νοήματα. Πέραν τῆς γενικῆς χρήσεως, κατὰ τὴν ἐκπόνησι τῆς νεοελληνικῆς ἀποδόσεως, λοιπῶν σχετικῶν πονημάτων, μεταξὺ τῶν ὁποίων ἰδιαιτέρως καὶ τὸ G. V. H. Lampe, *A Patristic Greek Lexicon*, Oxford 1961, ἡ παροῦσα προσπάθεια κατέφυγε στὶς περιπτώσεις ἀποδόσεως δυσερμηνεύτων ἢ δισήμων νοημάτων στὴν ἁγιοπνευματικὴ αὐθεντία τῶν Ἁγίων Πατέρων τῆς Ἐκκλησίας. Στὶς περιπτώσεις αὐτὲς οἱ παροῦσες σημειώσεις φιλοξενοῦν καὶ τὶς ἀναγκαῖες παραπομπές.

4. Ὁ ἴδιος χῶρος τῶν ΣΗΜΕΙΩΣΕΩΝ - ΣΧΟΛΙΩΝ περιλαμβάνει ἕνα ξεχωριστὸ τμῆμα τὸ ὁποῖο φέρει τὸν ὑπότιτλο ΣΧΟΛΙΑ. Στὸ τμῆμα αὐτὸ ἀποκλειστικὰ καταχωροῦνται ἑρμηνευτικὰ σχόλια τὰ ὁποῖα συνέταξε καὶ εὐγενῶς παραχώρησε στὴν παροῦσα ἔκδοσι ὁ Ἐλλογιμώτατος Καθηγητὴς τῆς Δογματικῆς Θεολογίας στὸ Τμῆμα Θεολογίας τοῦ Ἀριστοτελείου Πανεπιστημίου Θεσσαλονίκης κ. Δημήτριος Τσελεγγίδης. Τὰ σχόλια αὐτὰ ἀναφορικὰ πρὸς τὸ κείμενο, παραπέμπονται ἐδῶ μὲ ἀραβικὴ ἀρίθμησι ἀπὸ τὴν στήλη τῆς ἀποδόσεως.



ΑΓΙΟΣ ΑΝΤΩΝΙΟΣ Ο ΜΕΓΑΣ

οὗ ἡ μνήμη ἐν μηνὶ Ἰανουαρίῳ ιζ΄

ΣΥΝΤΟΜΟΣ ΒΙΟΓΡΑΦΙΑ ΚΑΙ ΛΟΓΟΙ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΑΝΤΩΝΙΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ

ΣΥΝΤΟΜΟΣ ΒΙΟΓΡΑΦΙΑ

Ἀντώνιος ὁ μέγας Πατὴρ ἡμῶν, ὁ τοῦ χοροῦ τῶν ἀσκητῶν κορυφαῖος, ἤκμασε μὲν ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ Μεγάλου, περίπου τὸ τριακοσιοστὸν τριακοστὸν ἔτος ἀπὸ Θεογονίας· σύγχρονος δὲ τῷ Μεγάλῳ Ἀθανασίῳ ἐγένετο, τῷ καὶ τὸν βίον αὐτοῦ κατὰ πλάτος συγγραψαμένῳ. Εἰς ἀκρότατον δὲ ἀρετῆς, καὶ ἀπαθείας ἐληλακώς· καίτοι ἰδιώτης, καὶ ἀγράμματος, διδάσκαλον ἄνωθεν ἔσχε τὴν τοὺς ἁλιεῖς, καὶ νηπίους συνετίζουσαν σοφίαν τοῦ Πνεύματος· παρ' ἧς καὶ τὸν νοῦν ἐλλαμπόμενος πολλὰς μέν, καὶ ἄλλας ἱεράς, καὶ πνευματικὰς ὑποθήκας διαφόροις ὑποθέσεσιν ἀνηκούσας εἰσηγήσατο, καὶ σοφωτάτας ἀποκρίσεις, πρὸς τοὺς ἐπερωτῶντας, ψυχικῆς ὠφελείας μεστὰς ἀπεκρίνατο· ὡς πολλαχοῦ τῶν Γεροντικῶν καθορῶνται. Πρὸς δὴ

Ἀντώνιος ὁ μεγάλος Πατέρας μας, ὁ κορυφαῖος τοῦ χοροῦ τῶν ἀσκητῶν, ἤκμασε μὲν ἐπὶ τῆς βασιλείας τοῦ Μεγάλου Κωνσταντίνου, περίπου τριακόσια τριάντα χρόνια ἀπὸ τὴν Γέννησι τοῦ Χριστοῦ, τοῦ Θεοῦ. Ὑπῆρξε δὲ σύγχρονος μὲ τὸν Μεγάλο Ἀθανάσιο, ὁ ὁποῖος συνέγραψε καὶ τὸν κατὰ πλάτος βίο του. Ἔχοντας δὲ προχωρήσει σὲ ὑπέρτατο μέτρο ἀρετῆς καὶ ἀπαθείας, ἂν καὶ ἀμόρφωτος καὶ ἀγράμματος εἶχε διδάσκαλο ἀπὸ τὸν Θεό, τὴν σοφία τοῦ [Παναγίου] Πνεύματος, ἡ ὁποία δίνει τὴν σύνεσι στοὺς ἁλιεῖς καὶ στούς [πνευματικῶς] νηπίους. Ἀπὸ αὐτήν [τὴν σοφία] ὁ νοῦς του λαμπρῶς φωτιζόμενος, πολλὲς καὶ ποικίλες ἱερὲς καὶ πνευματικὲς ὑποθῆκες σὲ διάφορα θέματα εἰσηγήθηκε καὶ πολὺ σοφὲς ἀπαντήσεις γεμάτες ἀπὸ ψυχικὴ ὠφέλεια ἀπήντησε σ' ἐκείνους πού [τόν] ρωτοῦσαν, ὅπως σὲ πολλὰ σημεῖα τῶν Γεροντικῶν φαίνονται. Ἐπιπλέον

ταύταις, καὶ τὰ τῇ παρούσῃ ἐμφερόμενα Βίβλῳ ἑκατὸν ἑβδομήκοντα κεφάλαια, ὁ ἀοίδιμος ἡμῖν καταλέλοιπεν. Ὅτι δὲ γνήσιος γόνος ταῦτα τῆς Θεοειδοῦς ἐκείνου διανοίας, πρὸς τοῖς ἄλλοις, καὶ ὁ ἐκ Δαμασκοῦ Ὁσιομάρτυς Πέτρος ἐπικυροῖ· ἀλλὰ γὰρ καὶ αὐτὴ ἡ ὑφὴ τῆς φράσεως πᾶσαν ἐξαίρει ἀμφιβολίας λαβήν, καὶ μονονουχὶ φωνὴν ἀφίησι τοῖς περιέργως διεξιοῦσι, σύγχρονα εἶναι τῆς ἀρχαιότητος ἐκείνης τῆς ἱερᾶς.

Οὐ θαυμαστὸν οὖν, εἰ πρὸς τὸ ἁπλούστερον τῆς Ὁμιλίας, καὶ ἀρχαιότροπον, καὶ ἠμελημένον τὰ τῆς λέξεως ἀπονένευκεν· ἀλλ' ἐκεῖνο θαυμαστόν, εἰ διὰ τοσαύτης ἁπλότητος τηλικαύτη σωτηρία, καὶ ὠφέλεια τοῖς ἀναγινώσκουσι προσγίνεται. Ὅσον γὰρ αὐτοῖς ἐνακμάζει τὸ πεῖθον· ὅσον δ' αὐτῶν ἀποστάζει τὸ ἡδύνον· καὶ ὅλως ὅσον ἐναποβρύει τὸ χρηστὸν ἦθος, καὶ τῆς Εὐαγγελικῆς πολιτείας τὸ ἀκριβές· εἴσονται δὲ πάντως ἡδονήν, οἱ τοῦ μέλιτος τούτου κατὰ τὸν νοητὸν φάρυγγα τῆς διανοίας γευσόμενοι.

μάλιστα μ' αὐτά, ὁ ἀοίδιμος μᾶς ἄφησε καὶ τὰ ἑκατὸν ἑβδομήντα κεφάλαια, τὰ ὁποῖα ἐμπεριέχονται στὸ παρὸν βιβλίο. Ὅτι δὲ γνήσιος καρπὸς τῆς θεοειδοῦς διανοίας ἐκείνου [τοῦ Μεγάλου Ἀντωνίου εἶναι] αὐτά [τὰ κεφάλαια], μαζὶ μὲ τὰ ἄλλα, [τό] ἐπικυρώνει καὶ ὁ Ὁσιομάρτυς Πέτρος ἀπὸ τὴν Δαμασκό. Ἀλλὰ βεβαίως καὶ αὐτὴ ἡ διάρθρωσι τοῦ λόγου ἀναιρεῖ κάθε λαβὴ ἀμφιβολίας καὶ σχεδὸν ἀφήνουν [βγάζουν τὰ κεφάλαια] φωνὴ σ' ἐκείνους, πού [τά] διέρχονται μὲ περιέργεια, ὅτι εἶναι σύγχρονα μὲ τὴν ἱερὰ ἀρχαία ἐκείνη ἐποχὴ [τοῦ Μεγάλου Ἀντωνίου].

Δέν [εἶναι] λοιπὸν θαυμαστό, ἐὰν ἔχῃ ἀπόκλισι, ὅσον ἀφορᾶ στὰ σχετικὰ μὲ τὸν τρόπο ἐκφράσεως πρὸς τὸ ἁπλούστερο τῆς ὁμιλίας καὶ πρὸς τὸν ἀρχαῖο τρόπο, καὶ σ' ἐκεῖνον ποὺ δὲν εἶναι ἐπιμελημένος, ἀλλὰ ἐκεῖνο [εἶναι] θαυμαστό, ἐὰν μέσῳ τόσης μεγάλης ἁπλότητος, τόση μεγάλη σωτηρία καὶ ὠφέλεια προκύπτει σὲ ὅσους διαβάζουν [τοὺς λόγους του]. Πόσο δηλαδὴ σ' αὐτά [τὰ κεφάλαια] ἀκμάζει [εἶναι πλούσια] ἡ πειθώ· πόση ἀπ' αὐτὰ σταλάζει ἡ γλυκύτητα· καὶ γενικῶς πόσον ἀναβλύζει τὸ χρηστὸν ἦθος καὶ ἡ ἀκρίβεια τῆς Εὐαγγελικῆς πολιτείας. Θὰ γνωρίσουν ὁπωσδήποτε ἡδονὴ στὸν νοητὸ φάρυγγα τῆς διανοίας, ὅσοι θὰ γευθοῦν αὐτὸ τὸ μέλι.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΑΝΤΩΝΙΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ

ΛΟΓΟΙ

I

ΠΑΡΑΙΝΕΣΕΙΣ ΠΕΡΙ ΗΘΟΥΣ ΑΝΘΡΩΠΩΝ ΚΑΙ ΧΡΗΣΤΗΣ ΠΟΛΙΤΕΙΑΣ

ΕΝ ΚΕΦΑΛΑΙΟΙΣ ΡΟ΄ – ΣΕ 170 ΚΕΦΑΛΑΙΑ

α΄. Οἱ ἄνθρωποι λογικοὶ καταχρηστικῶς λέγονται· οὐκ εἰσὶ δὲ λογικοί, οἱ τοὺς λόγους, καὶ τὰ βιβλία τῶν πάλαι σοφῶν ἐκμαθόντες· ἀλλ᾽ οἱ λογικὴν ἔχοντες ψυχήν, καὶ δυνάμενοι διακρίνειν, τί μέν ἐστι τὸ καλόν, ποῖον δέ ἐστι τὸ κακόν· καὶ τὰ μὲν πονηρά, καὶ ψυχοβλαβῆ φεύγοντες, τὰ δὲ ἀγαθά, καὶ ψυχωφελῆ σπουδαίως διὰ μελέτης ἔχοντες. Καὶ ταῦτα πράττοντες μετὰ πολλῆς τῆς πρὸς τὸν Θεὸν εὐχαριστίας· οὗτοι μόνοι λογικοὶ ἄνθρωποι κατὰ ἀλήθειαν ὀφείλουσι λέγεσθαι.

β΄. Ὁ τῇ ἀληθείᾳ λογικὸς ἄνθρωπος, μίαν ἔχει σπουδήν, τὸ πείθεσθαι, καὶ ἀρέ-

1. Οἱ ἄνθρωποι καταχρηστικῶς λέγονται λογικοί. Δὲν εἶναι δὲ λογικοὶ ἐκεῖνοι ποὺ ἔμαθαν τοὺς λόγους καὶ τὰ βιβλία τῶν παλαιῶν σοφῶν, ἀλλὰ ἐκεῖνοι ποὺ ἔχουν λογικὴ ψυχὴ καὶ μποροῦν νὰ διακρίνουν, ποιὸ εἶναι τὸ καλό, καὶ ποιὸ εἶναι τὸ κακό, καὶ οἱ ὁποῖοι, τὰ μὲν πονηρὰ καὶ ψυχοβλαβῆ ἀποφεύγουν, τὰ δὲ ἀγαθὰ καὶ ψυχωφελῆ τηροῦν μὲ ζῆλο καὶ μὲ ἐπιμέλεια. Καί, ἐνῶ κάνουν αὐτά, ἐκφράζονται πρὸς τὸν Θεὸ μὲ πολλὴ εὐγνωμοσύνη. Μόνοι αὐτοὶ πρέπει νὰ λέγωνται ἀληθινὰ λογικοὶ ἄνθρωποι.

2. Ὁ ἀληθινὰ λογικὸς ἄνθρωπος μία φροντίδα ἔχει, τὸ πῶς νὰ ὑπακούῃ καὶ νὰ ἀρέσῃ

σκειν τῷ Θεῷ τῶν ὅλων· καὶ εἰς τοῦτο καὶ μόνον παιδεύεσθαι τὴν ἑαυτοῦ ψυχήν, ὅπως εὐαρεστήσῃ τῷ Θεῷ, εὐχαριστῶν τῇ τοιαύτῃ καὶ τοσαύτῃ αὐτοῦ προνοίᾳ, καὶ διοικήσει τῶν ὅλων, κἂν ὁποίᾳ ἐντύχῃ κατὰ τὸν βίον. Ἄτοπον γάρ, τοῖς μὲν ἰατροῖς καὶ πικρὰ καὶ οὐκ ἀρέσκοντα ἡμῖν παρέχουσι φάρμακα, εὐχαριστεῖν ὑπὲρ τῆς ὑγείας τοῦ σώματος· τῷ δὲ Θεῷ ὑπὲρ τῶν δοκούντων ἡμῖν δυσχερῶν ἀχαριστεῖν, καὶ μὴ γινώσκειν, ὅτι πάντα δεόντως, καὶ εἰς τὸ συμφέρον ἡμῖν κατὰ πρόνοιαν αὐτοῦ γίνεται. Ἡ γὰρ γνῶσις καὶ ἡ πίστις ἡ πρὸς τὸν Θεόν, σωτηρία καὶ τελειότης ἐστὶ τῆς ψυχῆς.

γ΄. Τὴν ἐγκράτειαν, καὶ τὴν ἀνεξικακίαν, καὶ τὴν σωφροσύνην, καὶ τὴν καρτερίαν, καὶ τὴν ὑπομονήν, καὶ τὰ ὅμοια τούτοις, μεγίστας καὶ ἐναρέτους δυνάμεις εἰλήφαμεν παρὰ τοῦ Θεοῦ· ἀντιτεταγμένας καὶ ἀνθισταμένας, καὶ βοηθούσας πρὸς τὰ ἐκεῖθεν δυσχερῆ· ἅς τινας δυνάμεις ἐὰν γυμνά-

στὸν Θεὸ τῶν ὅλων, καὶ σ᾽ αὐτὸ καὶ μόνο νὰ παιδαγωγῇ τὴν ψυχή του, ὥστε νὰ εὐαρεστήσῃ τὸν Θεό, ἐκφράζοντας τὴν εὐγνωμοσύνη του γιὰ τὴν τόσο ἐξαίρετη καὶ τόσο πλούσια πρόνοιά του καὶ γιὰ τὴν διοίκησι τῶν πάντων, ὅποια κι᾽ ἂν συμβῇ νὰ εἶναι αὐτή [ἡ διοίκησι] κατὰ τὴν διάρκεια τοῦ βίου. Διότι εἶναι ἀνάρμοστο τοὺς μὲν γιατροὺς νὰ εὐχαριστοῦμε γιὰ τὴν ὑγεία τοῦ σώματος, ὅταν μᾶς δίδουν φάρμακα πικρά, ἂν καὶ δὲν μᾶς ἀρέσουν, στὸν δὲ Θεὸ νὰ γινώμαστε ἀχάριστοι ἐξ αἰτίας ἐκείνων, ποὺ μᾶς φαίνονται δυσάρεστα καὶ νὰ μὴν ἀναγνωρίζουμε, ὅτι ὅλα γίνονται, ὅπως πρέπει καὶ πρὸς τὸ συμφέρον μας καὶ σύμφωνα μὲ τὴν πρόνοιά Του. Ἀναμφίβολα ἡ γνῶσι [τοῦ Θεοῦ] καὶ ἡ πίστι πρὸς τὸν Θεὸ εἶναι σωτηρία καὶ τελειότης τῆς ψυχῆς.

3. Τὴν ἐγκράτεια καὶ τὴν ἀνεξικακία καὶ τὴν σωφροσύνη καὶ τὴν καρτερία καὶ τὴν ὑπομονὴ καὶ τὰ ὅμοια αὐτῶν, παραλάβαμε ἀπὸ τὸν Θεό, ὡς τὶς μεγαλύτερες καὶ πλήρεις ἀρετῆς δυνάμεις, οἱ ὁποῖες ἀντιτάσσονται καὶ ἀντιστέκονται καὶ βοηθοῦν στὰ δύσκολα [περιστατικά], ποὺ προέρχονται ἀπὸ τὴν ἀπέναντι [ἐχθρικὴ παράταξι τοῦ διαβόλου], τὶς ὁποῖες δυνάμεις, ἐὰν τὶς ἐξα-

ζωμεν, καὶ πρὸς χεῖρας ἔχωμεν, οὐδὲν ἔτι χαλεπόν, ἢ ὀδυνηρόν, ἢ ἀφόρητον ὑπολαμβάνομεν ἡμῖν γίνεσθαι· λογιζόμενοι, ὅτι πάντα ἀνθρώπινά ἐστι, καὶ νικῶνται ὑπὸ τῶν ἐν ἡμῖν ἀρετῶν. Τοῦτο οὐκ ἐνθυμοῦνται οἱ ἀνόητοι τὴν ψυχήν. Οὐδὲ γὰρ λογίζονται, ὅτι πάντα καλῶς, καὶ δεόντως γίνεται εἰς τὸ συμφέρον ἡμῖν, ἵνα διαλάμψωσιν αἱ ἀρεταί, καὶ στεφανωθῶμεν ὑπὸ τοῦ Θεοῦ.

δ΄. Τὴν τῶν χρημάτων κτῆσιν, καὶ τὴν πλουσίαν χρῆσιν, φαντασίαν μόνην ὀλιγοχρόνιον λογιζόμενος, καὶ γινώσκων, ὅτι ἡ ἐνάρετος, καὶ τῷ Θεῷ ἀρέσκουσα πολιτεία, τοῦ πλούτου διαφέρει· τοῦτο ἀσφαλῶς μελετῶν καὶ διὰ μνήμης ἔχων, οὐ στενάξεις, οὐκ οἰμώξεις, οὐ μέμψῃ οὐδένα, ἀλλὰ περὶ πάντων εὐχαριστήσεις τῷ Θεῷ, ὁρῶν τοὺς χείρονας σαυτοῦ, καὶ λόγῳ, καὶ χρήμασιν ἐπερειδομένους. Κάκιστον γὰρ πάθος ψυχῆς, ἤτε ἐπιθυμία, καὶ ἡ δόξα, καὶ ἡ ἄγνοια.

σκοῦμε καὶ τὶς ἔχουμε πρόχειρες, ἀντιλαμβανόμεθα, ὅτι πλέον κανένα δύσκολο ἢ ὀδυνηρὸ ἢ ἀφόρητο [γεγονός] δὲν συμβαίνει σ᾽ ἐμᾶς, σκεπτόμενοι, ὅτι ὅλα εἶναι ἀνθρώπινα καὶ νικῶνται ἀπὸ τὶς ἀρετές, ποὺ βρίσκονται ἐντός μας. Αὐτὸ δὲν τὸ λαμβάνουν ὑπ᾽ ὄψιν οἱ ἀνόητοι στὴν ψυχή. Οὔτε βέβαια σκέπτονται, ὅτι ὅλα γίνονται καλῶς καὶ ὅπως πρέπει πρὸς τὸ συμφέρον μας, γιὰ νὰ λάμψουν οἱ ἀρετὲς καὶ νὰ στεφανωθοῦμε ἀπὸ τὸν Θεό.

4. Τὴν ἀπόκτησι τῶν χρημάτων καὶ τὴν πλούσια μεταχείρισί τους, νὰ τὴν σκέπτεσαι μόνο σὰν ὀλιγόχρονη φαντασία καὶ νὰ γνωρίζῃς, ὅτι ἡ ἐνάρετη πολιτεία, ποὺ καὶ στὸν Θεὸ ἀρέσει, διαφέρει ἀπὸ τὸν πλοῦτο. Ὅταν αὐτὸ τὸ μελετᾷς σταθερὰ καὶ τὸ ἔχῃς στὴν μνήμη [σου], δὲν θὰ στενάξῃς οὔτε θὰ θρηνήσῃς οὔτε θὰ κατηγορήσῃς κανένα, ἀλλὰ θὰ εὐχαριστήσῃς γιὰ ὅλα τὸν Θεό, βλέποντας ὅτι ἐκεῖνοι, ποὺ εἶναι χειρότεροι ἀπὸ σένα, στηρίζονται στὰ λόγια καὶ τὰ χρήματα. Διότι πράγματι κάκιστο πάθος τῆς ψυχῆς [εἶναι] καὶ ἡ ἐπιθυμία καὶ ἡ δόξα καὶ ἡ ἄγνοια.

ε΄. Ὁ λογικὸς ἀνήρ, αὐτὸς ἑαυτὸν θεωρῶν, δοκιμάζει τὰ πρέποντα, καὶ τὰ συμφέροντα αὐτῷ· καὶ τίνα μὲν ἴδια τῆς ψυχῆς ὑπάρχει, καὶ ὠφέλιμα, τίνα δὲ ἀλλότρια αὐτῆς. Καὶ οὕτω φεύγει τὰ βλάπτοντα τὴν ψυχὴν ὡς ἀλλότρια, καὶ χωρίζοντα αὐτὸν τῆς ἀθανασίας.

ϛ΄. Ὅσον τις μετριώτερον ἔχει τὸν βίον, τοσοῦτον ὑπάρχει εὐδαιμονέστερος· ὅτι οὐ φροντίζει περὶ πολλῶν· δούλων, γεωργῶν, καὶ κτήσεως ἀλόγων. Τούτοις γὰρ ἑαυτοὺς προσηλοῦντες, καὶ εἰς τὰ ἐκ τούτων συμβαίνοντα δυσχερῆ περιπίπτοντες, μεμφόμεθα τὸν Θεόν. Ἐκ δὲ τῆς αὐθαιρέτου ἡμῶν ἐπιθυμίας ὁ θάνατος ἀρδεύεται, καὶ μένομεν ἐν τῷ σκότει τοῦ βίου τῶν ἁμαρτημάτων πλανώμενοι, μὴ ἀναγνωρίζοντες ἑαυτούς.

ζ΄. Οὐκ ὀφείλει τις λέγειν, ὅτι οὐ δυνατὸν ἀνθρώπῳ ἐνάρετον βίον [recte:ἐναρέτου βίου] ἐπιτυχεῖν, ἀλλ᾽ ὅτι οὐκ εὐχερές· οὐδὲ τοῖς τυχοῦσιν εὔληπτόν ἐστι τὸ τοιοῦτον. Ἐνάρετον δὲ μετέχουσιν βίον, ὅσοι εἰσὶν ἐν

5. Ὁ λογικὸς ἄνθρωπος, ἐκεῖνος ὁ ὁποῖος ὁ ἴδιος ἐξετάζει τὸν ἑαυτό του, δοκιμάζει ποιὰ εἶναι γι᾽ αὐτὸν τὰ ἁρμόζοντα καὶ τὰ συμφέροντα καὶ ποιὰ εἶναι τὰ οἰκεῖα πρὸς τὴν ψυχὴ καὶ ὠφέλιμα, ποιὰ δέ [εἶναι] ξένα πρὸς αὐτήν. Καὶ ἔτσι ἀποφεύγει ἐκεῖνα, ποὺ βλάπτουν τὴν ψυχή, καθὼς [εἶναι] ἀνάρμοστα καὶ τὸν χωρίζουν ἀπὸ τὴν ἀθανασία.

6. Ὅσο πιὸ μετρημένη περιουσία ἔχει κανείς, τόσο εὐτυχέστερος εἶναι, διότι δὲν φροντίζει γιὰ πολλά· γιὰ ὑπηρέτες, γιὰ καλλιεργητὲς τῆς γῆς καὶ ἀπόκτηση ζώων. Διότι, μὲ τὸ νὰ ἀφιερώνουμε τοὺς ἑαυτούς μας σ᾽ αὐτά [τὰ πολλά] καὶ μὲ τὸ νὰ περιπίπτουμε στὶς δυσβάστακτες [καταστάσεις], ποὺ συμβαίνουν ἐξ αἰτίας αὐτῶν, κατηγοροῦμε τὸν Θεό. Ἀπὸ δὲ τὴν αὐτοπροαίρετη ἐπιθυμία μας ποτίζεται ὁ θάνατος καὶ παραμένουμε μέσα στὸ σκοτάδι τοῦ βίου, ἐξαπατώμενοι ἀπὸ τὶς ἁμαρτίες, δίχως νὰ λάβωμε γνῶσι τοῦ ἑαυτοῦ μας.

7. Δὲν πρέπει κανεὶς νὰ λέῃ, ὅτι δὲν εἶναι δυνατὸν στὸν ἄνθρωπο νὰ ἐπιτύχῃ τὸν ἐνάρετο βίο, ἀλλὰ ὅτι δὲν εἶναι εὔκολο. Οὔτε ἀπὸ τοὺς ὁποιουσδήποτε τυχαίους προσλαμβάνεται εὔκολα αὐτό, [δηλαδὴ ὁ ἐνάρετος βίος]. Τοῦ ἐναρέτου δὲ βίου γίνονται μέτοχοι, ὅσοι ἀπὸ τοὺς ἀνθρώ-

ἀνθρώποις εὐσεβεῖς, καὶ θεοφιλῆ ἔχοντες νοῦν. Ὁ γὰρ κοινὸς νοῦς κοσμικός ἐστι καὶ τρεπτός, νοήσεις παρέχων ἀγαθάς τε καὶ κακάς, ἀλλοιούμενος τῇ φύσει, καὶ πρὸς τὴν ὕλην ἀλλαττόμενος· ὁ δὲ θεοφιλὴς νοῦς, τιμωρός ἐστι τῆς κακίας, τῆς ἐν ἀνθρώποις ἐκ τῆς ῥαθυμίας αὐθαιρέτως προσγινομένης.

η΄. Οἱ ἀπαίδευτοι καὶ ἰδιῶται, γελοῖον τοὺς λόγους λογίζονται, καὶ οὐ θέλουσιν αὐτῶν ἀκούειν, ἐπειδὴ ἐλέγχεται αὐτῶν ἡ ἀπαιδευσία, καὶ θέλουσι πάντας ὁμοίους αὐτοῖς ὑπάρχειν· τὸν αὐτὸν τρόπον καὶ οἱ ἀκόλαστοι τὸν βίον καὶ τοὺς τρόπους, χείρονας αὐτῶν ἅπαντας σπουδάζουσιν εἶναι, τὸ ἀνέγκλητον ἑαυτοῖς, ἐκ τοῦ πλήθους τῶν κακῶν θηρᾶσθαι νομίζοντες. Ἀπόλλυται καὶ θολοῦται ἡ ἄτονος ψυχὴ ὑπὸ τῆς κακίας, ἐχούσης ἐν αὐτῇ ἀσωτείαν, ὑπερηφανίαν, ἀπληστίαν, ὀργήν, προπέτειαν, λύσσαν, φόνον, ὀδυρμόν, φθόνον, πλεονεξίαν,

πους εἶναι εὐσεβεῖς καὶ ἔχουν νοῦ θεοφιλῆ, [ποὺ ἀγαπᾶ τὸν Θεό]. Διότι ὁ κοινὸς νοῦς εἶναι κοσμικὸς καὶ μεταβαλλόμενος, παρέχοντας διανοήματα καὶ ἀγαθὰ καὶ κακά. Ἀλλοιώνεται ὡς πρὸς τὴν φύσι καὶ μεταβάλλεται ὡς πρὸς τὴν ὕλη [του]. Ὁ δὲ θεοφιλὴς νοῦς εἶναι τιμωρὸς τῆς κακίας, ἡ ὁποία γίνεται ἑκούσια ἀπὸ τοὺς ἀνθρώπους ἐξ αἰτίας τῆς ραθυμίας [τους].

8. Οἱ ἀπαίδευτοι καὶ ἀμαθεῖς θεωροῦν τούς [θείους] λόγους γελοῖο πρᾶγμα καὶ δὲν θέλουν νὰ τοὺς ἀκοῦν, ἐπειδὴ ἐλέγχεται ἡ ἀπαιδευσία τους καὶ θέλουν νὰ εἶναι ὅλοι ὅμοιοι μ᾽αὐτούς. Κατὰ τὸν ἴδιο τρόπο κι᾽ἐκεῖνοι ποὺ εἶναι ἀκόλαστοι ὡς πρὸς τὸν βίο καὶ τοὺς τρόπους, φροντίζουν νὰ εἶναι ὅλοι χειρότεροί τους, ἐπειδὴ νομίζουν, ὅτι θὰ ἐξασφαλίσουν γιὰ τὸν ἑαυτό τους τὸ ἀτιμώρητο, ἕνεκα τοῦ πλήθους τῶν κακῶν [ἀνθρώπων]. Χάνεται καὶ σκοτίζεται ἡ χαύνη ψυχὴ ἀπὸ τὴν κακία, ἡ ὁποία ἔχει μέσα της ἀσωτία, ὑπερηφάνια, ἀπληστία, ὀργή, αὐθάδεια, μανία, φόνο, θρῆνο, φθόνο, πλεονεξία,

ἁρπαγήν, πόνον, ψεῦδος, ἡδονήν, ὄκνον, λύπην, δειλίαν, νόσον, μῖσος, μέμψιν, ἀδυναμίαν, πλάνην, ἄγνοιαν, ἀπάτην, λήθην Θεοῦ. Διὰ τούτων, καὶ τῶν ὁμοίων τούτοις τιμωρεῖται ἡ ἀθλία ψυχὴ ἡ χωρίζουσα ἑαυτὴν τοῦ Θεοῦ.

θ΄. Οἱ τὸν ἐνάρετον καὶ εὐλαβῆ καὶ ἐπίδοξον βίον ἀσκεῖν βουλόμενοι, οὐκ ἐκ τοῦ πεπλασμένου ἤθους, ἢ τῆς ψευδοῦς πολιτείας ὀφείλουσι κρίνεσθαι· ἀλλ᾽ ὥς περ οἱ τεχνῖται τῶν ζωγράφων καὶ τῶν ἀνδριαντοπλάστων, ἐξ αὐτῶν τῶν ἔργων τὴν ἐνάρετον καὶ θεοφιλῆ πολιτείαν ἐπιδείκνυνται· καὶ ὥς περ παγίδας, οὕτω πάσας τὰς πονηρὰς ἡδονὰς ἀποστρέφονται.

ι΄. Ὁ πλούσιος, καὶ εὐγενὴς παρὰ τοῖς καλῶς φρονοῦσι, παιδεύσεως ψυχικῆς δίχα, καὶ ἀρετῆς βίου ἁπάσης, κακοδαίμων ὑπάρχει· ὥς περ ὁ πένης καὶ δοῦλος τὴν τύχην, παιδεύσει καὶ ἀρετῇ βίου κεκοσμημένος, εὐδαίμων ὑπάρχει. Ὥς περ δὲ οἱ ξένοι ἐν ταῖς ὁδοῖς πλανῶνται, οὕτω καὶ οἱ ἐναρέ-

ἁρπαγή, πόνο, ψεῦδος, ἡδονή, νωθρότητα, λύπη, δειλία, ἀσθένεια, μῖσος, κατηγορία, ἀδυναμία, πλάνη, ἄγνοια, ἀπάτη, λήθη τοῦ Θεοῦ. Μ᾽αὐτὰ καὶ μὲ τὰ ὅμοια αὐτῶν τιμωρεῖται ἡ ἀθλία ψυχή, ἡ ὁποία χωρίζει τὸν ἑαυτό της ἀπὸ τὸν Θεό.

9. Ἐκεῖνοι, οἱ ὁποῖοι θέλουν νὰ ἀσκήσουν τὸν ἐνάρετο καὶ εὐλαβῆ καὶ ἐπιφανῆ βίο, ὀφείλουν νὰ διακρίνωνται, ὄχι ἀπὸ τὸ ἐπίπλαστο ἦθος ἢ τὸν ψεύτικο τρόπο ζωῆς, ἀλλὰ καθὼς οἱ ἔμπειροι καλλιτέχνες ἀπὸ τοὺς ζωγράφους καὶ τοὺς ἀγαλματοποιούς, ἐπιδεικνύουν ἐκ τῶν ἰδίων τους ἔργων τὸν ἐνάρετο καὶ θεοφιλῆ τρόπο τῆς ζωῆς [τους] καὶ σὰν παγίδες, ἔτσι ἀκριβῶς, ἀποστρέφονται ὅλες τὶς πονηρὲς ἡδονές.

10. Ὁ πλούσιος καὶ ὁ καταγόμενος ἀπὸ εὐγενὲς γένος, ὁ ὁποῖος στερεῖται παντελῶς ψυχικῆς καλλιεργείας καὶ ἐναρέτου πολιτείας, γιὰ ἐκείνους, ποὺ σκέπτονται σωστά, εἶναι δυστυχής, ὅπως κι᾽ ἐκεῖνος, ποὺ ἕνεκα τῆς τύχης του εἶναι πτωχὸς ἢ δοῦλος, ὅταν βρίσκεται στολισμένος μὲ καλλιέργεια καὶ ἐνάρετο τρόπο ζωῆς εἶναι μακάριος. Ὅπως δὲ οἱ ξένοι περιπλανῶνται καὶ χάνονται στοὺς δρόμους, ἔτσι κι᾽ἐκεῖνοι, ποὺ δὲν ἐπιμε-

του βίου μὴ ἐπιμελούμενοι, ὑπὸ τῆς ἐπιθυμίας πλανώμενοι ἀπόλλυνται.

ια΄. Ἀνθρωποποιὸς ὀφείλει λέγεσθαι, ὁ τοὺς ἀπαιδεύτους ἡμερῶσαι δυνάμενος, ἵνα λόγων καὶ παιδεύσεως ἐρασθῶσι. Τὸν αὐτὸν τρόπον καὶ οἱ τοὺς ἀκολάστους τὸν βίον, ἐπὶ τὴν ἐνάρετον, καὶ Θεῷ ἀρέσκουσαν πολιτείαν μεταῤῥυθμίζοντες, ἀνθρωποποιοὶ ὀφείλουσι λέγεσθαι, ὡς τοὺς ἀνθρώπους ἀναπλάττοντες. Πρᾳότης γάρ, καὶ ἐγκράτεια, εὐδαιμονία ἐστί, καὶ ἐλπὶς ἀγαθὴ ταῖς ψυχαῖς τῶν ἀνθρώπων.

ιβ΄. Πρέπει τοὺς ἀνθρώπους, κατὰ ἀλήθειαν, τὰ ἤθη, καὶ τὴν ἑαυτῶν πολιτείαν δεόντως ἀσκεῖν· τούτου γὰρ κατορθωθέντος, εὐχερῶς τὰ περὶ Θεοῦ γινώσκεται. Ὁ γὰρ ἐξ ὅλης καρδίας, καὶ πίστεως σεβόμενος τὸν Θεόν, προνοεῖται παρ᾽ αὐτοῦ, θυμοῦ, καὶ ἐπιθυμίας κρατεῖν· πάντων γὰρ τῶν κακῶν αἰτία, ἡ ἐπιθυμία, καὶ ὁ θυμός.

ιγ΄. Ἄνθρωπος λέγεται, ἢ ὁ λογικός, ἢ ὁ διορθωθῆναι

λοῦνται τοῦ ἐναρέτου τρόπου ζωῆς, χάνονται, ἐξαπατώμενοι ἀπὸ τὴν ἐπιθυμία.

11. Ἀνθρωποποιὸς πρέπει νὰ λέγεται ἐκεῖνος, ποὺ μπορεῖ νὰ δαμάση τοὺς ἀκαλλιεργήτους, ὥστε νὰ ἀγαπήσουν τοὺς λόγους [περὶ Θεοῦ] καὶ τὴν ἄσκησι. Κατὰ τὸν ἴδιο τρόπο κι᾽ αὐτοί, ποὺ μεταστρέφουν αὐτοὺς ποὺ διάγουν ἀκόλαστο βίο πρὸς τὴν ἐνάρετη καὶ ἀρεστὴ πρὸς τὸν Θεὸ πολιτεία, θὰ πρέπει νὰ λέγωνται ἀνθρωποποιοί, ἐπειδὴ ἀναμορφώνουν τοὺς ἀνθρώπους. Γιατὶ ἡ πραότητα καὶ ἡ ἐγκράτεια εἶναι μακαριότητα καὶ ἀγαθὴ ἐλπίδα γιὰ τὶς ψυχὲς τῶν ἀνθρώπων.

12. Πρέπει πράγματι οἱ ἄνθρωποι νὰ ἀσκοῦν τὰ ἤθη καὶ τὴν καθημερινὴ προσωπική τους ζωὴ κατὰ τὸν πρέποντα τρόπο. Διότι, ὅταν αὐτὸ κατορθωθῇ, ὅλα ὅσα ἀφοροῦν τὸν Θεό, γνωρίζονται μὲ εὐκολία. Γιατὶ ἐκεῖνος, ὁ ὁποῖος μὲ ὅλη τὴν καρδία καὶ τὴν πίστι του, σέβεται τὸν Θεό, δέχεται πρόνοια ἀπ᾽Αὐτὸν νὰ συγκρατῇ τὸν θυμὸ καὶ τὴν ἐπιθυμία του. Διότι αἰτία ὅλων τῶν κακῶν [εἶναι] ἡ ἐπιθυμία καὶ ὁ θυμός.

13. Ἄνθρωπος λέγεται ἢ ὁ λογικὸς ἢ ἐκεῖνος, ὁ ὁποῖος ἀνέχεται

ἀνεχόμενος· ὁ γὰρ ἀδιόρθωτος, ἀπάνθρωπος καλεῖται· ὅτι τοῦτο ἀπανθρώπων ἐστί· καὶ φευκτέοι εἰσὶν οἱ τοιοῦτοι. Τοῖς γὰρ τῇ κακίᾳ συζῶσιν, οὐκ ἔξεστιν ἐν ἀθανάτοις γενέσθαι ποτέ.

ιδ΄. Τὸ λογικὸν ἡμῖν κατὰ ἀλήθειαν συμπαρόν, ἀξίους ἡμᾶς ποιεῖ τοῦ ὀνομάζεσθαι ἀνθρώπους. Ἀπολιμπανόμενοι δὲ τοῦ λογικοῦ, τῇ διαπλάσει τῶν μελῶν μόνῃ, καὶ τῇ φωνῇ τῶν ἀλόγων διαφέρομεν. Ἀναγνωρισάτω οὖν ὁ εὔνους ἄνθρωπος, ἑαυτὸν ὄντα ἀθάνατον καὶ μισήσει πᾶσαν αἰσχρὰν ἐπιθυμίαν, τὴν αἰτίαν τοῦ θανάτου γινομένην ἀνθρώποις.

οθ΄. Ὁ μὲν λογικὸς ἄνθρωπος, ὑπὸ τῶν ἐν αὐτῷ λογικῶν αἰσθήσεων, διὰ τῶν παθῶν τῆς ψυχῆς, πολεμεῖται. Εἰσὶ δὲ αἱ μὲν τοῦ σώματος αἰσθήσεις πέντε· ὅρασις, ὄσφρησις, ἀκοή, γεῦσις, καὶ ἁφή. Διὰ τῶν πέντε τούτων αἰσθήσεων, τοῖς τέσσαρσι πάθεσι τοῖς ἰδίοις ὑποπίπτουσα, αἰχμαλωτεύεται ἡ ἀθλία ψυχή. Εἰσὶ δὲ

ἄνθρωποι καὶ οἱ ἀθλητὲς οἱ ἄξιοι νὰ στεφανωθοῦν ἀπὸ τὸν Θεό. Πρέπει λοιπὸν νὰ νεκρώσουν τὰ μέλη ἀπὸ ὅλα τὰ βιοτικὰ στὴν ζωὴ αὐτή. Διότι ὁ νεκρὸς οὐδέποτε φροντίζει γιὰ κάποιο [θέμα] βιοτικό.

78. Δὲν πρέπει ἡ λογικὴ καὶ ἀγωνιζόμενη ψυχὴ εὐθὺς νὰ συστέλλεται ἀπὸ τὸν φόβο καὶ νὰ δειλιάζῃ ἐνώπιον τῶν παθημάτων, τὰ ὁποῖα συμβαίνουν, γιὰ νὰ μὴν περιγελαστῇ σὰν δειλή. Διότι ἡ ψυχή, ἡ ὁποία ταράσσεται ἀπὸ τὶς φαντασίες τῶν βιοτικῶν [ὑποθέσεων] ἀπομακρύνεται ἀπὸ τὸ πρέπον. Διότι οἱ ψυχικές μας ἀρετὲς προηγοῦνται τῶν αἰωνίων ἀγαθῶν. Αἰτίες δὲ τῶν κολάσεων γίνονται οἱ ἑκούσιες κακίες τῶν ἀνθρώπων.

79. Ὁ μὲν λογικὸς ἄνθρωπος διὰ μέσου τῶν παθῶν τῆς ψυχῆς πολεμεῖται ἀπὸ τὶς λογικὲς αἰσθήσεις, [οἱ ὁποῖες εἶναι] μέσα του. Εἶναι δὲ οἱ αἰσθήσεις τοῦ σώματος πέντε: ἡ ὅρασι, ἡ ὄσφρησι, ἡ ἀκοή, ἡ γεῦσι καὶ ἡ ἁφή. Ὅταν διὰ μέσου τῶν πέντε αὐτῶν αἰσθήσεων ὑποπίπτῃ στὰ τέσσερα πάθη, αἰχμαλωτίζεται ἀπὸ τὰ ἴδια [αὐτὰ πάθη] ἡ ἀθλία ψυχή. Εἶναι δὲ τὰ τέσ-

τὰ τέσσαρα πάθη τῆς ψυχῆς, κενοδοξία, χαρά, θυμός, καὶ δειλία. Ὅταν τοίνυν διὰ φρονήσεως, καὶ τοῦ ἐπιλογισμοῦ, καλῶς στρατηγήσας ὁ ἄνθρωπος κατακρατήσῃ, καὶ νικήσῃ τὰ πάθη, οὐκ ἔτι πολεμεῖται· ἀλλ᾽ εἰρηνεύει τῇ ψυχῇ, καὶ στεφανοῦται ὑπὸ τοῦ Θεοῦ ὡς νικήσας.

π΄. Τῶν ἐν τοῖς πανδοχείοις εὑρισκομένων, τινὲς αὐτῶν, κλίνας λαμβάνουσιν· ἄλλοι δὲ κλίνην οὐκ ἔχοντες, ἀλλ᾽ ἐπὶ τοῦ ἐδάφους καθεύδοντες, οὐδὲν ἧττον, ὥς περ οἱ ἐπὶ τῆς κλίνης κοιμώμενοι ῥέγχουσι· καὶ τὸ μέτρον τῆς νυκτὸς ἀναμείναντες, ἕωθεν τὰς κλίνας καταλείψαντες τοῦ πανδοχείου, κοινῇ πάντες, ἐξέρχονται, τὰ ἴδια μόνα βαστάζοντες. Τὸν αὐτὸν τρόπον, καὶ οἱ ἐν τῷ βίῳ ἐρχόμενοι ἅπαντες, καὶ οἱ μετρίως ζήσαντες, καὶ οἱ ἐν δόξῃ, καὶ πλούτῳ βιώσαντες, ὥς περ ἐκ πανδοχείου τοῦ βίου ἐξέρχονται· μηδὲν τῆς ἐκ τοῦ βίου τρυφῆς, καὶ τοῦ πλούτου λαμβάνοντες μεθ᾽ ἑαυτῶν, εἰμὴ μόνα τὰ ἴδια ἔρ-

σερα πάθη τῆς ψυχῆς: ἡ κενοδοξία, ἡ χαρά, ὁ θυμὸς καὶ ἡ δειλία. Ὅταν πάλι, μὲ φρόνησι καὶ ὑπολογισμό, ἀφοῦ κυβερνήσῃ καλά, ὑπερισχύσῃ ὁ ἄνθρωπος καὶ νικήσῃ τὰ πάθη, [τότε] πλέον δὲν πολεμεῖται. Ἀλλὰ εἰρηνεύει στὴν ψυχὴ καὶ στεφανώνεται ἀπὸ τὸν Θεό, ὡς νικητής.

80. Ἀπὸ ἐκείνους ποὺ παρευρίσκονται στὰ πανδοχεῖα, μερικοὶ ἀπ᾽αὐτοὺς καταλαμβάνουν κρεββάτια. Ἄλλοι ὅμως, ποὺ δὲν ἔχουν κρεββάτι, ἀλλὰ κοιμοῦνται στὸ ἔδαφος, καθόλου λιγώτερο, ἀλλὰ ὅπως ἀκριβῶς ἐκεῖνοι, ποὺ κοιμοῦνται στὸ κρεββάτι, ροχαλίζουν. Καὶ ἀφοῦ περάσουν τὴν διάρκεια τῆς νύκτας, ἀπὸ τὶς πρωϊνὲς ὧρες, ἀφοῦ ἐγκαταλείψουν τὰ κρεββάτια τοῦ πανδοχείου, ἐξέρχονται μαζὶ ὅλοι, κρατώντας μόνο τὰ πράγματά τους. Κατὰ τὸν ἴδιο τρόπο καὶ ὅλοι ὅσοι ἔρχονται στὴν ζωή, καὶ ἐκεῖνοι ποὺ ἔζησαν στερημένα καὶ ἐκεῖνοι ποὺ πέρασαν τὸν βίο τους μέσα στὴ δόξα καὶ τὸν πλοῦτο, βγαίνουν ἀπὸ τὴν ζωή, ὅπως ἀκριβῶς ἀπὸ πανδοχεῖο, δίχως νὰ παίρνουν τίποτα μαζί τους ἀπὸ τὴν ἀπόλαυσι τοῦ βίου καὶ τὸν πλοῦτο, παρὰ μόνα τὰ ἔργα τὰ δικά

γα, ἢ καλά, ἢ κακά, τὰ πραχθέντα αὐτοῖς ἐν τῇ ζωῇ αὐτῶν.

πα΄. Ἐν ὑπερεχούσῃ ἐξουσίᾳ ὑπάρχων, μὴ εὐχερῶς τινι, θανάτῳ ἀπειλήσῃς· γινώσκων, ὅτι κατὰ τὴν φύσιν καὶ σὺ τῷ θανάτῳ ὑπόκεισαι, καὶ ὥς περ τελευταῖον χιτῶνα ἡ ψυχὴ τὸ σῶμα ἀποδύεται. Τοῦτο σαφῶς ἐπιστάμενος, πρᾳότητα ἄσκησον, καὶ εὖ ποιῶν εὐχαρίστει διαπαντὸς τῷ Θεῷ. Ὁ γὰρ μὴ οἰκτείρων, οὐκ ἔχει ἀρετὴν ἐν ἑαυτῷ.

πβ΄. Τὸν θάνατον διαφυγεῖν, ἐστὶν ἀδύνατον, καὶ ἀμήχανον. Ὅπερ γινώσκοντες, οἱ κατὰ ἀλήθειαν λογικοὶ ἄνθρωποι, καὶ γεγυμνασμένοι ταῖς ἀρεταῖς, καὶ τῷ θεοφιλεῖ λογισμῷ, δέχονται τὸν θάνατον δίχα στεναγμῶν, καὶ φόβου, καὶ πένθους· τὸ ἀπαραίτητον αὐτοῦ, καὶ τὴν ἀπαλλαγὴν τῶν ἐν τῷ βίῳ κακῶν ἐνθυμούμενοι.

πγ΄. Τοὺς ἐπιλελησμένους τῆς χρηστῆς πολιτείας, καὶ Θεῷ ἀρεσκούσης· καὶ τὰ ὀρθὰ καὶ θεοφιλῆ δόγματα μὴ φρονοῦντας, μισεῖν μὲν οὐ

τους, ἐκεῖνα ποὺ ἐνεργήθηκαν ἀπὸ αὐτοὺς κατὰ τὴν διάρκεια τῆς ζωῆς τους, εἴτε καλὰ εἴτε κακά.

81. Ἐὰν βρίσκεσαι σὲ ἐξουσία ποὺ ὑπερέχει, νὰ μὴν ἀπειλήσῃς εὔκολα κάποιον μὲ θάνατο, γνωρίζοντας ὅτι καὶ σὺ σύμφωνα μὲ τὴν φύσι, ὑπόκεισαι στὸν θάνατο καί [ὅτι] σὰν τελευταῖο ἔνδυμα ἀπεκδύεται ἡ ψυχὴ τὸ σῶμα. Αὐτὸ σαφῶς γνωρίζοντας, ἄσκησε τὴν πραότητα καὶ πράττοντας τὸ ἀγαθὸ νὰ εὐχαριστῇς πάντοτε τὸν Θεό. Διότι ἐκεῖνος ποὺ δὲν εὐσπλαχνίζεται δὲν ἔχει μέσα του ἀρετή.

82. Τὸ νὰ διαφύγῃς τὸν θάνατο εἶναι ἀδύνατο καὶ ἀκατόρθωτο. Αὐτὸ ἀκριβῶς γνωρίζοντας οἱ ἀληθινὰ λογικοὶ ἄνθρωποι, οἱ ἀσκημένοι στὶς ἀρετὲς καὶ στὸν θεοφιλῆ λογισμὸ δέχονται τὸν θάνατο χωρὶς στεναγμοὺς καὶ φόβο καὶ πένθος, διότι σκέπτονται τὸ ἀναπόφευκτο αὐτοῦ, καὶ τὴν ἀπαλλαγή [ἕνεκα τοῦ θανάτου] ἀπὸ τὰ κακά [ποὺ ὑπάρχουν] στὴ ζωή.

83. Ἐκείνους ποὺ ἔχουν λησμονήσει τὴν χρηστὴ πολιτεία, καὶ ἡ ὁποία ἀρέσει στὸν Θεὸ καὶ πού δὲν φρονοῦν τὰ ὀρθὰ καὶ θεοφιλῆ δόγματα, δὲν πρέπει πράγματι νὰ τοὺς μισοῦμε,

χρή, ἐλεεῖν δὲ μᾶλλον ὡς πηροὺς τοῦ διακριτικοῦ [recte: τὸ διακριτικόν] [β'], καὶ τυφλοὺς τὴν καρδίαν καὶ τὴν διάνοιαν· τὸ γὰρ κακὸν ὡς καλὸν ὑποδεξάμενοι, ὑπὸ ἀγνοίας ἀπόλλυνται. Καὶ οὐ γνωρίζουσι τὸν Θεὸν οἱ τρισάθλιοι, καὶ ἀνόητοι τὴν ψυχήν.

πδ'. Τοὺς περὶ εὐσεβείας καὶ εὐζωΐας λόγους πρὸς τοὺς πολλοὺς ὁμιλεῖν παραιτοῦ. Οὐ διὰ φθόνον λέγω, ἀλλ' ὅτι τοῖς ἀλογίστοις καταγέλαστος, οἶμαι, δόξεις· τὸ γὰρ ὅμοιον τῷ ὁμοίῳ χαίρει. Οἱ δὲ τοιοῦτοι λόγοι ὀλίγους ἔχουσι τοὺς ἀκροατάς· τάχα δὲ πάνυ σπανίους. Βέλτιον δὲ τὸ μὴ λαλεῖν, ὅτι μή, ὃ θέλει ὁ Θεὸς πρὸς σωτηρίαν ἀνθρώπου.

πε'. Ἡ ψυχὴ συμπάσχει τῷ σώματι. Τὸ δὲ σῶμα οὐ συμπάσχει τῇ ψυχῇ. Ὡς οἷον τοῦ σώματος τεμνομένου, συμπάσχει καὶ ἡ ψυχή· ἐῤῥωμένου τε καὶ ὑγιαίνοντος τοῦ σώματος, τὰ πάθη τῆς ψυχῆς συνήδεται. Τῆς δὲ ψυχῆς διανοουμένης, οὐκ ἔτι διανοεῖται τὸ σῶμα. Μένει δὲ καθ' ἑαυτὸ καταλελειμ-

ἀλλὰ μᾶλλον νὰ τοὺς ἐλεοῦμε σὰν ἀναπήρους ὡς πρὸς τὸ διακριτικὸ [μέρος τῆς ψυχῆς] καὶ τυφλοὺς ὡς πρὸς τὴν καρδία καὶ τὴν διάνοια. Διότι ἐφόσον ἀποδέχτηκαν τὸ κακὸ σὰν καλό, χάνονται ἀπὸ τὴν ἄγνοια. Καὶ δὲν γνωρίζουν τὸν Θεὸ οἱ τρισάθλιοι καὶ ἀνόητοι στὴν ψυχή.

84. Παραιτήσου ἀπὸ τὸ νὰ ἀπευθύνης τοὺς λόγους περὶ εὐσεβείας καὶ ἐναρέτου ζωῆς πρὸς τοὺς πολλούς. Δὲν τὸ λέγω ἀπὸ φθόνο, ἀλλὰ διότι νομίζω, ὅτι θὰ φανῆς γελοῖος στοὺς ἀνοήτους. Γιατὶ τὸ ὅμοιο χαίρεται μὲ τὸ ὅμοιό [του]. Οἱ δὲ λόγοι αὐτοῦ τοῦ εἴδους ἔχουν λίγους ἀκροατές, ἴσως μάλιστα καὶ πολὺ σπάνιους. Καλλίτερο δὲ τὸ νὰ μὴν μιλᾶς, ἐκτὸς ἀπὸ ἐκεῖνο ποὺ θέλει ὁ Θεὸς γιὰ χάρι τῆς σωτηρίας τοῦ ἀνθρώπου.

85. Ἡ ψυχὴ συμπάσχει μὲ τὸ σῶμα. Τὸ σῶμα ὅμως δὲν συμπάσχει μὲ τὴν ψυχή. Λόγου χάριν, ὅταν κόβεται τὸ σῶμα συμπάσχει καὶ ἡ ψυχή. Ὅταν τὸ σῶμα εἶναι δυνατὸ καὶ ὑγιὲς συνευφραίνονται καὶ οἱ διαθέσεις τῆς ψυχῆς. Ὅταν ἐξάλλου σκέπτεται ἡ ψυχὴ δὲν σκέπτεται ἐπιπλέον καὶ τὸ σῶμα. Μένει δὲ

μένον. Τὸ γὰρ διανοεῖσθαι πάθος ἐστὶ ψυχῆς· ὥς περ καὶ ἡ ἄγνοια, καὶ ἡ ὑπερηφανία, καὶ ἡ ἀπιστία, καὶ ἡ πλεονεξία, καὶ τὸ μῖσος, καὶ ὁ φθόνος, καὶ ἡ ὀργή, καὶ ἡ ὀλιγωρία, καὶ ἡ κενοδοξία, καὶ ἡ τιμή, καὶ ἡ διχόνοια, καὶ ἡ αἴσθησις τοῦ ἀγαθοῦ. Τὰ γὰρ τοιαῦτα διὰ τῆς ψυχῆς ἐνεργεῖται.

πϛʹ. Ἐννοῶν τὰ περὶ Θεοῦ, εὐσεβὴς ἔσο· ἄφθονος, ἀγαθός, σώφρων, πρᾳος, χαριστικὸς κατὰ δύναμιν, κοινωνικός, ἀφιλόνεικος, καὶ τὰ ὅμοια. Αὕτη γάρ ἐστιν ἡ ἀσύλητος κτῆσις τῆς ψυχῆς, τὸ ἀρέσκειν τῷ Θεῷ διὰ τῶν τοιούτων. Καὶ τὸ μηδένα κρίνειν, ἢ λέγειν περὶ μηδενός, ὅτι ὁ δεῖνα κακός ἐστι, καὶ ἥμαρτεν· ἀλλὰ βέλτιόν ἐστι τὰ ἑαυτοῦ κακὰ ζητεῖν, καὶ σκοπεῖν καθ᾽ ἑαυτὸν τὴν ἑαυτοῦ πολιτείαν, εἴ ἐστιν ἀρέσκουσα τῷ Θεῷ. Τί γὰρ ἡμῖν μέλει, ἐὰν ἄλλος ἐστὶ πονηρός;

πζʹ. Ὁ τῇ ἀληθείᾳ ἄνθρωπος, σπουδάζει εὐσεβὴς εἶναι. Εὐσεβὴς δέ ἐστιν, ὁ τῶν ἀλλοτρίων μὴ ἐπιθυμῶν.

μόνο του. Διότι ἡ διεργασία τῆς διανοήσεως εἶναι ἰδιότης τῆς ψυχῆς. Ὅπως ἀκριβῶς καὶ ἡ ἄγνοια καὶ ἡ ὑπερηφάνια καὶ ἡ ἀπιστία καὶ ἡ πλεονεξία καὶ τὸ μῖσος καὶ ὁ φθόνος καὶ ἡ ὀργὴ καὶ ἡ ἀμέλεια καὶ ἡ κενοδοξία καὶ ἡ τιμὴ καὶ ἡ διχόνοια καὶ ἡ αἴσθησι τοῦ ἀγαθοῦ. Διότι ὅσα [εἶναι] αὐτοῦ τοῦ εἴδους, διὰ μέσου τῆς ψυχῆς ἐνεργοῦνται.

86. Ἔχοντας στὸν νοῦ σου, ὅσα [εἶναι] σχετικὰ μὲ τὸν Θεό, νὰ εἶσαι εὐσεβής, δηλαδὴ ἀπαλλαγμένος ἀπὸ φθόνο, ἀγαθός, σώφρων, πρᾶος, εὐχαρίστως δωρίζοντας κατὰ τὴν δύναμί [σου], κοινωνικός, τὶς φιλονεικίες ἀποστρεφόμενος καί [ἔχοντας] τὰ ὅμοια [μὲ αὐτά] γνωρίσματα, ὅσα εἶναι. Διότι αὐτὴ εἶναι ἡ ἀσύλητη περιουσία τῆς ψυχῆς, δηλαδή τὸ νὰ ἀρέσῃς ἐξ αἰτίας αὐτοῦ τοῦ εἴδους [τῶν γνωρισμάτων] στὸν Θεὸ καὶ τὸ νὰ μὴν κρίνῃς κανένα ἢ νὰ λὲς γιὰ κανένα, ὅτι ὁ τάδε εἶναι κακὸς καὶ ἁμάρτησε. Ἀλλὰ τὸ καλλίτερο εἶναι νὰ ἀναζητᾷς τὰ δικά σου κακὰ καὶ νὰ ἐξετάζῃς καθ᾽ ἑαυτὸν τὴν δική σου πολιτεία, ἐὰν εἶναι εὐάρεστη στὸν Θεό. Διότι τί μᾶς ἐνδιαφέρει, ἐὰν ὁ ἄλλος εἶναι πονηρός;

87. Ὁ ἀληθινὸς ἄνθρωπος φροντίζει νὰ εἶναι εὐσεβής. Καὶ εἶναι εὐσεβής, ἐκεῖνος ποὺ δὲν ἐπιθυμεῖ τὰ ξένα [πράγματα].

Ἀλλότρια δέ ἐστι τοῦ ἀνθρώπου, πάντα τὰ κτιστά. Πάντων τοίνυν καταφρονεῖ, ὡς εἰκὼν τοῦ Θεοῦ. Εἰκὼν δὲ Θεοῦ γίνεται ἄνθρωπος, ὅταν ὀρθῶς, καὶ ἀρεσκόντως Θεῷ πολιτεύεται. Ἄλλως δὲ οὐχ οἷόν τε τοῦτο γενέσθαι, ἐὰν μὴ ἀποστῇ ἄνθρωπος τῶν βιωτικῶν. Ὁ δὲ νοῦν ἔχων θεοφιλῆ, πᾶσαν ψυχικὴν ὠφέλειαν, καὶ πᾶσαν εὐλάβειαν ἐξ αὐτοῦ γενομένην ἐπίσταται. Ὁ θεοφιλὴς ἀνὴρ οὐδένα ἄλλον μέμφεται, ἐφ᾽ οἷς αὐτὸς ἁμαρτάνει. Τοῦτο δέ, σῳζομένης ψυχῆς ἐστι σημεῖον.

πη΄. Ὅσοι τὴν πρόσκαιρον κτῆσιν βιαίως ἔχειν σπουδάζουσι, καὶ τὴν ὄρεξιν τῶν ἔργων τῆς κακίας ἀγαπῶσιν, ἀγνοοῦντες τὸν θάνατον, καὶ τὴν ἀπώλειαν τῆς ἰδίας ψυχῆς, καὶ οὐ σκοποῦσι οἱ ἄθλιοι τὸ συμφέρον αὐτοῖς· οὐ λογίζονται τί πάσχουσι μετὰ θάνατον ὑπὸ τῆς κακίας οἱ ἄνθρωποι.

πθ΄. Ἡ κακία, πάθος τῆς ὕλης ἐστί. Τῆς δὲ κακίας ἀναίτιος ὁ Θεός. Γνῶσιν δέ, καὶ ἐπιστήμην, καὶ τὸ διακριτικὸν τοῦ ἀγαθοῦ τε καὶ

Ξένα δὲ ἀπὸ τὸν ἄνθρωπο εἶναι ὅλα τὰ κτίσματα. Ὅλα ἐπομένως τὰ περιφρονεῖ, ἐπειδὴ εἶναι εἰκόνα τοῦ Θεοῦ. Καὶ εἰκόνα τοῦ Θεοῦ γίνεται ὁ ἄνθρωπος, ὅταν διαβιῇ μὲ τρόπο ὀρθὸ καὶ τέτοιο ποὺ νὰ ἀρέσῃ στὸν Θεό. Διαφορετικὰ ὅμως δὲν εἶναι δυνατὸν νὰ γίνῃ αὐτό, ἐὰν δὲν ἀπομακρυνθῇ ὁ ἄνθρωπος ἀπὸ τὰ βιοτικά. Ἐκεῖνος δέ, ποὺ ἔχει νοῦ θεοφιλῆ γνωρίζει καλά, ὅτι κάθε ψυχικὴ ὠφέλεια καὶ κάθε ἦθος εὐλαβείας ἀπ᾽ αὐτὸ προξενεῖται. Ὁ θεοφιλὴς ἄνθρωπος κανέναν ἄλλον δὲν κατηγορεῖ γιὰ ἐκεῖνα στὰ ὁποῖα ὁ ἴδιος ἁμαρτάνει [παρὰ μόνο τὸν ἑαυτό του]. Αὐτὸ δὲ εἶναι σημεῖο ψυχῆς, ποὺ πρόκειται νὰ σωθῇ.

88. Ὅσοι φροντίζουν νὰ ἀποκτήσουν μὲ τὴν βία τὴν πρόσκαιρη περιουσία καὶ ἀγαποῦν τὴν ἐπιθυμία τῶν ἔργων τῆς κακίας, ἐπειδὴ ἀγνοοῦν τὸν θάνατο καὶ τὴν ἀπώλεια τῆς δικῆς τους ψυχῆς καὶ δὲν βλέπουν οἱ ἄθλιοι τὸ συμφέρον τους, δὲν σκέπτονται τί ὑποφέρουν ἀπὸ τὴν κακία μετὰ τὸν θάνατο οἱ ἄνθρωποι.

89. Ἡ κακία εἶναι πάθος τῆς ὕλης. Τῆς δὲ κακίας ὁ Θεός [εἶναι] ἀναίτιος. Χορήγησε δὲ στοὺς ἀνθρώπους τὴν γνῶσι καὶ τὴν ἐπιστήμη καὶ τὴν διάκρισι τοῦ καλοῦ καὶ

κακοῦ, καὶ τὸ αὐτεξούσιον παρέσχε τοῖς ἀνθρώποις. Ἡ δὲ τίκτουσα τὰ πάθη τῆς κακίας, ἐστὶν ἡ ἀμέλεια, καὶ ἡ ῥαθυμία τῶν ἀνθρώπων. Ἀναίτιος γὰρ παντάπασίν ἐστιν ὁ Θεός. Αἱρέσει δὲ γνώμης οἱ δαίμονες γεγένηνται πονηροί. Ὥς περ καὶ τῶν ἀνθρώπων οἱ πλεῖστοι.

ϟ΄. Ὁ τῇ εὐσεβείᾳ συζῶν ἄνθρωπος, τὴν κακίαν παρεισδύναι τῇ ψυχῇ, οὐ συγχωρεῖ. Κακίας δὲ ἀπούσης, τὸ ἀκίνδυνον, καὶ ἀβλαβὲς ὑπάρχει τῇ ψυχῇ. Τῶν γὰρ τοιούτων, οὔτε δαίμων σκαιός, οὔτε εἱμαρμένη κρατεῖ· ὁ γὰρ Θεὸς ῥύεται αὐτοὺς τῶν κακῶν, καὶ ζῶσιν ἀβλαβεῖς καὶ φυλαττόμενοι ἰσόθεοι. Κἂν τις τὸν τοιοῦτον ἄνδρα ἐπαινέσῃ, καταγελᾷ παρ᾽ ἑαυτῷ τοὺς ἐπαινοῦντας αὐτόν. Κἂν ψέγῃ, οὐκ ἀπολογεῖται πρὸς τοὺς λοιδοροῦντας. Οὐδὲ γὰρ ἀγανακτεῖ πρὸς τὰ λεγόμενα παρ᾽ αὐτοῦ.

ϟα΄. Τὸ κακὸν τῇ φύσει παρέπεται, ὥς περ ὁ ἰὸς τῷ χαλκῷ, καὶ ὁ ῥύπος τῷ σώματι. Ἀλλ᾽ οὔτε τὸν ἰὸν ὁ

τοῦ κακοῦ καὶ τὸ αὐτεξούσιο. Ἐκείνη δὲ ἡ ὁποία γεννᾶ τὰ πάθη τῆς κακίας εἶναι ἡ ἀμέλεια καὶ ἡ ραθυμία τῶν ἀνθρώπων. Εἶναι βέβαια πλήρως ἀναίτιος [γιὰ ὅλα αὐτὰ] ὁ Θεός. Οἱ δὲ δαίμονες ἔχουν γίνει πονηροὶ μὲ τὴν προαίρεσι τῆς γνώμης [τους]. Ὅπως ἀκριβῶς καὶ οἱ περισσότεροι ἀπὸ τοὺς ἀνθρώπους.

90. Ὁ ἄνθρωπος ἐκεῖνος, ὁ ὁποῖος συμβιώνει μὲ τὴν εὐσέβεια δὲν ἐπιτρέπει ἡ κακία νὰ εἰσδύσῃ κρυφὰ στὴν ψυχή [του]. Ὅπου δὲ ἀπουσιάζει ἡ κακία, ἐκεῖ ὑπάρχει [κατάστασι] ἀκίνδυνη καὶ ἀβλαβὴς γιὰ τὴν ψυχή. Διότι σ᾽ αὐτοῦ τοῦ εἴδους [τοὺς ἀνθρώπους] δὲν ἐξουσιάζει οὔτε ἀπαίσιος δαίμονας, οὔτε πεπρωμένο. Διότι ὁ Θεὸς ἀπαλλάσσει αὐτοὺς ἀπὸ τὰ κακὰ καὶ ζοῦν χωρὶς νὰ ὑποστοῦν κάποια βλάβη καὶ διαφυλάσσονται ὡς ἰσόθεοι. Καὶ ἐὰν κάποιος ἐπαινέσῃ ἕναν τέτοιον ἄνθρωπο περιγελᾶ ἐντός του ἐκείνους ποὺ τὸν ἐπαινοῦν. Καὶ ἐὰν [κάποιος τόν] κατηγορῇ, δὲν ἀπολογεῖται πρὸς ἐκείνους ποὺ τὸν κακολογοῦν. Οὔτε βέβαια ἀγανακτεῖ γιὰ ἐκεῖνα, ποὺ λέγονται ἀπὸ αὐτόν, [ποὺ τὸν κατηγορεῖ].

91. Τὸ κακὸ ἀκολουθεῖ τὴν ἀνθρώπινη φύσι, ὅπως ἀκριβῶς ἡ σκουριὰ τὸν χαλκὸ καὶ ἡ ἀκαθαρσία τὸ σῶμα. Ἀλλὰ οὔτε τὴν σκουριὰ

χαλκουργὸς ἐποίησεν, οὔτε τὸν ῥύπον οἱ γεννήσαντες. Οὕτως οὐδὲ τὴν κακίαν ὁ Θεὸς ἐποίησε. Δέδωκε δὲ καὶ γνῶσιν, καὶ διάκρισιν τῷ ἀνθρώπῳ, ἵνα φύγῃ τὸ κακόν, ὡς εἰδώς, ὅτι βλάπτεται παρ᾽ αὐτοῦ καὶ κολάζεται. Ὅρα οὖν ἀσφαλῶς, μήποτε, ἰδὼν εὐδαιμονοῦντά τινα, ἐν δυναστείᾳ, καὶ πλούτῳ, μακαρίσῃς αὐτόν, φαντασθεὶς ὑπὸ τοῦ δαίμονος· ἀλλ᾽ ὁ θάνατος γενέσθω σοι εὐθέως πρὸ ὀφθαλμῶν, καὶ οὐδέποτε οὐδενὸς κακοῦ, ἢ βιωτικοῦ ἐπιθυμήσῃς.

ϟβ΄. Ὁ Θεὸς ἡμῶν, τοῖς ἐν οὐρανοῖς ἀθανασίαν ἐχαρίσατο· τοῖς δὲ ἐπὶ γῆς μεταβολὴν ἔκτισεν· ἐν δὲ τῷ παντὶ ζωήν, καὶ κίνησιν ἐδωρήσατο· πάντα δὲ διὰ τὸν ἄνθρωπον. Μὴ οὖν συναρπαζέτω σε ἡ βιωτικὴ φαντασία τοῦ δαίμονος, τοῦ ὑποβάλλοντος τὰς πονηρὰς ἐνθυμήσεις τῇ ψυχῇ· ἀλλ᾽ εὐθὺς τὰ οὐράνια ἀγαθὰ ἐνθυμούμενος, παρὰ σεαυτῷ λέγε· ἐὰν θέλω, ἐν ἐμοί ἐστι τὸ νικῆσαι καὶ τοῦτον τὸν ἀγῶνα τοῦ πάθους. Οὐ νικήσω δέ, ἐὰν θέλω ἐπι-

δημιούργησε ὁ χαλκουργός, οὔτε τὴν ἀκαθαρσία οἱ γονεῖς. Κατὰ τὸν ἴδιο τρόπο, οὔτε τὴν κακία δημιούργησε ὁ Θεός. Ἔχει δώσει δὲ στὸν ἄνθρωπο καὶ γνῶσι καὶ διάκρισι, γιὰ νὰ ἀποφύγῃ τὸ κακό, διότι γνωρίζει, ὅτι βλάπτεται ἀπὸ αὐτὸ καὶ κολάζεται. Πρόσεξε λοιπὸν ἐπιμελῶς, ἐὰν δῇς κάποιον νὰ εὐημερῇ μέσα σὲ ἐξουσία καὶ πλοῦτο ποτὲ νὰ μὴν τὸν μακαρίσῃς, ἔχοντας ἐξαπατηθῇ ἀπὸ τὸν δαίμονα. Ἀλλὰ ὁ θάνατος νὰ σοῦ ἔρθῃ εὐθὺς πρὸ ὀφθαλμῶν καὶ οὐδέποτε θὰ ἐπιθυμήσῃς τίποτα τὸ κακὸ ἢ τὸ σχετικὸ μὲ τὰ πράγματα τοῦ κόσμου.

92. Ὁ Θεός μας, στὰ ἐπουράνια χάρισε τὴν ἀθανασία. Στὰ γήϊνα δὲ ἔδωσε [ὡς ἰδιότητα] τὴν μεταβολή. Χάρισε δὲ στὸ σύμπαν ζωὴ καὶ κίνησι. Ὅλα δέ [τὰ ἔκανε] γιὰ τὸν ἄνθρωπο. Νὰ μὴν σὲ συναρπάζῃ λοιπὸν ἡ σχετικὴ μὲ τὰ βιοτικὰ φαντασία τοῦ δαίμονος, ὁ ὁποῖος ὑποβάλλει στὴν ψυχὴ τὶς πονηρὲς σκέψεις. Ἀλλὰ ἀμέσως, ἀφοῦ θυμηθῇς τὰ οὐράνια ἀγαθά, νὰ λὲς στὸν ἑαυτό σου: «Ἐὰν θέλω, εἶναι δυνατὸν σὲ μένα τὸ νὰ νικήσω καὶ αὐτὸν τὸν ἀγῶνα τοῦ πάθους. Δὲν θὰ νικήσω ὅμως, ἐὰν θέλω νὰ ἐπι-

τυχεῖν τῆς ἐμῆς ὀρέξεως. Τοῦτον οὖν ἄσκησον τὸν δυνάμενον σῴζειν σου τὴν ψυχήν.

ϟγʹ. Ζωή ἐστιν, ἡ ἕνωσις καὶ συνάφεια τοῦ νοός, καὶ τῆς ψυχῆς, καὶ τοῦ σώματος. Ὁ δὲ θάνατός ἐστιν, οὐκ ἀπώλεια τῶν συναφθέντων, ἀλλὰ διάλυσις τῆς γνώσεως αὐτῶν. Τῷ γὰρ Θεῷ πάντα σῴζεται, καὶ μετὰ τὴν διάλυσιν.

ϟδʹ. Ὁ νοῦς οὐκ ἔστι ψυχή, ἀλλὰ δῶρον Θεοῦ, σῷζον τὴν ψυχήν, καὶ προτρέχει καὶ συμβουλεύει τῇ ψυχῇ ὁ νοῦς, ὁ τῷ Θεῷ ἀρεστός· τῶν μὲν προσκαίρων, καὶ ὑλικῶν, καὶ φθαρτῶν καταφρονῆσαι· ἐρασθῆναι δὲ τῶν αἰωνίων, καὶ ἀφθάρτων, καὶ ἀΰλων ἀγαθῶν · καὶ περιπατεῖν ἐν σώματι ἄνθρωπος, τὰ ἐν οὐρανοῖς, καὶ τὰ περὶ Θεόν, καὶ πάντα ὁμοῦ διὰ τοῦ νοῦ κατανοῶν, καὶ θεωρῶν. Καὶ ἔστιν ὁ θεοφιλὴς νοῦς, εὐεργέτης καὶ σωτηρία ἀνθρωπίνης ψυχῆς.

ϟεʹ. Ψυχὴ ἐν σώματι γενομένη, εὐθὺς ἀπὸ τῆς λύπης

τύχω τὴν δική μου ἐπιθυμία». Ἄσκησε λοιπὸν αὐτόν [τὸν ἀγῶνα], ὁ ὁποῖος μπορεῖ νὰ σοῦ σώσῃ τὴν ψυχή.

93. Ζωὴ εἶναι ἡ ἕνωσι καὶ συνάφεια [συνάρμοσι] τοῦ νοῦ καὶ τῆς ψυχῆς καὶ τοῦ σώματος. Ὁ δὲ θάνατος δὲν εἶναι ἡ ἀπώλεια ἐκείνων ποὺ συναρμόστηκαν, ἀλλὰ ἡ διάλυσι [παῦσι] τῆς γνώσεως αὐτῶν. Στὸν Θεὸ βέβαια ὅλα διασώζονται καὶ μετὰ τὴν διάλυσι.

94. Ὁ νοῦς δὲν εἶναι ψυχή, ἀλλὰ δῶρο τοῦ Θεοῦ, τὸ ὁποῖο σώζει τὴν ψυχή, καὶ ὁ νοῦς, ποὺ εὐαρεστεῖ τὸν Θεό, προπορεύεται καὶ συμβουλεύει τὴν ψυχή: τὰ μὲν πρόσκαιρα καὶ ὑλικὰ καὶ φθαρτὰ νὰ τὰ καταφρονήσῃ· νὰ ἀγαπήσῃ δὲ σφοδρῶς τὰ αἰώνια καὶ ἄφθαρτα καὶ ἄυλα ἀγαθὰ καὶ νὰ περιπατῇ ὡς ἄνθρωπος ἐν σώματι [δηλαδὴ καλύπτοντας τὶς βιοτικές του ἀνάγκες], ἐνῶ [ταυτοχρόνως] κατανοεῖ καὶ βλέπει διὰ μέσου τοῦ νοός του ὅλα μαζί, καὶ ἐκεῖνα [ποὺ βρίσκονται] στοὺς οὐρανοὺς καὶ τὰ σχετικὰ μὲ τὸν Θεό. Καί [ἔτσι] εἶναι ὁ θεοφιλὴς νοῦς εὐεργέτης καὶ σωτηρία τῆς ἀνθρώπινης ψυχῆς.

95. Ἡ ψυχή, ὅταν ἐγκλωβισθῇ στὸ σῶμα [στὸ σαρκικὸ φρόνημα], ἀμέσως ἀπὸ τὴν λύπη

καὶ τῆς ἡδονῆς σκοτίζεται καὶ ἀπόλλυται. Καὶ ὥς περ χυμοί εἰσι τοῦ σώματος, ἥ τε λύπη, καὶ ἡδονή. Ὁ δὲ θεοφιλὴς νοῦς ἀντιπράττων, λυπεῖ τὸ σῶμα, καὶ σῴζει τὴν ψυχήν, ὡς ἰατρὸς τέμνων, ἢ καίων τὰ σώματα.

ϟς΄. Ὅσαι ψυχαὶ ὑπὸ τοῦ λογικοῦ μὴ ἡνιοχοῦνται, καὶ κυβερνῶνται ὑπὸ τοῦ νοῦ, ἵνα ἄγχῃ, καὶ ἐπέχῃ, καὶ κυβερνᾷ αὐτῶν τὰ πάθη, τουτέστι τήν τε λύπην καὶ τὴν ἡδονήν· αὗται αἱ ψυχαὶ ὡς τὰ ἄλογα ἀπόλλυνται ζῷα, παρασυρομένου τοῦ λογικοῦ ὑπὸ τῶν παθῶν, ὡς ἡνιόχου νικηθέντος ὑπὸ τῶν ἵππων.

ϟζ΄. Μεγίστη νόσος ψυχῆς, καὶ ὄλεθρος, καὶ ἀπώλεια, τὸ μὴ γινώσκειν τὸν Θεόν, τὸν τὰ πάντα ποιήσαντα διὰ τὸν ἄνθρωπον, καὶ δωρησάμενον αὐτῷ τόν τε νοῦν, καὶ τὸν λόγον, δι'ὧν ἀνιπτάμενος, Θεῷ συνάπτεται ἄνθρωπος, νοῶν, καὶ δοξάζων τὸν Θεόν.

ϟη΄. Ἡ μὲν ψυχή ἐστιν ἐν τῷ σώματι, ἐν δὲ τῇ ψυχῇ ἐστιν ὁ νοῦς· ἐν δὲ τῷ νῷ ἐ-

καὶ τὴν ἡδονὴ σκοτίζεται καὶ καταστρέφεται. Καὶ ὅπως εἶναι οἱ χυμοὶ τοῦ σώματος [ἔτσι εἶναι] καὶ ἡ λύπη καὶ ἡ ἡδονή. Ὁ δὲ θεοφιλὴς νοῦς, μὲ τὸ νὰ ἐνεργῇ ἀντίθετα, λυπεῖ τὸ σῶμα καὶ σώζει τὴν ψυχή, ὅπως ὁ γιατρός, ὁ ὁποῖος κόπτει καὶ καυτηριάζει τὰ σώματα.

96. Ὅσες ψυχὲς δὲν ἡνιοχοῦνται ἀπὸ τὸ λογικὸ καὶ δὲν κυβερνῶνται ἀπὸ τὸν νοῦ, οὕτως ὥστε νὰ πνίγῃ [ὁ νοῦς] καὶ νὰ ἀναχαιτίζῃ καὶ νὰ κυβερνᾷ τὰ πάθη τους, δηλαδὴ τὴν λύπη μαζὶ καὶ τὴν ἡδονή, αὐτὲς οἱ ψυχὲς χάνονται σὰν τὰ ἄλογα ζῶα, καθὼς παρασύρεται τὸ λογικό [τους] ἀπὸ τὰ πάθη, ὅπως ὁ ἡνίοχος, ὁ ὁποῖος νικήθηκε ἀπὸ τὰ ἄλογα [τοῦ ἅρματός του].

97. Ἡ μεγαλύτερη ἀσθένεια τῆς ψυχῆς καὶ ἀφανισμὸς καὶ ἀπώλειά της [εἶναι] τὸ νὰ μὴν γνωρίζῃ τὸν Θεό, ποὺ δημιούργησε τὰ πάντα γιὰ τὸν ἄνθρωπο καὶ χάρισε σ᾽ αὐτὸν τὸν νοῦ μαζὶ καὶ τὸν λόγο, διὰ τῶν ὁποίων, ἀφοῦ πετάξῃ πρὸς τὰ πάνω, συνενώνεται μὲ τὸν Θεὸ ὁ ἄνθρωπος, ἐννοώντας καὶ δοξάζοντας τὸν Θεό.

98. Ἡ μὲν ψυχὴ εἶναι μέσα στὸ σῶμα, μέσα δὲ στὴν ψυχὴ εἶναι ὁ νοῦς. Μέσα δὲ στὸ νοῦ ὑπάρ-

στιν ὁ λόγος· δι'ὧν ὁ Θεὸς νοούμενος καὶ δοξαζόμενος, ἀθανατίζει τὴν ψυχήν, ἀφθαρσίαν αὐτῇ, καὶ τρυφὴν αἰώνιον δωρούμενος. Ὁ γὰρ Θεὸς πᾶσι τοῖς γινομένοις τὸ εἶναι διὰ μόνην ἀγαθότητα ἐδωρήσατο.

ϟθ'. Ὁ Θεὸς αὐτεξούσιον ποιήσας τὸν ἄνθρωπον, ὡς ἄφθονος καὶ ἀγαθός, παρέσχεν αὐτῷ καὶ τὸ δύνασθαι, ἐὰν θέλῃ, ἀρέσκειν τῷ Θεῷ. Ἀρέσκει δὲ τῷ Θεῷ, τὸ μὴ εἶναι κακίαν ἐν ἀνθρώπῳ. Εἰ δὲ παρὰ ἀνθρώποις ἐπαινεῖται μὲν τὰ καλὰ ἔργα, καὶ αἱ ἀρεταὶ τῆς ὁσίας καὶ θεοφιλοῦς ψυχῆς· καταγινώσκεται δὲ τὰ αἰσχρά, καὶ αἱ πονηραὶ πράξεις· πόσῳ μᾶλλον παρὰ τῷ Θεῷ τῷ θέλοντι σωτηρίαν ἀνθρώπου γίνεσθαι;

ρ'. Τὰ μὲν ἀγαθὰ παρὰ Θεοῦ, ὡς ἀγαθοῦ, λαμβάνει ὁ ἄνθρωπος. Διὰ τοῦτο γὰρ καὶ ἐδημιουργήθη ὑπὸ τοῦ Θεοῦ. Τὰ δὲ κακὰ ἑαυτῷ ἐπισπᾶται ὁ ἄνθρωπος, ἐξ αὐτοῦ καὶ τῆς ἐν ἑαυτῷ κακίας, καὶ ἐπιθυμίας, καὶ ἀναισθησίας.

χει ὁ λόγος[α']. Μέσῳ αὐτῶν, καθὼς νοεῖται καὶ δοξάζεται ὁ Θεός, κάνει τὴν ψυχὴ ἀθάνατη, δωρίζοντας σ' αὐτὴν ἀφθαρσία καὶ αἰώνιο ἀπόλαυσι. Διότι ὁ Θεός, σὲ ὅλους ὅσους δημιούργησε, δώρισε τὸ εἶναι ἐξαιτίας μόνης τῆς ἀγαθότητός [Του].

99. Ὁ Θεὸς ἔχοντας δημιουργήσει τὸν ἄνθρωπο αὐτεξούσιο, ὅπως [εἶναι] πλουσιόδωρος καὶ ἀγαθός, προσέφερε σ' αὐτὸν καὶ τὴν δυνατότητα, ἐὰν θέλῃ νὰ εὐαρεστῇ τὸν Θεό. Εὐαρεστεῖ δὲ τὸν Θεό, τὸ νὰ μὴν ὑπάρχῃ κακία στὸν ἄνθρωπο. Ἐὰν δὲ ἀπὸ τοὺς ἀνθρώπους ἀφ' ἑνὸς μὲν ἐπαινοῦνται τὰ καλὰ ἔργα καὶ οἱ ἀρετὲς τῆς ὁσίας καὶ θεοφιλοῦς ψυχῆς, ἀφ' ἑτέρου καταδικάζονται τὰ αἰσχρὰ [ἔργα] καὶ οἱ πονηρὲς πράξεις, πόσο μᾶλλον ἀπὸ τὸν Θεό, ὁ ὁποῖος θέλει νὰ συντελῆται ἡ σωτηρία τοῦ ἀνθρώπου;

100. Τὰ μὲν ἀγαθὰ ὁ ἄνθρωπος τὰ παίρνει ἀπὸ τὸν Θεό, καθὼς [ὁ Θεὸς εἶναι] ἀγαθός. Διότι γι' αὐτὸν [τὸν λόγο] δημιουργήθηκε [ὁ ἄνθρωπος] ἀπὸ τὸν Θεό. Τὰ δὲ κακὰ τὰ ἐπισύρει ὁ ἄνθρωπος στὸν ἑαυτό του, ἐξ αἰτίας τοῦ ἰδίου [τοῦ ἀνθρώπου] καὶ τῆς κακίας καὶ ἐπιθυμίας καὶ ἀναισθησίας, ποὺ βρίσκονται μέσα του.

ρα'. Ἡ ἀλόγιστος ψυχή, ἀθάνατος οὖσα καὶ δεσπόζουσα τοῦ σώματος, δουλεύει τῷ σώματι διὰ τῶν ἡδονῶν, οὐκ ἐννοοῦσα, ὅτι τρυφὴ σώματος, βλάβη ψυχῆς. Ἀναισθητοῦσα δέ, καὶ μωραίνουσα, φροντίζει τῆς τρυφῆς τοῦ σώματος.

101. Ἡ ἀσύνετη ψυχή, ἐνῶ εἶναι ἀθάνατη καὶ ἐξουσιάζει τὸ σῶμα, ὑποδουλώνεται στὸ σῶμα διὰ μέσου τῶν ἡδονῶν, δίχως νὰ ἐννοῇ, ὅτι ἡ ἀπόλαυσι τοῦ σώματος [εἶναι] βλάβη τῆς ψυχῆς. Καθὼς δὲ ἐνεργεῖ σὰν ἀναίσθητη καὶ ἀνόητη, φροντίζει γιὰ τὴν ἀπόλαυσι τοῦ σώματος.

ρβ'. Ὁ Θεός, ἀγαθός, ὁ ἄνθρωπος, πονηρός. Οὐδὲν κακόν, ἐν οὐρανῷ. Οὐδὲν ἀγαθόν, ἐπὶ τῆς γῆς. Ὁ δὲ λογικὸς ἄνθρωπος τὸ βέλτιον ἐπιλέγεται, καὶ γνωρίζει τὸν Θεὸν τῶν ὅλων· καὶ εὐχαριστεῖ, καὶ ὑμνεῖ αὐτόν, καὶ πρὸ τοῦ θανάτου μυσάττεται τὸ σῶμα, καὶ τὰς αἰσθήσεις τὰς πονηρὰς οὐκ ἐᾷ ἐκτελεσθῆναι, εἰδὼς αὐτῶν τὴν ἀπώλειαν καὶ τὴν ἐνέργειαν.

102. Ὁ Θεός [εἶναι] ἀγαθός. Ὁ ἄνθρωπος [εἶναι] πονηρός. Κανένα κακό [δὲν ὑπάρχει] στὸν οὐρανό. Κανένα ἀγαθό [δὲν ὑπάρχει] πάνω στὴν γῆ. Ὁ δὲ λογικὸς ἄνθρωπος διαλέγει τὸ καλλίτερο καὶ γνωρίζει τὸν Θεὸ τῶν ὅλων καὶ Τὸν εὐχαριστεῖ καὶ Τὸν ὑμνεῖ καὶ πρὶν ἀπὸ τὸν θάνατο ἀποστρέφεται τὸ σῶμα καὶ δὲν ἐπιτρέπει νὰ λειτουργήσουν οἱ αἰσθήσεις οἱ πονηρές, ἐπειδὴ γνωρίζει τὴν ἀπώλειά τους, [ἀλλά] καὶ τὴν ἐπίδρασί τους.

ργ'. Ὁ πονηρὸς ἀνὴρ πλεονεξίαν μὲν ἀγαπᾷ· δικαιοσύνης δὲ καταφρονεῖ· μηδὲ τὸ ἀβέβαιον, καὶ ἄστατον, καὶ ὀλιγοχρόνιον τοῦ βίου λογιζόμενος, μηδὲ τὸ ἀδωροδόκητον, καὶ ἀπαραίτητον τοῦ θανάτου ἐνθυμούμενος. Εἰ δὲ πρεσβύτης ὑπάρχει αἰσχρός, καὶ ἀνόητος, ὥς περ σεσηπὸς ξύλον

103. Ὁ πονηρὸς ἄνθρωπος ἀγαπᾷ μὲν τὴν πλεονεξία, καταφρονεῖ δὲ τὴν δικαιοσύνη, χωρὶς νὰ συλλογίζεται τὸ ἀβέβαιο καὶ ἄστατο καὶ ὀλιγοχρόνιο τῆς ζωῆς καὶ χωρὶς νὰ λαμβάνῃ ὑπ' ὄψιν τὸ ἀνεξαγόραστο καὶ τὸ ἀναπόφευκτο τοῦ θανάτου. Ἐὰν δὲ εἶναι γέροντας αἰσχρὸς καὶ ἀνόητος, εἶναι ἀκριβῶς ὅπως τὸ σάπιο ξύλο,

πρὸς πᾶσαν χρῆσίν ἐστιν ἀποίητος.

ρδ'. Ὥς περ τὴν πεῖραν τῶν λυπούντων λαμβάνοντες, τότε τῶν ἡδονῶν, καὶ τῆς χαρᾶς αἰσθανόμεθα· οὐδὲ γὰρ ἡδέως πίνει, ὁ μὴ διψήσας· οὐδὲ ἡδέως ἐσθίει, ὁ μὴ πεινάσας· οὐδὲ ἡδέως κοιμᾶται, ὁ μὴ σφόδρα νυστάξας· οὐδὲ αἴσθησιν τῆς χαρᾶς λαμβάνει, ὁ μὴ πρότερον λυπηθείς· οὕτως οὐδὲ τῶν αἰωνίων ἀγαθῶν ἀπολαύσομεν, εἰμὴ τῶν ὀλιγοχρονίων καταφρονήσωμεν.

ρε'. Ὁ λόγος τοῦ νοῦ ὑπηρέτης ἐστίν. Ὃ γὰρ θέλει ὁ νοῦς, τοῦτο καὶ ὁ λόγος ἑρμηνεύει.

ρϛ'. Ὁ νοῦς πάντα ὁρᾷ, καὶ τὰ ἐν οὐρανοῖς· καὶ οὐδὲν αὐτῷ ἐπισκοτεῖ, εἰμὴ μόνον ἡ ἁμαρτία. Τῷ δὲ καθαρῷ οὐδὲν ἀκατάληπτον, ὥς περ τῷ λόγῳ οὐδὲν ἄλεκτον.

ρζ'. Διὰ μὲν τὸ σῶμα, ὁ ἄνθρωπος θνητός· διὰ δὲ τὸν νοῦν καὶ τὸν λόγον, ἀθάνατος. Σιωπῶν νοεῖς· νοήσας λαλεῖς. Ἐν γὰρ τῇ σιωπῇ ὁ νοῦς τίκτει τὸν λόγον. Εὐχάριστος δὲ λόγος Θεῷ

ἀκατάλληλος γιὰ κάθε χρῆσι.

104. Ὡς ἐπὶ παραδείγματι, ὅταν ἀποκτοῦμε τὴν ἐμπειρία ἐκείνων, ποὺ μᾶς προξενοῦν λύπη, τότε αἰσθανόμεθα τὶς ἡδονὲς καὶ τὴν χαρά. Διότι οὔτε μὲ εὐχαρίστησι πίνει, ἐκεῖνος ποὺ δὲν δίψασε, οὔτε μὲ εὐχαρίστησι τρώγει ἐκεῖνος ποὺ δὲν πείνασε, οὔτε μὲ εὐχαρίστησι κοιμᾶται, ἐκεῖνος ποὺ δὲν νύσταξε πολύ, οὔτε ἀποκτᾶ αἴσθησι τῆς χαρᾶς, ἐκεῖνος ποὺ προηγουμένως δὲν λυπήθηκε. Ἔτσι οὔτε τὰ αἰώνια ἀγαθὰ θὰ ἀπολαύσουμε, ἐὰν δὲν καταφρονήσουμε ὅσα διαρκοῦν λίγο.

105. Ὁ λόγος, [ἡ ἔκφρασι], εἶναι ὑπηρέτης τοῦ νοῦ. Διότι, ὅ,τι θέλει ὁ νοῦς, αὐτὸ ἐκφράζει διὰ λέξεων καὶ ὁ λόγος.

106. Ὁ νοῦς βλέπει τὰ πάντα. Καί [ἐπίσης βλέπει] ἐκεῖνα [ποὺ βρίσκονται] στοὺς οὐρανούς. Καὶ τίποτα δὲν τοῦ ἐπισκιάζει τὴν ὀπτική, παρὰ μόνο ἡ ἁμαρτία. Στὸν δὲ καθαρό [νοῦ] τίποτε δέν [ὑπάρχει] ἀκατάληπτο, ὅπως ἀκριβῶς τίποτε [δὲν ὑπάρχει], ποὺ νὰ μὴν μπορῇ νὰ λεχθῇ ἀπὸ τὸν λόγο.

107. Ὡς πρὸς τὸ σῶμα ὁ ἄνθρωπος [γίνεται] θνητός. Διὰ μέσου δὲ τοῦ νοῦ καὶ τοῦ λόγου, [δηλαδὴ τῆς ἐκφράσεως], [γίνεται] ἀθάνατος. Ὅταν σιωπᾷς, κατανοεῖς. Ὅταν ἐννοήσῃς, ὁμιλεῖς. Διότι μέσα στὴν σιωπὴ ὁ νοῦς γεννᾶ τὸν λόγο, [τὴν ἔκφρασι]. Εὐγνώμων δὲ λόγος, ὁ ὁ-

προσφερόμενος, σωτηρία ἀνθρώπου εὑρίσκεται.

ρη΄. Ὁ λαλῶν τὰ ἀλόγιστα, νοῦν οὐκ ἔχει. Οὐδὲν γὰρ νοῶν λαλεῖ. Ἀλλὰ σκόπησον τί σοι συμφέρει ποιεῖν πρὸς σωτηρίαν τῆς ψυχῆς.

ρθ΄. Ὁ λόγος ὁ νοῦν ἔχων καὶ ψυχωφελὴς ὑπάρχων, Θεοῦ δῶρόν ἐστιν. Ὥς περ καὶ λόγος ὁ φλυαρίας γέμων, καὶ ζητῶν οὐρανοῦ, καὶ γῆς μέτρα, καὶ διαστήματα, καὶ ἡλίου μεγέθη, καὶ ἄστρων, ἀνθρώπου ματαιοπονοῦντος εὕρημά ἐστι. Τὰ γὰρ μηδὲν ὠφελοῦντα, μάτην κομπούμενος ζητεῖ, ὡς μετὰ κοσκίνου ὕδωρ θέλων ἀντλῆσαι. Ταῦτα γὰρ ἀνθρώποις οὐ δυνατόν ἐστιν εὑρεῖν.

ρι΄. Οὐδεὶς τὸν οὐρανὸν βλέπει, καὶ τὰ ἐν αὐτῷ νοῆσαι δύναται, εἰμὴ μόνος ὁ ἄνθρωπος, ὁ ἐναρέτου βίου ἐπιμελούμενος, καὶ νοῶν, καὶ δοξάζων τὸν ποιήσαντα αὐτὸν εἰς σωτηρίαν, καὶ ζωὴν ἀνθρώπου. Ἐπίσταται γὰρ ἀσφαλῶς ὁ θεοφιλής, καὶ τοιοῦτος ἀνήρ, ὅτι χωρὶς τοῦ Θεοῦ, οὐδέν ἐστι. Πανταχοῦ δέ ἐστι, καὶ

ποῖος προσφέρεται στὸν Θεό, ἀποβαίνει σωτηρία τοῦ ἀνθρώπου.

108. Ἐκεῖνος ποὺ λέγει ἀπερίσκεπτα [λόγια], δὲν ἔχει νοῦ. Διότι σκεπτόμενος δὲν λέγει τίποτα. Ἀλλὰ ἐξέτασε, τί σὲ συμφέρει νὰ κάνῃς γιὰ τὴν σωτηρία τῆς ψυχῆς σου.

109. Ὁ λόγος, ὁ ὁποῖος ἐμπεριέχει λογικὴ σκέψι καὶ εἶναι ψυχωφελής, εἶναι δῶρο τοῦ Θεοῦ. Ὅπως ἀκριβῶς καὶ ὁ λόγος, ποὺ εἶναι γεμάτος ἀπὸ φλυαρία καὶ ἐρευνᾷ τὶς ἀποστάσεις καὶ τὰ διαστήματα μεταξὺ τοῦ οὐρανοῦ καὶ τῆς γῆς καὶ τὰ μεγέθη τοῦ ἡλίου καὶ τῶν ἄστρων, εἶναι ἐφεύρημα ἀνθρώπου, ὁ ὁποῖος ματαιοπονεῖ. Διότι ἐκεῖνα, τὰ ὁποῖα σὲ τίποτα δὲν ὠφελοῦν, μάταια ἐρευνᾷ καυχώμενος, ὅπως ἐκεῖνος ποὺ θέλει νὰ ἀντλήσῃ νερὸ μὲ τὸ κόσκινο. Αὐτὰ βέβαια δὲν εἶναι δυνατὸν νὰ ἀνακαλυφθοῦν ἀπὸ τοὺς ἀνθρώπους.

110. Κανεὶς δὲν βλέπει τὸν οὐρανὸ καὶ δὲν μπορεῖ νὰ κατανοήσῃ ἐκεῖνα, ποὺ εἶναι μέσα σ' αὐτόν, παρὰ μόνο ὁ ἄνθρωπος ἐκεῖνος ποὺ φροντίζει γιὰ τὸν ἐνάρετο βίο καὶ ἀντιλαμβάνεται μὲ τὸν νοῦ του καὶ δοξάζει Ἐκεῖνον, ποὺ δημιούργησε αὐτὸν [τὸν οὐρανόν] γιὰ τὴν σωτηρία καὶ τὴν ζωὴ τοῦ ἀνθρώπου. Γνωρίζει βέβαια μὲ ἀσφάλεια ὁ θεοφιλὴς καὶ τέτοιου εἴδους ἄνθρωπος, ὅτι χωρὶς τὸν Θεὸ τίποτα δὲν ὑπάρχει. Βρίσκεται δὲ παντοῦ καὶ

ἐν πᾶσιν, ὡς ἀπεριόριστος ὑπάρχων ὁ Θεός.

ρια΄. Ὡς ἀπὸ τῆς μητρῴας γαστρὸς ἐξέρχεται ἄνθρωπος· οὕτω καὶ ἀπὸ τοῦ σώματος ἡ ψυχὴ γυμνὴ ἐξέρχεται. Ἡ μὲν καθαρὰ καὶ φωτεινή· ἡ δὲ σπίλους ἔχουσα τὰ πταίσματα· ἑτέρα δέ, μέλαινα τοῖς πολλοῖς παραπτώμασιν. Ὅθεν ἡ λογικὴ καὶ θεοφιλὴς ψυχή, ἐνθυμουμένη καὶ λογιζομένη τὰ μετὰ θάνατον κακά, εὐσεβῶς πολιτεύεται· ἵνα μὴ αὐτοῖς κατακριθεῖσα περιπέσῃ. Οἱ γὰρ ἀπιστοῦντες καὶ ἀσεβοῦσι, καὶ ἁμαρτάνουσι τῶν ἐκεῖ καταφρονοῦντες, οἱ ἀνόητοι τὴν ψυχήν.

ριβ΄. Ὥς περ ἐξελθὼν τῆς γαστρός, τῶν ἐν τῇ γαστρὶ οὐ μνημονεύεις· οὕτω καὶ τοῦ σώματος ἐξελθών, οὐ μνημονεύεις τῶν ἐν σώματι.

ριγ΄. Ὥς περ ἐξελθὼν τῆς γαστρός, κρείττων, καὶ μείζων ἐγένου τῷ σώματι· οὕτω καὶ τοῦ σώματος καθαρὸς καὶ ἄσπιλος ἐξερχόμενος, κρείττων ἔσῃ καὶ ἄφθαρτος, ἐν τοῖς οὐρανοῖς

μέσα σὲ ὅλα, καθὼς ὁ Θεὸς εἶναι ἀπεριόριστος.

111. Ὅπως ἐξέρχεται ὁ ἄνθρωπος ἀπὸ τὴν κοιλία τῆς μητέρας του, ἔτσι ἐξέρχεται γυμνὴ καὶ ἡ ψυχὴ ἀπὸ τὸ σῶμα. Ἡ μιὰ καθαρὴ καὶ φωτεινή. Ἡ ἄλλη ἔχοντας σὰν κηλίδες τὰ σφάλματα. Ἄλλη πάλι, μαύρη ἀπὸ τὰ πολλὰ ἁμαρτήματα. Ἐπομένως ἡ λογικὴ καὶ θεοφιλὴς ψυχή, ὅταν ἀναλογίζεται καὶ σκέπτεται τὰ μετὰ τὸν θάνατο κακά, πολιτεύεται μὲ εὐσέβεια, γιὰ νὰ μήν, ἀφοῦ καταδικαστῇ, περιπέσῃ σ᾽αὐτά. Ἐκεῖνοι βέβαια ποὺ δείχνουν ἀπιστία, καὶ ἀσεβοῦν καὶ ἁμαρτάνουν, καταφρονώντας τὰ ἐκεῖ [συμβαίνοντα μετὰ τὸν θάνατο], οἱ ἀνόητοι στὴν ψυχή.

112. Ὅπως ἀκριβῶς, ὅταν ἐξέλθῃς ἀπὸ τὴν κοιλία [τῆς μητέρας σου] δὲν θυμᾶσαι τὰ σχετικά [μὲ τὴν ζωή] μέσα στὴν κοιλία, ἔτσι καὶ ὅταν ἐξέλθῃς ἀπὸ τὸ σῶμα δὲν θυμᾶσαι τὰ σχετικὰ μέ [ὅταν εὑρισκόσουν] μέσα στὸ σῶμα.

113. Ὅπως ἀκριβῶς, ὅταν ἐξῆλθες ἀπὸ τὴν κοιλία [τῆς μητέρας σου], ἔγινες καλλίτερος καὶ μεγαλύτερος ὡς πρὸς τὸ σῶμα, ἔτσι ἂν ἐξέλθῃς ἀπὸ τὸ σῶμα καθαρὸς καὶ ἀκηλίδωτος [τότε] θὰ εἶσαι καλλίτερος καὶ ἄφθαρτος, καθὼς θὰ ζῇς στοὺς

διαιτώμενος.

ριδ΄. Ὥς περ ἐν τῇ γαστρὶ τοῦ σώματος τελειωθέντος, ἀνάγκη τεχθῆναι· οὕτω τὴν ψυχήν, ἐν τῷ σώματι τὸν ὁρισθέντα ὑπὸ τοῦ Θεοῦ ὅρον πληρώσασαν, ἀνάγκη ἐξελθεῖν τοῦ σώματος.

ριε΄. Ὥς περ ἐὰν χρήσῃ τῇ ψυχῇ οὔσῃ ἐν τῷ σώματι, οὕτω καὶ αὐτὴ ἐξελθοῦσα τοῦ σώματος κέχρηταί σοι. Ὁ γὰρ τῷ σώματι καλῶς, καὶ τρυφηλῶς ἐνταῦθα χρησάμενος, ἑαυτῷ κακῶς ἐχρήσατο μετὰ θάνατον. Κατέκρινε γὰρ τὴν ἑαυτοῦ ψυχὴν ὡς ἀνόητος.

ρις΄. Ὥς περ τὸ σῶμα ἐκ τῆς μητρῴας γαστρὸς ἐξερχόμενον ἀτελές, ἀνατραφῆναι οὐ δύναται, οὕτω καὶ ἡ ψυχὴ τοῦ σώματος ἐξελθοῦσα, καὶ τὴν τοῦ Θεοῦ γνῶσιν διὰ χρηστῆς πολιτείας μὴ κατορθώσασα, σωθῆναι, ἢ Θεῷ συναφθῆναι οὐ δύναται.

ριζ΄. Τὸ σῶμα συναπτόμενον τῇ ψυχῇ, ἐκ τοῦ σκότους τῆς γαστρὸς εἰς τὸ φῶς ἐξέρχεται. Ἡ δὲ ψυχὴ συναπτομένη τῷ σώματι,

οὐρανούς.

114. Ὅπως ἀκριβῶς, ὅταν ὁλοκληρωθῇ τὸ σῶμα μέσα στὴν κοιλία [τῆς μητέρας], [εἶναι] ἀνάγκη νὰ γεννηθῇ, ἔτσι καὶ ἡ ψυχή, ὅταν συμπληρώσῃ τό [χρονικό] ὅριο, τὸ ὁποῖο ὁρίσθηκε ἀπὸ τὸν Θεό, [ἔχει] ἀνάγκη νὰ ἐξέλθῃ ἀπὸ τὸ σῶμα.

115. Ὅπως ἀκριβῶς, ἐὰν συμπεριφερθῇς καλὰ στὴν ψυχή σου, ὅταν εἶναι μέσα στὸ σῶμα, καὶ αὐτή, κατὰ τὸν ἴδιο τρόπο θὰ σοῦ συμπεριφερθῇ, ὅταν ἐξέλθῃ ἀπὸ τὸ σῶμα. Διότι ἐκεῖνος, ὁ ὁποῖος μεταχειρίστηκε ἐδῶ τὸ σῶμα του καλῶς καὶ ἡδονικῶς, μεταχειρίζεται συνήθως τὸν ἑαυτό του κακῶς μετὰ τὸν θάνατο. Διότι κατεδίκασε τὴν ψυχή του ὡς ἀνόητος.

116. Ὅπως ἀκριβῶς τὸ σῶμα, ὅταν ἐξέρχεται ἀτελὲς ἀπὸ τὴν μητρικὴ κοιλία, δὲν μπορεῖ νὰ ἀνατραφῇ, ἔτσι καὶ ἡ ψυχή, ὅταν ἐξέλθῃ ἀπὸ τὸ σῶμα καὶ δὲν ἔχει κατορθώσει τὴν γνῶσι τοῦ Θεοῦ διὰ μέσου τῆς χρηστῆς πολιτείας, δὲν μπορεῖ νὰ σωθῇ ἢ νὰ συναφθῇ μὲ τὸν Θεό.

117. Τὸ σῶμα ἑνωμένο μὲ τὴν ψυχὴ ἐξέρχεται ἀπὸ τὸ σκοτάδι τῆς [μητρικῆς] κοιλίας στὸ φῶς. Ἡ δὲ ψυχὴ ἑνωμένη μὲ τὸ σῶμα

εἰς τὸ σκότος τοῦ σώματος συνδεσμεῖται. Διὸ πρέπει μισεῖν, καὶ παιδεύειν τὸ σῶμα ὡς ἐχθρόν, καὶ πολέμιον ὑπάρχοντα τῇ ψυχῇ. Πλῆθος γὰρ ἐδεσμάτων καὶ ἡδυφαγίας ἐπεγείρει τὰ πάθη τῆς κακίας τοῖς ἀνθρώποις. Ἐγκράτεια δὲ γαστρὸς ταπεινοῖ τὰ πάθη, καὶ σῴζει τὴν ψυχήν.

ριη΄. Τοῦ σώματος ἡ ὅρασις, οἱ ὀφθαλμοί εἰσι. Τῆς δὲ ψυχῆς ἡ ὅρασις, ὁ νοῦς ἐστι. Καὶ ὥς περ σῶμα ὀφθαλμοὺς μὴ ἔχον, τυφλόν ἐστι· καὶ τὸν ἥλιον, πᾶσαν τὴν γῆν καὶ τὴν θάλασσαν καταλάμποντα, οὐ βλέπει, οὐδὲ τοῦ φωτὸς ἀπολαῦσαι δύναται, οὕτω καὶ ἡ ψυχή, νοῦν ἀγαθόν, καὶ χρηστὴν πολιτείαν μὴ ἔχουσα, τυφλή ἐστι, καὶ τὸν Θεὸν τὸν ποιητήν, καὶ εὐεργέτην τῶν ὅλων οὐ κατανοεῖ, οὔτε δοξάζει, οὔτε τῆς ἀφθαρσίας αὐτοῦ, καὶ τῶν αἰωνίων ἀγαθῶν ἐν ἀπολαύσει γενέσθαι οὐ δύναται.

ριθ΄. Ἀναισθησία, καὶ μωρία ψυχῆς ἐστιν, ἡ ἀγνωσία τοῦ Θεοῦ. Τὸ γὰρ κακὸν ἐκ

δεσμεύεται στὸ σκοτάδι τοῦ σώματος. Γι᾽ αὐτὸ πρέπει νὰ ἀπεχθάνεσαι καὶ νὰ τυραννᾷς τὸ σῶμα, ἐπειδὴ ὑπάρχει ὡς ἐχθρὸς καὶ ἀντίπαλος στὴν ψυχή. Διότι τὸ πλῆθος τῶν φαγητῶν καὶ τῆς καλοφαγίας διεγείρει στοὺς ἀνθρώπους τὰ πάθη τῆς κακίας. Ἡ δὲ ἐγκράτεια τῆς κοιλίας ταπεινώνει τὰ πάθη καὶ σώζει τὴν ψυχή.

118. Ἡ ὅρασι τοῦ σώματος εἶναι οἱ ὀφθαλμοί. Τῆς δὲ ψυχῆς ἡ ὅρασι εἶναι ὁ νοῦς. Καὶ ὅπως τὸ σῶμα, ὅταν δὲν ἔχῃ ὀφθαλμοὺς εἶναι τυφλὸ καὶ τὸν ἥλιο, ποὺ καταυγάζει ὅλη τὴν γῆ καὶ τὴν θάλασσα, δὲν τὸν βλέπει, οὔτε μπορεῖ νὰ ἀπολαύσῃ τὸ φῶς, κατὰ τὸν ἴδιο τρόπο καὶ ἡ ψυχή, ἡ ὁποία δὲν ἔχει ἀγαθὸ νοῦ καὶ χρηστὴ πολιτεία, εἶναι τυφλὴ καὶ τὸν Θεό, τὸν δημιουργὸ καὶ εὐεργέτη τῶν πάντων δὲν Τὸν κατανοεῖ οὔτε Τὸν δοξάζει οὔτε μπορεῖ νὰ γίνῃ μέτοχος τῆς ἀπολαύσεως τῆς ἀφθαρσίας Του καὶ τῶν αἰωνίων ἀγαθῶν.

119. Ἀναισθησία καὶ μωρία τῆς ψυχῆς εἶναι ἡ ἀγνωσία τοῦ Θεοῦ. Διότι τὸ κακὸ γεν-

τῆς ἀγνωσίας τίκτεται· τὸ δὲ ἀγαθὸν ἐκ τῆς γνώσεως τοῦ Θεοῦ προσγίνεται τοῖς ἀνθρώποις, καὶ σώζει τὴν ψυχήν. Ἐὰν οὖν τὰ θελήματά σου μὴ ποιεῖν σπουδάζῃς, νηφάλιος ὑπάρχων καὶ γνωρίζων τὸν Θεόν, ἔχεις τὸν νοῦν σου ἐπὶ τὰς ἀρετάς. Ἐὰν δὲ τὰ θελήματά σου τὰ πονηρά, πρὸς ἡδονὴν σπουδάζῃς ποιεῖν, ἀγνωσίαν Θεοῦ μεθύων, ἀπόλλυσαι, ὡς τὰ ἄλογα, μὴ ἐνθυμούμενος τὰ μετὰ θάνατόν σοι συμβησόμενα κακά.

ρκʹ. Πρόνοιά ἐστι τὰ κατὰ ἀνάγκην θείαν γινόμενα, ὥς περ τὸ ἐφ᾽ ἑκάστης ἡμέρας ἀνατέλλειν, καὶ δύειν τὸν ἥλιον, καὶ τὸ καρποφορεῖν τὴν γῆν. Οὕτω καὶ νόμος λέγεται τὸ κατὰ ἀνάγκην ἀνθρωπίνην γινόμενον. Πάντα δὲ διὰ τὸν ἄνθρωπον γέγονε.

ρκαʹ. Ὅσα μὲν ὁ Θεὸς ποιεῖ, ὡς ἀγαθός, διὰ τὸν ἄνθρωπον ποιεῖ. Ὅσα δὲ ὁ ἄνθρωπος ποιεῖ, ἑαυτῷ ποιεῖ, καὶ τὰ καλά, καὶ τὰ κακά. Ἵνα δὲ μὴ θαυμάζῃς τὴν τῶν κακῶν εὐδαιμονίαν, γίνωσκε, ὅτι ὥς περ αἱ πό-

νιέται ἀπό [αὐτήν] τὴν ἀγνωσία. Τὸ δὲ ἀγαθὸ ἐπέρχεται στοὺς ἀνθρώπους ἀπὸ τὴν γνῶσι τοῦ Θεοῦ καὶ σώζει τὴν ψυχή. Ἐὰν λοιπὸν φροντίζῃς νὰ μὴν κάνῃς τὰ θελήματά σου, μὲ τὸ νὰ εἶσαι νηφάλιος καὶ νὰ γνωρίζῃς τὸν Θεό, ἔχεις τὸν νοῦ σου στὶς ἀρετές. Ἐὰν ὅμως φροντίζῃς νὰ κάνῃς τὰ πονηρά σου θελήματα, χάριν τῆς ἡδονῆς, καταστρέφεσαι, ὅπως τὰ ἄλογα [ζῶα], ἐπειδὴ εἶσαι ἀποχαυνωμένος ἐξ αἰτίας τῆς ἀγνωσίας τοῦ Θεοῦ, καὶ δὲν ἀναλογίζεσαι τὰ κακὰ ποὺ πρόκειται νὰ σοῦ συμβοῦν μετὰ τὸν θάνατο.

120. Πρόνοια εἶναι ὅσα γίνονται μὲ αἰτία τὴν θεϊκὴ ἐπιβολή, ὅπως τὸ ὅτι ἀνατέλλει καὶ δύει ὁ ἥλιος κάθε ἡμέρα καὶ τὸ ὅτι καρποφορεῖ ἡ γῆ. Κατὰ ὅμοιο τρόπο λέγεται νόμος ὅ,τι γίνεται μὲ αἰτία τὴν ἀνθρώπινη ἐπιβολή. Ὅλα δὲ ἔγιναν χάριν τοῦ ἀνθρώπου.

121. Ὅσα μὲν κάνει ὁ Θεός, καθὼς [εἶναι] ἀγαθός, τὰ κάνει χάριν τοῦ ἀνθρώπου. Ὅσα δὲ κάνει ὁ ἄνθρωπος, τὰ κάνει γιὰ τὸν ἑαυτό του, καὶ τὰ καλὰ καὶ τὰ κακά. Γιὰ νὰ μὴν θαυμάζῃς ὅμως τὴν εὐημερία τῶν κακῶν [ἀνθρώπων], γνώριζε, ὅτι, ὅπως ἀκριβῶς οἱ

λεις τρέφουσι τοὺς δημίους, καὶ οὐκ ἐπαινοῦσι αὐτῶν τὴν κακίστην προαίρεσιν, ἀλλὰ διὰ τούτων τοὺς ἀξίους κολάζουσαι [recte: κολάζουσι]· τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ Θεὸς τοὺς πονηρούς, τῶν βιωτικῶν καταδυναστεύειν συγχωρεῖ, ὥστε δι᾽ αὐτῶν τιμωρεῖσθαι τοὺς ἀσεβοῦντας. Ὕστερον δὲ καὶ τούτους παραδίδωσι τῇ κρίσει. Ἐπειδὴ οὐχ ὡς τῷ Θεῷ διακονοῦντες, ἀλλὰ τῇ οἰκείᾳ πονηρίᾳ δουλεύοντες, τὰ δεινὰ τοῖς ἀνθρώποις πεποιήκασιν.

ρκβ΄. Οἱ τὰ εἴδωλα σεβόμενοι, εἰ ἐγίνωσκον, καὶ ἔβλεπον τῇ καρδίᾳ τί σέβονται, οὐκ ἂν ἀπεπλανῶντο, οἱ ἄθλιοι, τῆς εὐσεβείας. Ἀλλὰ θεωροῦντες τὴν εὐκοσμίαν, καὶ τὴν τάξιν, καὶ τὴν πρόνοιαν τῶν γεγονότων τε, καὶ τῶν γινομένων ὑπὸ τοῦ Θεοῦ, ἐγνώριζον ἂν τὸν ποιήσαντα αὐτὰ διὰ τὸν ἄνθρωπον.

ρκγ΄. Ὁ ἄνθρωπος ὡς κακός, καὶ ἄδικος ἀποκτεῖναι δύναται. Ὁ δὲ Θεὸς ζωὴν χαριζόμενος καὶ τοῖς ἀνα-

πόλεις τρέφουν τοὺς δημίους καὶ δὲν ἐπαινοῦν τὴν φρικτὴ προαίρεσί τους, ἀλλὰ μέσῳ αὐτῶν τιμωροῦν τοὺς ἀξίους [τιμωριῶν], κατὰ τὸν ἴδιο ἀκριβῶς τρόπο καὶ ὁ Θεὸς ἐπιτρέπει στοὺς πονηροὺς ἀνθρώπους νὰ κατεξουσιάζουν τὶς βιοτικὲς ὑποθέσεις, ὥστε διὰ μέσου αὐτῶν [τῶν πονηρῶν ἀνθρώπων] νὰ τιμωροῦνται ἐκεῖνοι, ποὺ ἀσεβοῦν. Ὕστερα δὲ καὶ αὐτοὺς τοὺς παραδίδει στήν [θεϊκή] κρίσι. Ἐπειδή, δέν [ἐνεργοῦν] ὡς νὰ διακονοῦν τὸν Θεό, ἀλλὰ ἐπειδὴ ὑποτάσσονται στὴν δική τους πονηρία, προκάλεσαν τὶς συμφορὲς στοὺς ἀνθρώπους.

122. Ἐκεῖνοι ποὺ λατρεύουν τὰ εἴδωλα, ἐὰν γνώριζαν καὶ ἔβλεπαν, τί λατρεύουν στὴν καρδία τους, δὲν θὰ ἐπλανῶντο οἱ ἄθλιοι μακριὰ ἀπὸ τὴν εὐσέβεια. Ἀλλὰ βλέποντας τὴν εὐκοσμία καὶ τὴν τάξι καὶ τὴν πρόνοια καὶ αὐτῶν ποὺ ἔχουν γίνει, καὶ αὐτῶν ποὺ γίνονται ἀπὸ τὸν Θεό, θὰ ἠδύναντο νὰ γνωρίσουν Ἐκεῖνον, ποὺ τὰ δημιούργησε αὐτὰ γιὰ χάρι τοῦ ἀνθρώπου.

123. Ὁ ἄνθρωπος, ἐπειδὴ εἶναι κακὸς καὶ ἄδικος μπορεῖ νὰ σκοτώνῃ. Ὅμως ὁ Θεὸς δὲν παύει νὰ χαρίζῃ τὴν ζωὴ καὶ

ξίοις οὐ παύεται. Ὡς ἄφθονος γάρ, καὶ ἀγαθὸς κατὰ φύσιν ὑπάρχων, ἠβουλήθη γενέσθαι τὸν κόσμον, καὶ ἐγένετο. Καὶ γίνεται διὰ τὸν ἄνθρωπον καὶ τὴν σωτηρίαν αὐτοῦ.

ρκδ΄. Ἄνθρωπός ἐστιν, ὁ τὸ σῶμα νοήσας τί ἐστιν· ὅτι φθαρτόν ἐστι, καὶ ὀλιγοχρόνιον. Ὁ γὰρ τοιοῦτος καὶ τὴν ψυχὴν νοεῖ, ὅτι θεία ἐστί, καὶ ἀθάνατος, καὶ ἐμφύσημα Θεοῦ ὑπάρχουσα, εἰς δοκιμὴν καὶ ἀποθέωσιν συνεδέθη τῷ σώματι. Ὁ δὲ τὴν ψυχὴν νοήσας, ὀρθῶς, καὶ ἀρεσκόντως Θεῷ πολιτεύεται, τῷ σώματι μὴ πειθόμενος. Ἀλλ᾽ ὁρῶν τὸν Θεόν, τῷ νῷ ἑαυτοῦ, καὶ τὰ δωρούμενα τῇ ψυχῇ παρὰ τοῦ Θεοῦ αἰώνια ἀγαθά θεωρεῖ νοητῶς.

ρκε΄. Ἀγαθός, καὶ ἄφθονος ἀεὶ ὢν ὁ Θεός, τὴν ἐξουσίαν δέδωκε τῷ ἀνθρώπῳ, τοῦ καλοῦ, καὶ τοῦ κακοῦ· γνῶσιν αὐτῷ δωρησάμενος· ἵνα θεωρῶν τὸν κόσμον, καὶ τὰ ἐν αὐτῷ, γνωρίσῃ τὸν ποιήσαντα τὰ πάντα διὰ τὸν ἄνθρωπον. Τῷ δὲ ἀνοσίῳ ἔξεστι θέ-

στοὺς ἀναξίους. Διότι καθὼς εἶναι πλουσιόδωρος καὶ ἀγαθὸς κατὰ τὴν φύσι Του, ἠθέλησε νὰ δημιουργηθῇ ὁ κόσμος καὶ δημιουργήθηκε. Καὶ συνεχίζει νὰ βρίσκεται σὲ ἐξέλιξι τὸ γεγονὸς τῆς δημιουργίας γιὰ χάρι τοῦ ἀνθρώπου καὶ γιὰ χάρι τῆς σωτηρίας του.

124. Ἄνθρωπος εἶναι ἐκεῖνος ποὺ κατενόησε, τί εἶναι τὸ σῶμα, ὅτι δηλαδὴ εἶναι φθαρτὸ καὶ ὀλιγοχρόνιο. Ὁ [ἄνθρωπος] βέβαια αὐτοῦ τοῦ εἴδους ἐννοεῖ, ὅτι καὶ ἡ ψυχὴ εἶναι θεϊκὴ καὶ ἀθάνατη[2] καὶ πνοὴ τοῦ Θεοῦ [καὶ ὅτι] συνεδέθη μὲ τὸ σῶμα ἀπὸ τὸν Θεὸ μὲ σκοπὸ τὴν δοκιμασία καὶ τὴν θέωσι. Ἐκεῖνος δέ, ποὺ ἐννόησε τὴν ψυχή, πολιτεύεται ὀρθὰ καὶ κατὰ τρόπο ποὺ νὰ ἀρέσῃ στὸν Θεό, χωρὶς νὰ ὑπακούῃ στὸ σῶμα του. Ἀλλὰ καθὼς βλέπει μὲ τὸν νοῦ του τὸν Θεό, βλέπει νοερῶς καὶ τὰ αἰώνια ἀγαθά, τὰ ὁποῖα δωρήθηκαν στὴν ψυχὴ ἀπὸ τὸν Θεό.

125. Ἐπειδὴ ὁ Θεὸς εἶναι πάντοτε ἀγαθὸς καὶ πλουσιόδωρος, ἔχει δώσει στὸν ἄνθρωπο τὴν ἐξουσία [νὰ κάνῃ] τὸ καλὸ καὶ τὸ κακό, δωρίζοντάς του τὴν γνῶσι, γιὰ νὰ γνωρίσῃ καθὼς μελετᾶ τὸν κόσμο καὶ ὅσα εἶναι μέσα σ᾽ αὐτόν, Ἐκεῖνον, ὁ ὁποῖος ἐδημιούργησε τὰ πάντα γιὰ χάρι τοῦ ἀνθρώπου. Σ᾽ ἐκεῖνον ὅμως [ποὺ εἶναι] ἀσεβὴς εἶναι δυνατόν, νὰ θέ-

λειν, καὶ μὴ νοεῖν. Ἔξεστι γὰρ αὐτῷ καὶ ἀπιστεῖν, καὶ ἀτυχεῖν, καὶ τὰ ἐναντία τῆς ἀληθείας νοεῖν. Τοσαύτην ἔχει ἄνθρωπος ἐξουσίαν καὶ τοῦ καλοῦ, καὶ τοῦ κακοῦ.

ρκς'. Πρόσταξίς ἐστι Θεοῦ, τό, αὐξανομένης τῆς σαρκός, τὴν ψυχὴν πληροῦσθαι νοῦ· ἵνα ὁ ἄνθρωπος ἐκ τοῦ καλοῦ, καὶ τοῦ κακοῦ τὸ ἀρέσκον αὐτῷ ἐπιλέξηται. Ψυχὴ δὲ μὴ ἐπιλεγομένη τὸ καλόν, νοῦν οὐκ ἔχει. Ὅθεν, ὅλα μὲν τὰ σώματα ψυχὴν ἔχει· οὐ πᾶσα δὲ ψυχὴ λέγεται νοῦν ἔχειν. Ὁ γὰρ θεοφιλὴς νοῦς παραγίνεται τοῖς σώφροσι, καὶ ὁσίοις, καὶ δικαίοις, καὶ καθαροῖς, καὶ ἀγαθοῖς, καὶ ἐλεήμοσι, καὶ τοῖς εὐσεβοῦσι. Καὶ ἡ παρουσία τοῦ νοῦ, γίνεται αὐτῷ βοήθεια πρὸς Θεόν.

ρκζ'. Ἓν μόνον οὐκ ἔξεστιν ἀνθρώπῳ, τὸ εἶναι ἀθάνατον[γ']. *Θεῷ συναφθῆναι ἔξεστιν αὐτῷ, ἐὰν νοήσῃ, ὅτι δύναται. Θέλων γάρ, καὶ νοῶν, καὶ πιστεύων, καὶ ἀγαπῶν διὰ χρηστῆς πολι-*

λῃ [νὰ ἐννοήσῃ] καὶ νὰ μὴν ἐννοῇ. Διότι τοῦ εἶναι δυνατὸν καὶ νὰ ἀπιστῇ καὶ νὰ δυστυχῇ καὶ νὰ ἐννοῇ τὰ ἀντίθετα τῆς ἀληθείας. Τόσο ἐκτεταμένη ἐξουσία ἔχει ὁ ἄνθρωπος καὶ στὸ καλὸ καὶ στὸ κακό.

126. Εἶναι προσταγὴ τοῦ Θεοῦ τὸ νὰ ἐφοδιάζεται πλήρως ἡ ψυχὴ μὲ νοῦ, ὅταν αὐξάνεται τὸ σῶμα, γιὰ νὰ ἐπιλέξῃ ὁ ἄνθρωπος ἀνάμεσα στὸ καλὸ καὶ τὸ κακό, ἐκεῖνο ποὺ τοῦ ἀρέσει. Ἡ ψυχὴ ὅμως ἐκείνη, ποὺ δὲν ἐπιλέγει τὸ καλό, δὲν ἔχει νοῦ[3]. Ἐπομένως, ὅλα βέβαια τὰ σώματα ἔχουν ψυχὴ ἀλλὰ δὲν λέγεται, ὅτι κάθε ψυχὴ ἔχει νοῦ. Διότι ὁ θεοφιλὴς νοῦς ὑπάρχει στοὺς σώφρονες καὶ στοὺς ὁσίους καὶ στοὺς δικαίους καὶ στοὺς καθαροὺς καὶ στοὺς ἀγαθοὺς καὶ στοὺς ἐλεήμονες καὶ σὲ ὅσους ζοῦν εὐσεβῶς. Καὶ ἡ παρουσία τοῦ νοῦ γίνεται σ᾽ αὐτόν [τὸν εὐλαβῆ ἄνθρωπο] βοήθεια, γιὰ νὰ προσεγγίσῃ τὸν Θεό.

127. Ἕνα μόνο δὲν εἶναι δυνατὸν στὸν ἄνθρωπο, τὸ νὰ εἶναι ἀθάνατος. Τοῦ εἶναι δυνατὸν νὰ συναφθῇ μὲ τὸν Θεό, ἐὰν ἐννοήσῃ, ὅτι μπορεῖ. Διότι ὁ ἄνθρωπος, ὅταν θέλῃ καὶ ἐννοῇ καὶ πιστεύῃ καὶ ἀγαπᾷ, διὰ μέσου τῆς χρηστῆς πο-

τείας, Θεοῦ συνόμιλος γίνεται ὁ ἄνθρωπος.

ρκη΄. Ὁ ὀφθαλμὸς τὰ φαινόμενα θεωρεῖ. Ὁ δὲ νοῦς τὰ ἀόρατα κατανοεῖ. Ὁ γὰρ θεοφιλὴς νοῦς, φῶς ἐστι τῆς ψυχῆς. Ὁ νοῦν ἔχων θεοφιλῆ, τὴν καρδίαν πεφώτισται, καὶ ὁρᾷ τὸν Θεὸν τῷ νῷ ἑαυτοῦ.

ρκθ΄. Οὐδεὶς ἀγαθός, αἰσχρός· ὁ δὲ μὴ καλός, πάντως κακός, καὶ φιλοσώματος. Πρώτη δὲ ἀρετή ἐστιν ἀνθρώπου, ἡ τῆς σαρκὸς καταφρόνησις. Τῶν γὰρ προσκαίρων, καὶ φθαρτῶν, καὶ ὑλικῶν ὁ χωρισμός, ὁ κατὰ προαίρεσιν, καὶ οὐ κατ᾽ ἔνδειαν, τῶν αἰωνίων καὶ ἀφθάρτων ἀγαθῶν κληρονόμους ἡμᾶς ποιεῖ.

ρλ΄. Ὁ νοῦν ἔχων, οἶδεν ἑαυτὸν τί ἐστιν, ὅτι φθαρτός ἐστιν ἄνθρωπος. Ὁ δὲ εἰδὼς ἑαυτόν, πάντα οἶδεν, ὅτι ποιήματα Θεοῦ ἐστι, καὶ διὰ σωτηρίαν ἀνθρώπου ἐγένετο. Πάντα γὰρ νοῆσαι, καὶ πιστεῦσαι ὀρθῶς, ἐν τῇ ἐξουσίᾳ τοῦ ἀνθρώπου ἐστί. Γινώσκει δὲ ἀσφαλῶς ὁ τοιοῦτος ἀνήρ, ὅτι οἱ τῶν βιωτικῶν καταφρονοῦντες,

λιτείας γίνεται σύντροφος τοῦ Θεοῦ.

128. Ὁ ὀφθαλμὸς βλέπει ἐκεῖνα, τὰ ὁποῖα φαίνονται. Ὁ δὲ νοῦς κατανοεῖ ἐκεῖνα, ποὺ δὲν φαίνονται. Διότι ὁ θεοφιλὴς νοῦς εἶναι τὸ φῶς τῆς ψυχῆς. Ἐκεῖνος, ὁ ὁποῖος ἔχει θεοφιλῆ νοῦ ἔχει τὴν καρδία του γεμάτη φῶς καὶ βλέπει τὸν Θεὸ μὲ τὸν νοῦ του.

129. Κανένας [ἄνθρωπος] ἀγαθὸς δὲν εἶναι αἰσχρός. Ἐκεῖνος βέβαια, ποὺ δὲν εἶναι καλός, ὁπωσδήποτε [εἶναι] κακὸς καὶ φιλοσώματος. Πρώτη δὲ ἀρετὴ τοῦ ἀνθρώπου εἶναι ἡ καταφρόνησι τῆς σάρκας[4]. Διότι ὁ ἀποχωρισμὸς ἀπὸ τὰ πρόσκαιρα καὶ φθαρτὰ καὶ ὑλικά, ἐκεῖνος [ὁ ἀποχωρισμός], ποὺ γίνεται ἐξαιτίας τῆς προαιρέσεως καὶ ὄχι ἐξαιτίας τῆς πτωχείας, μᾶς κάνει κληρονόμους τῶν αἰωνίων καὶ ἀφθάρτων ἀγαθῶν.

130. Ἐκεῖνος ποὺ ἔχει νοῦ, γνωρίζει, ποιὸς εἶναι ὁ ἑαυτός του· ὅτι [δηλαδή] εἶναι ἄνθρωπος φθαρτός. Ἐκεῖνος δέ, ποὺ ἔχει γνωρίσει τὸν ἑαυτό του, γνωρίζει, ὅτι ὅλα εἶναι δημιουργήματα τοῦ Θεοῦ καὶ ἔγιναν μὲ σκοπὸ τὴν σωτηρία τοῦ ἀνθρώπου. Διότι εἶναι στὴν ἐξουσία τοῦ ἀνθρώπου, τὰ πάντα νὰ ἐννοήσῃ καὶ νὰ πιστεύσῃ ὀρθῶς. Ὁ τέτοιου εἴδους ἄνθρωπος γνωρίζει ἀσφαλῶς, ὅτι ἐκεῖνοι, ποὺ καταφρονοῦν τὰ βιοτικά,

κόπον μὲν ἐλάχιστον ἔχουσι, τρυφὴν δέ, καὶ ἀνάπαυσιν αἰωνίαν κομίζονται παρὰ τοῦ Θεοῦ μετὰ θάνατον.

ρλα΄. Ὥς περ τὸ σῶμα χωρὶς ψυχῆς νεκρόν ἐστιν, οὕτω καὶ ἡ ψυχὴ χωρὶς τοῦ νοητικοῦ, ἀργή ἐστι, καὶ τὸν Θεὸν κληρονομῆσαι οὐ δύναται.

ρλβ΄. Μὸνου ἀνθρώπου ὁ Θεὸς ἀκούει. Μόνῳ ἀνθρώπῳ ὁ Θεὸς φαίνεται. Φιλάνθρωπος ὁ Θεός, ὅπου ἐὰν ᾖ, καὶ Θεός. Μόνος ἄνθρωπος ἄξιος Θεοῦ προσκυνητής. Διὰ τὸν ἄνθρωπον ὁ Θεὸς μεταμορφοῦται.

ρλγ΄. Ὁ Θεὸς ἀνθρώπῳ πάντα ἐποίησε τὸν οὐρανόν, καὶ κοσμοῦσιν ἀστέρες. Διὰ τὸν ἄνθρωπον τὴν γῆν. Ἄνθρωποι γεωργοῦσι δι᾽ ἑαυτούς. Οἱ τῆς τοῦ Θεοῦ προνοίας τοσαύτης μὴ αἰσθανόμενοι, ἀνόητοι τὴν ψυχήν.

ρλδ΄. Τὸ καλὸν ἀφανές ἐστιν, ὡς τὰ ἐν οὐρανῷ. Τὸ κακὸν φανερόν ἐστι, ὡς τὰ ἐν τῇ γῇ. Καλόν ἐστι, τὸ σύγκρισιν μὴ ἔχον. Ὁ δὲ νοῦν ἔχων ἄνθρωπος, τὸ

ἔχουν μὲν ἐλάχιστο κόπο, ἀλλὰ ἀπολαμβάνουν ἀπόλαυσι καὶ αἰώνιο ἀνάπαυσι μετὰ τὸν θάνατο.

131. Ὅπως ἀκριβῶς τὸ σῶμα εἶναι νεκρὸ χωρὶς τὴν ψυχή, κατὰ τὸν ἴδιο τρόπο καὶ ἡ ψυχὴ χωρὶς τὸ νοητικὸ εἶναι ἀδρανὴς καὶ δὲν μπορεῖ νὰ κληρονομήσῃ τὸν Θεό.

132. Μόνο τὸν ἄνθρωπο, ὁ Θεὸς ἀκούει. Μόνο στὸν ἄνθρωπο ὁ Θεὸς ἐμφανίζεται. Ὁ Θεός [εἶναι] φιλάνθρωπος καὶ ὅπου κι᾽ ἂν εἶναι, [ἐνεργεῖ], ὡς Θεός. Μόνον ὁ ἄνθρωπος [εἶναι] ἄξιος προσκυνητὴς τοῦ Θεοῦ. Χάριν τοῦ ἀνθρώπου ὁ Θεὸς μεταμορφώνεται.

133. Ὁ Θεός, χάριν τοῦ ἀνθρώπου ἔπλασε κατὰ πάντα τὸν οὐρανό [τέλειο] καὶ τὸν στολίζουν οἱ ἀστέρες. Χάριν τοῦ ἀνθρώπου [ἔπλασε] τὴν γῆ. Οἱ ἄνθρωποι καλλιεργοῦν γιὰ τοὺς ἑαυτούς τους [τὴν γῆ]. Ἐκεῖνοι, οἱ ὁποῖοι δὲν αἰσθάνονται τὴν τόσο πλούσια πρόνοια τοῦ Θεοῦ [εἶναι] ἀνόητοι στὴν ψυχή.

134. Τὸ καλὸ εἶναι ἀφανές, ὅπως [καὶ ὅλα], ὅσα [βρίσκονται] στὸν οὐρανό. Τὸ κακὸ εἶναι φανερό, ὅπως [καὶ ὅλα], ὅσα [εἶναι] στὴν γῆ. Καλὸ εἶναι ἐκεῖνο, τὸ ὁποῖο δὲν ἐπιδέχεται σύγκρισι [μὲ τίποτε]. Ὁ δὲ ἄνθρωπος, ποὺ ἔχει νοῦ στο-

κάλλιον ἐπιλέγεται. Μόνῳ γὰρ ἀνθρώπῳ ὁ Θεός, καὶ τὰ ποιήματα αὐτοῦ, νοητά ἐστιν.

ρλε΄. Ὁ νοῦς ἐν τῇ ψυχῇ φαίνεται, καὶ ἡ φύσις ἐν τῷ σώματι. Καὶ ὁ νοῦς μὲν τῆς ψυχῆς ἀποθέωσίς ἐστιν, ἡ δὲ φύσις τοῦ σώματος, διάχυσις ὑπάρχει. Καὶ ἐν παντὶ μὲν σώματι φύσις ἐστίν, οὐκ ἐν πάσῃ δὲ ψυχῇ νοῦς δ᾽ ὑπάρχει· διόπερ οὐδὲ πᾶσα σῴζεται ψυχή.

ρλς΄. Ψυχή, ἐν τῷ κόσμῳ˙ ὡς γεννητή. Νοῦς δέ, καὶ ὑπὲρ τὸν κόσμον˙ ὡς ἀγέννητος. Ἡ δὲ νοοῦσα τὸν κόσμον, καὶ θέλουσα σωθῆναι ψυχή, ἐφ᾽ ἑκάστης ὥρας ἔχει νόμον ἀπαράβατον, καὶ καθ᾽ ἑαυτὴν λογιζομένη, ὅτι νῦν ὁ ἀγών, καὶ ἡ ἐξέτασις, καὶ οὐ συγχωρεῖ ἀναλαβέσθαι τὸν κριτήν, καὶ ὅτι ἀπόλλυται ψυχή, καὶ σῴζεται διὰ μικράν, καὶ αἰσχρὰν ἡδονήν.

ρλζ΄. Ἐν τῇ γῇ ἐκτίσθη ὑπὸ τοῦ Θεοῦ γέννα, καὶ θάνατος. Ἐν δὲ τῷ οὐρανῷ πρόνοια, καὶ ἀνάγκη. Πάντα δὲ διὰ τὸν ἄνθρωπον καὶ σωτηρίαν αὐτοῦ γέγονεν. Ἀ-

χάζεται τὸ καλλίτερο. Διότι ὁ Θεὸς καὶ τὰ δημιουργήματά του εἶναι δυνατὸν νὰ νοηθοῦν ἀπό μόνον τὸν ἄνθρωπο.

135. Ὁ νοῦς ἐμφανίζεται μέσα στὴν ψυχὴ καὶ ὁ νόμος τῆς φύσεως ἐμφανίζεται στὸ σῶμα. Καὶ ὁ μὲν νοῦς εἶναι ἡ θεοποίησι[5] τῆς ψυχῆς, ὁ δὲ νόμος τῆς φύσεως εἶναι ἡ διάλυσι τοῦ σώματος. Καὶ ναὶ μὲν σὲ κάθε σῶμα ὑπάρχει φυσικὸς νόμος, ἀλλὰ δὲν ὑπάρχει σὲ κάθε ψυχὴ νοῦς. Γι᾽ αὐτὸ καὶ δὲν σώζεται κάθε ψυχή.

136. Ἡ ψυχή [εὑρίσκεται] μέσα στὸν κόσμο, ἐπειδὴ ἔχει γεννηθῆ. Ὁ δὲ νοῦς ὑπερβαίνει τὸν κόσμο, καθόσον [εἶναι] ἀγέννητος[6]. Ἡ δὲ ψυχή, ἡ ὁποία κατανοεῖ τὸν κόσμο καὶ θέλει νὰ σωθῇ, κάθε στιγμὴ ἔχει νόμο ἀπαράβατο καὶ καθὼς μόνη της συλλογίζεται, ὅτι τώρα εἶναι ὁ ἀγώνας καὶ ἡ κρίσι καὶ δὲν ἐπιτρέπει νά [τήν] ἀναλάβῃ ὁ κριτὴς καὶ ὅτι χάνεται, ὅπως καὶ σώζεται ἡ ψυχὴ ἐξαιτίας μικρῆς καὶ αἰσχρῆς ἡδονῆς.

137. Στὴν γῆ δημιουργήθηκε ἀπὸ τὸν Θεὸ ἡ γέννησι καὶ ὁ θάνατος. Στὸν δὲ οὐρανό [δημιουργήθηκε] ἡ πρόνοια καὶ ἡ ἀναγκαιότης, [ἡ νομοτέλεια]. Ὅλα δὲ ἔγιναν γιὰ χάρι τοῦ ἀνθρώπου καὶ τῆς σωτηρίας του. Ὁ

νενδεὴς πάντων ἀγαθῶν ὑπάρχων ὁ Θεός, δι᾽ ἀνθρώπους, οὐρανόν, καὶ γῆν, καὶ στοιχεῖα ἐδημιούργησε, διὰ τούτων πᾶσαν ἀπόλαυσιν ἀγαθῶν αὐτοῖς φιλοτιμούμενος.

ρλη'. Τὰ θνητὰ τοῖς ἀθανάτοις ὑπόκεινται. Τὰ δὲ ἀθάνατα[ε'] τοῖς θνητοῖς ὑπηρετεῖ, τουτέστι, τὰ στοιχεῖα τῷ ἀνθρώπῳ, διὰ τὴν φιλανθρωπίαν, καὶ ἔμφυτον ἀγαθότητα τοῦ κτίσαντος Θεοῦ.

ρλθ'. Ὁ πένης γενόμενος καὶ βλάψαι μὴ δυνάμενος, εἰς τοὺς εὐσεβεῖς (τῇ πράξει) οὐ λογίζεται. Ἀλλ᾽ ὁ δυνάμενος βλάψαι, καὶ τῇ ἑαυτοῦ δυνάμει εἰς τὸ κακὸν μὴ χρώμενος, ἀλλὰ τῶν ταπεινοτέρων φειδόμενος, διὰ τὴν περὶ τὸν Θεὸν εὐσέβειαν, ἐκεῖνος ἀμοιβῶν ἀγαθῶν ἐντὸς γίνεται καὶ μετὰ θάνατον.

ρμ'. Διὰ τὴν φιλανθρωπίαν τοῦ κτίσαντος ἡμᾶς Θεοῦ, πλεῖσταί εἰσι τῶν ἀνθρώπων πρὸς σωτηρίαν ὁδοί, αἱ τὰς ψυχὰς ἐπιστρέφουσαι, καὶ ἀνάγουσαι αὐτὰς εἰς τοὺς οὐρανούς. Κομίζονται

Θεός, ἐνῶ δὲν ἔχει ἀνάγκη ἀπὸ κανένα ἀγαθό, ἐδημιούργησε χάριν τῶν ἀνθρώπων τὸν οὐρανὸν καὶ τὴν γῆ καὶ τὰ στοιχεῖα [τῶν πάντων] ἐπιδιώκοντας μὲ ζῆλο διὰ μέσου αὐτῶν [τῶν δημιουργημάτων νὰ προσφέρῃ] σ᾽ αὐτούς, [δηλαδὴ στοὺς ἀνθρώπους], κάθε ἀπόλαυσι ἀγαθῶν.

138. Τὰ θνητὰ ὑπόκεινται στὰ ἀθάνατα. Τὰ δὲ ἀθάνατα ὑπηρετοῦν τὰ θνητά, δηλαδὴ τὰ στοιχεῖα [τῶν πάντων] [ὑπηρετοῦν] τὸν ἄνθρωπο ἐξαιτίας τῆς φιλανθρωπίας καὶ τῆς ἐμφύτου ἀγαθότητος τοῦ δημιουργοῦ Θεοῦ.

139. Ἐκεῖνος ὁ ὁποῖος ἔγινε πτωχὸς καὶ δὲν μπορεῖ νὰ προξενήσῃ βλάβη, (γιὰ τὴν πρᾶξι του [αὐτή]), δὲν ὑπολογίζεται στοὺς εὐσεβεῖς. Ἀλλὰ ὅποιος μπορεῖ νὰ βλάψῃ καὶ δὲν χρησιμοποιεῖ τὴν δύναμί του γιὰ τὸ κακό, ἀλλὰ ἐξαιτίας τῆς εὐσέβειάς του πρὸς τὸν Θεό, συμπονᾶ τοὺς πιὸ ταπεινούς [ἀπὸ τοὺς ἀνθρώπους], ἐκεῖνος γίνεται [ἀποδέκτης] ἀγαθῶν ἀμοιβῶν ἐντὸς τοῦ χρόνου [τῆς ζωῆς] καὶ μετὰ τὸν θάνατο.

140. Ἕνεκα τῆς φιλανθρωπίας τοῦ Θεοῦ, ποὺ μᾶς δημιούργησε, εἶναι πάρα πολλοὶ οἱ δρόμοι γιὰ τὴν σωτηρία τῶν ἀνθρώπων, οἱ ὁποῖοι κατορθώνουν τὴν ἐπιστροφὴ τῶν ψυχῶν καὶ τὶς ἀνυψώνουν στοὺς οὐρανούς. Κατὰ τοῦ-

γὰρ αἱ τῶν ἀνθρώπων ψυχαί, ἀντὶ μὲν τῆς ἀρετῆς, ἀντιμισθίας· ἀντὶ δὲ τῶν πλημμελημάτων, τὰς τιμωρίας.

ρμα΄. Ὁ Υἱὸς ἐν τῷ Πατρί, καὶ τὸ Πνεῦμα ἐν τῷ Υἱῷ, καὶ ὁ Πατὴρ ἐν ἀμφοτέροις ἐστί. Πίστει δὲ πάντα τὰ ἀόρατα, καὶ νοούμενα γινώσκει ὁ ἄνθρωπος. Πίστις δέ ἐστιν ἡ ἐθελούσιος τῆς ψυχῆς συγκατάθεσις.

ρμβ΄. Ὥς περ οἱ διά τινας χρείας, ἢ περιστάσεις, τοῖς μεγίστοις τῶν ποταμῶν ἐγκολυμβᾷν ἀναγκαζόμενοι, ἐὰν νήφωσι, διασώζονται. Κᾂν γάρ βίαια τυγχάνῃ τά ρεύματα, μικρὸν καὶ πωθέντες [recte: κεπφωθέντες][στ΄], *εἴτινος δήποτε τῶν παρὰ ταῖς ὄχθαις πεφυκότων δρασσόμενοι, διασώζονται. Ὅσοι δὲ μεθύοντες εὑρεθῶσιν, εἰ καὶ μυριάκις εἰς τὸ ἄκρον τὸ κολυμβᾷν ἐμελέτησαν, ἀλλὰ τῷ οἴνῳ νικώμενοι, τοῦ ῥεύματος ὑποβρύχιοι γίνονται, καὶ ἔξω τῶν ζώντων εὑρίσκονται. Τὸν αὐτὸν τρόπον καὶ ἡ ψυχὴ εἰς τὰ σύρματα καὶ τὸν περισπασμὸν τῶν ῥευμάτων τοῦ βίου ἐμπίπτουσα, ἐὰν μὴ ἐκ τῆς κα-*

το ἀπολαμβάνουν οἱ ψυχὲς ἀντὶ μὲν τῆς ἀρετῆς τους, τὴν ἀντιμισθία· ἀντὶ δὲ τῶν ἁμαρτιῶν τους, τὶς τιμωρίες.

141. Ὁ Υἱός [εἶναι] μέσα στὸν Πατέρα καὶ τὸ Πνεῦμα μέσα στὸν Υἱὸ καὶ ὁ Πατὴρ [εἶναι] μέσα καὶ στοὺς δύο. Μὲ τὴν πίστι ἐξάλλου γνωρίζει ὁ ἄνθρωπος ὅλα τὰ άόρατα καὶ τὰ νοητά. Καὶ πίστι εἶναι ἡ ἐθελούσια συγκατάθεσι τῆς ψυχῆς.

142. Ὅπως ἐπὶ παραδείγματι, ἐκεῖνοι, οἱ ὁποῖοι ἀναγκάζονται ἐξαιτίας κάποιων ἀναγκῶν ἢ περιστάσεων νὰ κολυμπήσουν σὲ πολὺ μεγάλους ποταμούς, [τότε] διασώζονται, ἐὰν βρίσκωνται σὲ νηφαλιότητα καὶ ἐγρήγορσι. Καὶ ἂν ἀκόμα τύχῃ [νὰ εἶναι] τὰ ρεύματα τοῦ ποταμοῦ ὁρμητικά, ἀκόμα κι ἂν γιὰ λίγο παγιδεύτηκαν, πιάνοντας ὁποιοδήποτε ἀπό [τὰ φυτά], ποὺ φύονται στὶς ὄχθες [τοῦ ποταμοῦ], διασώζονται. Ὅσοι ὅμως βρεθοῦν μεθυσμένοι, ἀκόμη κι ἂν χίλιες φορὲς μὲ ἀκρότατη ἐπιμέλεια γυμνάστηκαν στὴν κολύμβησι, ἀλλὰ ἐπειδὴ νικήθηκαν ἀπὸ τὸ κρασί, βυθίζονται στὸ ρεῦμα [τοῦ ποταμοῦ] καὶ βρίσκονται ἔξω ἀπό [τὸν χῶρο] ἐκείνων ποὺ εἶναι στὴν ζωή. Κατὰ τὸν ἴδιο τρόπο καὶ ἡ ψυχή, ἡ ὁποία πέφτει στὰ τραβήγματα καὶ τὸν περισπασμὸ τῶν ρευμάτων τοῦ βίου, ἐὰν δὲν

κίας τῆς ὕλης ἀνανήψασα, γνωρίσῃ ἑαυτήν, ὅτι θεία ὑπάρχουσα, καὶ ἀθάνατος, τῇ ὀλιγοχρονίᾳ, καὶ πολυπαθείᾳ, καὶ θνητῇ ὕλῃ τοῦ σώματος εἰς δοκιμὴν συνεδέθη, καθέλκεσθαι ὑπὸ τῶν σωματικῶν ἡδονῶν εἰς ἀπώλειαν· καὶ καταφρονοῦσα ἑαυτῆς, καὶ ἀγνωσίᾳ μεθύουσα, καὶ μὴ ἀντιλαμβανομένη ἑαυτῆς, ἀπόλλυται, καὶ ἔξω τῶν σωζομένων εὑρίσκεται· ποταμοῦ γὰρ δίκην, συνυποσύρει πολλάκις ἡμᾶς τὸ σῶμα πρὸς ἀπρεπεῖς ἡδονάς.

ρμγ'. Ἡ λογικὴ ψυχή, ἐπὶ καλῆς προαιρέσεως ἀμετακίνητος ἑστῶσα, ὥς περ ἵππον ἡνιοχεῖ τὸ θυμικόν, καὶ τὸ ἐπιθυμητικὸν τὰ ἀλόγιστα αὐτῆς πάθη, καὶ νικῶσα, καὶ ἄγχουσα, καὶ περιγενομένη αὐτῶν, στεφανοῦται· καὶ τῆς ἐν οὐρανοῖς ἀξιοῦται διαίτης· ἔπαθλον τοῦτο νίκης, καὶ τῶν κόπων λαμβάνουσα παρὰ τοῦ κτίσαντος αὐτὴν Θεοῦ.

ρμδ'. Ἡ κατὰ ἀλήθειαν λογικὴ ψυχὴ ὁρῶσα τὰς τῶν πονηρῶν εὐτυχίας, καὶ τὴν

γνωρίσῃ τὸν ἑαυτό της, ἀφοῦ συνέλθῃ ἀπὸ τὴν ζάλη τῆς κακίας τῆς ὕλης, ὅτι δηλαδὴ ἐνῶ εἶναι θεία καὶ ἀθάνατη [κατὰ Χάριν], συνεδέθη μὲ τὴν ὀλιγοχρόνιο καὶ πολυπαθῆ καὶ θνητὴ ὕλη τοῦ σώματος, χάριν δοκιμῆς [γιὰ νὰ δοκιμαστῇ], παρασύρεται ἀπὸ τὶς σωματικὲς ἡδονὲς στὴν ἀπώλεια. Καὶ καταφρονώντας τὸν ἑαυτό της καὶ μεθώντας ἀπὸ ἀγνωσία καὶ ἐπειδὴ δὲν ἀντιλαμβάνεται τὸν ἑαυτό της χάνεται καὶ βρίσκεται ἔξω ἀπὸ [τὸν χῶρο] ἐκείνων ποὺ σώζονται. Διότι ὅπως ὁ ποταμός, μᾶς συμπαρασύρει πολλὲς φορὲς τὸ σῶμα σὲ ἀπρεπεῖς ἡδονές.

143. Ἡ λογικὴ ψυχή, ἡ ὁποία στέκεται ἀμετακίνητη πάνω στὴν καλὴ προαίρεσι, ὁδηγεῖ σὰν ἄλογο τὰ ἀλόγιστα πάθη της, τὸ θυμικὸ καὶ τὸ ἐπιθυμητικὸ καὶ ἀφοῦ τὰ νικήσῃ καὶ τὰ πνίξῃ καὶ ὑπερισχύσῃ αὐτῶν, στεφανώνεται. Καὶ ἀξιώνεται τῆς ζωῆς στοὺς οὐρανούς, παίρνοντας αὐτὸ [τὸ στεφάνι] ὡς ἔπαθλο τῆς νίκης καὶ τῶν κόπων [της], ἀπὸ τὸν Θεό, ποὺ τὴν δημιούργησε.

144. Ἡ ἀληθινὰ λογικὴ ψυχὴ βλέποντας τὴν εὐτυχία τῶν πονηρῶν [ἀνθρώπων] καὶ τὴν

τῶν ἀναξίων εὐημερίαν, οὐ θορυβεῖται φανταζομένη αὐτῶν τὴν ἐν τούτῳ τῷ βίῳ ἀπόλαυσιν, ὥς περ οἱ ἀλόγιστοι τῶν ἀνθρώπων. Ἐπίσταται γὰρ σαφῶς καὶ τῆς τύχης τὸ ἄστατον, καὶ τοῦ βίου τὸ ἄδηλον, καὶ τῆς ζωῆς τὸ ὀλιγοχρόνιον, καὶ τῆς δίκης τὸ ἀδωροδόκητον· καὶ πιστεύει ἑαυτὴν ἡ τοιαύτη ψυχὴ ὑπὸ τοῦ Θεοῦ παρὰ τὴν ἀναγκαίαν τροφὴν μὴ ἀμελουμένην.

ρμε΄. Ἡ ζωὴ τοῦ σώματος, καὶ ἡ ἐν πλούτῳ πολλῷ, καὶ δυναστείᾳ τοῦ βίου τούτου ἀπόλαυσις, θάνατος γίνεται τῆς ψυχῆς· ὁ δὲ κόπος, καὶ ἡ ὑπομονή, καὶ ἡ ἔνδεια ἡ μετ᾽ εὐχαριστίας, καὶ ὁ θάνατος τοῦ σώματος, ζωή ἐστι, καὶ τρυφὴ αἰωνία τῆς ψυχῆς.

ρμς΄. Ἡ λογικὴ ψυχὴ τῆς ὑλικῆς κτίσεως, καὶ τῆς ὀλιγοχρονίου ζωῆς καταφρονοῦσα, ἐπιλέγεται τὴν οὐράνιον τρυφήν, καὶ τὴν αἰωνίαν ζωήν, διὰ τῆς χρηστῆς πολιτείας παρὰ Θεοῦ ταύτην λαμβάνουσα.

ρμζ΄. Οἱ τὴν ἐσθῆτα βεβορβορωμένοι, μολύνουσι τὸν

εὐημερία τῶν ἀναξίων δὲν θορυβεῖται καθὼς φαντάζεται τὴν ἀπόλαυσι αὐτῶν σὲ αὐτὴ τὴ ζωή, ὅπως ἀκριβῶς [κάνουν] οἱ ἀσύνετοι ἀπὸ τοὺς ἀνθρώπους. Διότι γνωρίζει μὲ σαφήνεια καὶ τὸ ἀσταθὲς τῆς τύχης καὶ τὸ ἄδηλον τοῦ βίου καὶ τὸ ὀλιγοχρόνιο τῆς ζωῆς καὶ τῆς δικαιοσύνης τὸ ἀνεξαγόραστο. Καὶ αὐτὴ ἡ ψυχὴ πιστεύει ἐντός της, ὅτι δὲν παραμελεῖται ἀπὸ τὸν Θεὸ σχετικὰ μὲ τὴν ἀναγκαία της τροφή.

145. Ἡ ζωὴ τοῦ σώματος καὶ ἡ ἀπόλαυσι αὐτοῦ τοῦ βίου μέσα σὲ πολὺ πλοῦτο καὶ ἐξουσία γίνεται θάνατος τῆς ψυχῆς. Ὁ δὲ κόπος καὶ ἡ ὑπομονὴ καὶ ἡ πτωχεία, ἡ ὁποία [συνοδεύεται] ἀπὸ εὐχαριστία [πρὸς τὸν Θεό] καὶ ὁ θάνατος τοῦ σώματος εἶναι ζωὴ καὶ αἰώνια ἀπόλαυσι τῆς ψυχῆς.

146. Ἡ λογικὴ ψυχή, ἡ ὁποία καταφρονεῖ τὴν ὑλικὴ κτίσι καὶ τὴν ὀλιγοχρόνιο ζωή, διαλέγει [μ᾽ αὐτὸν τὸν τρόπο] τὴν οὐράνιο ἀπόλαυσι καὶ τὴν αἰώνιο ζωή, τὴν ὁποία λαμβάνει ἀπὸ τὸν Θεὸ χάριν τῆς χρηστῆς πολιτείας [της].

147. Ἐκεῖνοι, οἱ ὁποῖοι ἔχουν τὸ ἔνδυμά τους καταλερωμένο μὲ δυσώδη λάσπη λερώνουν τὸν

χιτῶνα τῶν προστριβόντων αὐτοῖς. Τὸν αὐτὸν τρόπον, καὶ οἱ κακοὶ τὴν προαίρεσιν, καὶ τὴν πολιτείαν οὐκ ὀρθοί, τοῖς ἁπλουστέροις συνδιατρίβοντες, καὶ προσλεγόμενοι τὰ μὴ δέοντα, βορβόρου δίκην διὰ τῆς ἀκοῆς μολύνουσι τὴν ψυχήν.

ρμη΄. Ἀρχὴ ἁμαρτίας, ἡ ἐπιθυμία ἐστί, δι' ἧς ἀπόλλυται ἡ λογικὴ ψυχή. Ἀρχὴ δὲ σωτηρίας, καὶ βασιλείας οὐρανῶν, ἡ ἀγάπη γίνεται τῇ ψυχῇ.

ρμθ΄. Ὥς περ ὁ χαλκὸς ῥαθυμούμενος, καὶ τῆς δεούσης ἐπιμελείας μὴ ἀξιούμενος, ἐκ τῆς χρονίας δέσεως, καὶ ἀργίας ὑπὸ τοῦ ἐπιγενομένου ἰοῦ διασήπεται, καὶ ἄχρηστος, καὶ ἀκαλλὴς ἀπεργάζεται· τὸν αὐτὸν τρόπον καὶ ἡ ψυχὴ ἀργοῦσα, καὶ μὴ φροντίζουσα περὶ χρηστῆς πολιτείας, καὶ τῆς πρὸς Θεὸν ἐπιστροφῆς, χωρίζουσα ἑαυτὴν διὰ πονηρῶν πράξεων τῆς σκέπης τοῦ Θεοῦ, ὑπὸ τῆς κακίας τῆς ἐπιγενομένης ὑπὸ τῆς ῥαθυμίας, τῇ ὕλῃ τοῦ σώματος, ὡς χαλκὸς ὑπὸ τοῦ

χιτῶνα, ὅσων ἀκουμποῦν ἐπάνω τους. Κατὰ τὸν ἴδιο τρόπο καί [ἐκεῖνοι, ποὺ εἶναι] κακοπροαίρετοι καὶ δὲν πολιτεύονται ὀρθά, ὅταν συναναστρέφωνται μὲ πιὸ ἁπλοὺς [ἀφελεῖς ἀνθρώπους] καὶ συζητοῦν τὰ μὴ πρέποντα [τὰ ἀνάρμοστα], μολύνουν μέσῳ τῆς ἀκοῆς τὴν ψυχή, σὰν μὲ βόρβορο [δύσοσμη λάσπη].

148. Ἡ ἀρχὴ τῆς ἁμαρτίας εἶναι ἡ ἐπιθυμία, διὰ τῆς ὁποίας χάνεται ἡ λογικὴ ψυχή. Ἐνῷ ἡ ἀγάπη γίνεται γιὰ τὴν ψυχὴ ἡ ἀρχὴ τῆς σωτηρίας καὶ τῆς βασιλείας τῶν οὐρανῶν.

149. Ὅπως ἀκριβῶς, ὅταν ὁ χαλκὸς παραμεληθῇ καὶ δὲν τοῦ παρασχεθῇ ἡ πρέπουσα ἐπιμέλεια, ἀπὸ τὸ πολυχρόνιο δέσιμο καὶ τὴν ἀχρησία ἐξ αἰτίας τῆς προκαλουμένης σκουριᾶς, σαπίζει καὶ καταλήγει νὰ γίνεται ἄχρηστος καὶ ἄσχημος, κατὰ τὸν ἴδιο τρόπο καὶ ἡ ψυχή, ἐὰν ἀμελήσῃ καὶ δὲν φροντίζῃ γιὰ τὴν χρηστή πολιτεία καὶ τὴν ἐπιστροφὴ πρὸς τὸν Θεό, μὲ τὸ νὰ χωρίσῃ τὸν ἑαυτό της ἀπὸ τὴν προστασία τοῦ Θεοῦ διὰ τῶν πονηρῶν πράξεων, ἀπὸ τὴν κακία, ἡ ὁποία ἐπικάθηται ἐξαιτίας τῆς ῥαθυμίας, στὴν ὕλη τοῦ σώματος, καταστρέφεται, ὅπως ὁ χαλκὸς ἀπὸ τὴν

ἰοῦ ἀναλίσκεται, καὶ ἀκαλλής, καὶ ἄχρηστος πρὸς σωτηρίαν εὑρίσκεται.

ρν΄. Ὁ Θεὸς ἀγαθός, καὶ ἀπαθής, καὶ ἀμετάβλητός ἐστιν. Εἰδὲ τις τὸν μὲν Θεὸν μὴ μεταβάλλεσθαι, εὔλογόν τε ἡγεῖται, καὶ ἀληθές· ἀπορεῖ δέ, πῶς ἀγαθοῖς μὲν χαίρει, κακοὺς δὲ ἀποστρέφεται· καὶ ἁμαρτάνουσι μὲν ὀργίζεται· θεραπευόμενος δέ, ἵλεως γίνεται; ῥητέον, ὡς οὔτε χαίρει ὁ Θεός, οὔτε ὀργίζεται· τὸ γὰρ χαίρειν, καὶ λυπεῖσθαι, πάθος· οὔτε δώροις θεραπεύεται· ἡδονῇ γὰρ ἂν ἡττηθείη· οὐ θέμις ἐκ τῶν ἀνθρωπίνων πραγμάτων εὖ, ἢ κακῶς ἔχειν τὸ θεῖον. Ἀλλ᾽ ἐκεῖνος μὲν ἀγαθός ἐστι, καὶ ὠφελεῖ μόνον, βλάπτει δὲ οὐδέποτε, κατὰ ταῦτα καὶ ὡσαύτως ἔχων· ἡμεῖς δὲ ἀγαθοὶ μένοντες δι᾽ὁμοιότητα, Θεῷ συναπτόμεθα· κακοὶ δὲ γενόμενοι δι᾽ ἀνομοιότητα, χωριζόμεθα τοῦ Θεοῦ. Καὶ τὴν ἀρετὴν [recte: κατ᾽ ἀρετὴν][c] ζῶντες ἐχόμεθα τοῦ Θεοῦ· κακοὶ δὲ γενόμενοι, ἐχθρὸν ἡμῖν ποιοῦμεν ἐκεῖνον, οὐκ εἰκῇ ὀργι-

σκουριά, καὶ καθίσταται ἄσχημη καὶ μὴ δυναμένη [πλέον] νὰ μετέχῃ στὴν σωτηρία.

150. Ὁ Θεὸς εἶναι ἀγαθὸς καὶ ἀπαθὴς καὶ ἀμετάβλητος. Ἐὰν δὲ κάποιος θεωρῇ εὔλογο καὶ ἀληθινό, ὅτι ὁ Θεὸς δὲν μεταβάλλεται, ἀπορεῖ ὅμως, πῶς μὲν χαίρεται μὲ τοὺς ἀγαθούς, ἐνῶ ἀποστρέφεται τοὺς κακούς· καὶ πῶς ὀργίζεται μ᾽ αὐτοὺς ποὺ ἁμαρτάνουν, ἐνῶ γίνεται σπλαχνικός, ὅταν Τὸν λατρεύουν; Πρέπει νά [τοῦ] εἰπωθῇ, ὅτι οὔτε χαίρεται ὁ Θεός, οὔτε ὀργίζεται. Διότι τὸ νὰ χαίρεται καὶ νὰ λυπᾶται [κανείς] [εἶναι] πάθος. Οὔτε μὲ δῶρα ὑπηρετεῖται [ὁ Θεός], διότι [τότε] θὰ ἐνικᾶτο ἀπὸ τὴν ἡδονή. Δὲν [μπορεῖ νὰ τεθῇ] κριτήριο ἐκ τῶν ἀνθρωπίνων πραγμάτων γιὰ τὸ ἐὰν διάκειται καλῶς ἢ κακῶς τὸ θεῖον. Ἀλλὰ Ἐκεῖνος μὲν εἶναι ἀγαθὸς καὶ μόνον ὠφελεῖ, οὐδέποτε δὲ βλάπτει μένοντας κατ᾽ αὐτὸν τὸν τρόπο καὶ σὲ ὅλα [ἀναλλοίωτος]. Ἐμεῖς δέ, ὅταν παραμένουμε ἀγαθοὶ ἐξ αἰτίας τῆς ὁμοιότητος [πρὸς τὸν Θεό], μὲ τὸν Θεὸ ἑνωνόμεθα. Ὅταν ὅμως γινώμαστε κακοὶ ἐξ αἰτίας τῆς ἀνομοιότητας [πρὸς τὸν Θεό], ἀπὸ τὸν Θεὸ χωριζόμεθα. Καὶ ἐὰν ζοῦμε σύμφωνα μὲ τὴν ἀρετὴ πλησιάζουμε στὸ Θεό, ἐνῶ ἐὰν γίνουμε κακοὶ Τὸν κάνουμε ἐχθρό μας, ὄχι ἄνευ λόγου ὀρ-

ζόμενον· ἀλλὰ τῶν ἁμαρτημάτων, Θεὸν μὲν ἡμῖν οὐκ ἐώντων ἐλλάμπειν, δαίμοσι δὲ κολαστικοῖς συναπτόντων. Εἰδὲ εὐχαῖς, καὶ εὐποιΐαις λύσιν ἁμαρτημάτων εὑρίσκομεν, οὐ τὸν Θεὸν θεραπεύομεν καὶ μεταβάλλομεν, ἀλλὰ διὰ τῶν δρωμένων, καὶ τῆς πρὸς τὸ θεῖον ἐπιστροφῆς, τὴν ἡμετέραν κακίαν ἰώμενοι, πάλιν τῆς τοῦ Θεοῦ ἀγαθότητος ἀπολαύομεν· ὥστε ὅμοιον λέγειν, τὸν Θεὸν τοὺς κακοὺς ἀποστρέφεσθαι, καὶ τὸν ἥλιον τοῖς ἐστερημένοις τῆς ὁράσεως κρύπτεσθαι.

ρνα΄. Ἡ εὐσεβὴς ψυχὴ γινώσκει τὸν Θεὸν τῶν ὅλων. Οὐδὲν γὰρ ἄλλο ἐστὶν εὐσέβεια, εἰμὴ τὸ ποιεῖν τὸ θέλημα τοῦ Θεοῦ, ὅπερ ἐστὶ γνῶσις Θεοῦ ἐν τῷ ἄφθονον εἶναι, σώφρονα, πρᾶον, χαριστικὸν κατὰ δύναμιν, κοινωνικόν, ἀφιλόνεικον, καὶ ὅσα ἐστὶν ἀρέσκοντα τῇ βουλήσει τοῦ Θεοῦ.

ρνβ΄. Ἡ γνῶσις τοῦ Θεοῦ, καὶ ὁ φόβος αὐτοῦ, ἴασίς ἐστι τῶν τῆς ὕλης παθῶν. Ἀγνωσίας γὰρ Θεοῦ, τῇ ψυ-

γιζόμενο, ἀλλὰ ἐξ αἰτίας τῶν ἁμαρτημάτων, τὰ ὁποῖα μὲν δὲν ἐπιτρέπουν στὸν Θεὸ νὰ μᾶς φωτίσῃ, ἀλλὰ μᾶς ἑνώνουν μὲ δαίμονες, οἱ ὁποῖοι μᾶς κολάζουν. Ἐὰν ὅμως μὲ προσευχὲς καὶ καλὰ ἔργα βρίσκουμε τὴν ἄφεσι τῶν ἁμαρτημάτων [μας], δὲν λατρεύουμε τὸν Θεὸ οὔτε [Τόν] μεταβάλλουμε ἀλλὰ διὰ τῶν πράξεών μας καὶ τῆς ἐπιστροφῆς μας πρὸς τὸν Θεό, ἀφοῦ θεραπεύσουμε τὴν δική μας κακία, πάλι ἀπολαμβάνουμε τὴν ἀγαθότητα τοῦ Θεοῦ. Ἑπομένως εἶναι ὅμοιο τὸ νὰ λέῃ [κανείς], ὅτι ὁ Θεὸς ἀποστρέφεται τοὺς κακοὺς καὶ ὅτι ὁ ἥλιος κρύβεται ἀπ᾽ αὐτοὺς ποὺ στεροῦνται τῆς ὁράσεως.

151. Ἡ εὐσεβὴς ψυχὴ γνωρίζει τὸν Θεὸ τῶν ὅλων. Διότι τίποτα ἄλλο δὲν εἶναι ἡ εὐσέβεια παρὰ μόνο τὸ νὰ [κάνῃ κανείς] τὸ θέλημα τοῦ Θεοῦ, τὸ ὁποῖο εἶναι ἡ γνῶσι τοῦ Θεοῦ μέσα σὲ ὀντότητα ἀπαλλαγμένη ἀπὸ φθόνο, γεμάτη σωφροσύνη, πραότητα, προσφέρουσα κατὰ τὴν δύναμί της, κοινωνική, ἀφιλόνεικη καί [μὲ ὅλα τὰ χαρακτηριστικά] ποὺ ἀρέσουν στὴν θέλησι τοῦ Θεοῦ.

152. Ἡ γνῶσι τοῦ Θεοῦ καὶ ὁ φόβος Του, εἶναι ἡ θεραπεία τῶν παθῶν [ποὺ προξενοῦνται] ἀπὸ τὴν ὕλη. Διότι, ὅταν συνυπάρχῃ μὲ τὴν ψυχὴ ἡ ἀ-

χῇ συνούσης, τὰ πάθη ἀνίατα διαμείναντα διασήπει τὴν ψυχήν· ὥς περ ὑπὸ χρονίου ἕλκους διασηπομένης αὐτῆς ὑπὸ τῆς κακίας, ἧς ἀναίτιος ὁ Θεός, ἐπιστήμην καὶ γνῶσιν καταπέμψας ἀνθρώποις.

ρνγ'. Τὸν ἄνθρωπον ἐπιστήμης, καὶ γνώσεως ἐπλήρωσεν ὁ Θεός, τὰ πάθη καὶ τὴν αὐθαίρετον κακίαν ἐκκαθάραι σπουδάζων, καὶ τὸ θνητὸν εἰς ἀθανασίαν διὰ τὴν ἑαυτοῦ ἀγαθότητα μεταθεῖναι βουλόμενος.

ρνδ'. Ὁ νοῦς ὁ ἐν τῇ καθαρᾷ, καὶ φιλοθέῳ ψυχῇ, ἐν ἀληθείᾳ ὁρᾷ τὸν Θεὸν τὸν ἀγέννητον, καὶ ἀθεώρητον, καὶ ἄλεκτον, τὸν μόνον καθαρὸν τοῖς καθαροῖς τῇ καρδίᾳ.

ρνε'. Στέφανος ἀφθαρσίας, καὶ ἀρετή, καὶ σωτηρία ἀνθρώπου ἐστίν, εὐθύμως καὶ εὐχαρίστως φέρειν τὰς συμφοράς· κρατεῖν δὲ θυμοῦ, γλώσσης, γαστρός, ἡδονῶν, τοῦτο μεγίστη βοήθεια γίνεται ψυχῆς.

ρνς'. Ἡ διακρατοῦσα τὸν κόσμον, τοῦ Θεοῦ πρόνοιά ἐστι. Καὶ οὐκ ἔστι τόπος οὐδεὶς ἔρημος τῆς προνοίας.

γνοια τοῦ Θεοῦ, ἐπειδὴ μένουν τὰ πάθη ἀνίατα σαπίζουν τὴν ψυχή, ὅπως ἀκριβῶς ἀπὸ μακροχρόνια πληγή, ὅταν αὐτή, [δηλαδὴ ἡ ψυχή], σαπίζει ἀπὸ τὴν κακία, γιὰ τὴν ὁποία [εἶναι] ἀναίτιος ὁ Θεός, ἐφόσον ἔστειλε στοὺς ἀνθρώπους τὴν ἐπιστήμη καὶ τὴν γνῶσι.

153. Ὁ Θεὸς γέμισε τὸν ἄνθρωπο μὲ ἐπιστήμη καὶ γνῶσι φροντίζοντας [μὲ τὸν τρόπο αὐτό] νὰ ἀποκαθάρῃ τὰ πάθη καὶ τὴν αὐτοπροαίρετη κακία [τοῦ ἀνθρώπου], καὶ ἐπιθυμώντας ἕνεκα τῆς ἀγαθότητός Του νὰ μεταβάλλῃ τὴν θνητότητα σὲ ἀθανασία.

154. Ὁ νοῦς, ὁ ὁποῖος [βρίσκεται] μέσα στὴν καθαρὴ καὶ φιλόθεη ψυχὴ βλέπει ἀληθινὰ τὸν Θεό, τὸν ἀγέννητο καὶ ἀθεώρητο καὶ ἄφατο, τὸν μόνο καθαρό, [ποὺ προσεγγίζει] τοὺς καθαροὺς στὴν καρδία.

155. Στεφάνι ἀφθαρσίας καὶ ἀρετὴ καὶ σωτηρία τοῦ ἀνθρώπου εἶναι νὰ σηκώνῃ τὶς συμφορὲς μὲ χαρὰ καὶ εὐγνωμοσύνη· νὰ συγκρατῇ δὲ τὸν θυμό, τὴν γλῶσσα, τὴν γαστέρα, τὶς ἡδονές. Αὐτὸ [σὰν συμπεριφορά] γίνεται ἡ μεγαλύτερη βοήθεια τῆς ψυχῆς.

156. Ἡ πρόνοια τοῦ Θεοῦ εἶναι ἐκείνη, ποὺ συγκρατεῖ τὸν κόσμο. Καὶ δὲν ὑπάρχει τόπος κανένας, [ποὺ νὰ εἶναι] ἔρημος [στερημένος] ἀπὸ τὴν πρόνοια [τοῦ Θεοῦ].

Πρόνοια δέ ἐστιν, αὐτοτελὴς λόγος τοῦ Θεοῦ, ὁ τυπωτικὸς τῆς εἰς τὸν κόσμον ἐρχομένης ὕλης, καὶ δημιουργός, καὶ τεχνίτης τῶν γινομένων ἁπάντων. Οὐδὲ γὰρ οἷόν τε τὴν ὕλην διακοσμεῖσθαι χωρὶς τῆς διακρινούσης δυνάμεως τοῦ λόγου, ὅς ἐστιν εἰκών, καὶ νοῦς, καὶ σοφία, καὶ πρόνοια τοῦ Θεοῦ.

ρνζ'. Ἡ ἐκ τῆς ἐνθυμήσεως ἐπιθυμία, ῥίζα ἐστὶ τῶν παθῶν τῶν συγγενῶν τοῦ σκότους. Καὶ ἡ ψυχὴ οὖσα ἐν τῇ ἐνθυμήσει τῆς ἐπιθυμίας, ἀγνοεῖ ἑαυτήν, ὅτι Θεοῦ ἐμφύσημά ἐστι, καὶ οὕτω φέρεται ἐπὶ τὸ ἁμάρτημα, οὐ λογιζομένη τὰ μετὰ θάνατον κακὰ ἡ ἀνόητος.

ρνη'. Μεγίστη, καὶ ἀνίατος νόσος ψυχῆς, καὶ ἀπώλεια, ἡ ἀθεότης, καὶ τὸ φιλόδοξον. Ἡ ἐπιθυμία γὰρ τοῦ κακοῦ, ὑστέρημά ἐστι τοῦ ἀγαθοῦ. Ἀγαθὸν δέ ἐστι, τὸ ἀφθόνως τὰ καλὰ πάντα ποιεῖν, ὅσα ἀρέσκει τῷ Θεῷ τῶν ὅλων.

ρνθ'. Ὁ ἄνθρωπος μόνος τοῦ Θεοῦ δεκτικός ἐστι. Τούτῳ γὰρ μόνῳ τῷ ζώῳ ὁμιλεῖ ὁ

Ἡ δὲ πρόνοια εἶναι ὁ αὐθύπαρκτος στὴν ἀπόλυτη τελειότητά του λόγος τοῦ Θεοῦ, ὁ ὁποῖος μορφοποιεῖ τὴν ὕλη, ποὺ ἔρχεται στὸν κόσμο καὶ εἶναι αὐτός, ποὺ δημιουργεῖ καὶ τεχνουργεῖ τὰ πάντα, ὅσα γίνονται. Διότι οὔτε εἶναι δυνατὸν νὰ διακοσμηθῇ ἡ ὕλη χωρὶς τὴν ἀποφασιστικὴ δύναμι τοῦ λόγου, ὁ ὁποῖος εἶναι ἡ εἰκόνα καὶ ὁ νοῦς καὶ ἡ σοφία καὶ ἡ πρόνοια τοῦ Θεοῦ.

157. Ἡ ἐπιθυμία, [ποὺ προκαλεῖται] ἀπὸ τὴν μελέτη τῶν ἐνθυμήσεων εἶναι ἡ ῥίζα τῶν παθῶν, τῶν συγγενῶν μὲ τὸ σκοτάδι. Καὶ ἡ ψυχή, ὅταν ἐνασχολῆται μὲ τὴν μελέτη τῆς ἐπιθυμίας, ἀγνοεῖ τὸν ἑαυτό της, ὅτι δηλαδὴ ἔχει ἐμφυσηθῇ ἀπὸ τὸν Θεὸ καὶ κατ᾽ αὐτὸν τὸν τρόπο ὁδηγεῖται στὸ ἁμάρτημα, δίχως νὰ σκέπτεται τὰ κακὰ μετὰ τὸν θάνατο, ἡ ἀνόητη.

158. Ἡ μεγαλύτερη καὶ ἀθεράπευτη ἀσθένεια τῆς ψυχῆς καὶ ἀπώλειά [της] [εἶναι] ἡ ἀθεΐα καὶ ἡ φιλοδοξία. Ἡ ἐπιθυμία βέβαια τοῦ κακοῦ εἶναι ἔλλειψι ὡς πρὸς τὸ ἀγαθό. Ἀγαθὸ δὲ εἶναι τὸ νὰ κάνῃ [κανείς] πληθωρικὰ ὅλα τὰ καλά, ὅσα ἀρέσουν στὸν Θεὸ τῶν ὅλων.

159. Μόνο ὁ ἄνθρωπος εἶναι δυνατὸ νὰ δεχθῇ τὸν Θεό. Μὲ αὐτὴ βέβαια μόνο τὴν ζωντανὴ ὕπαρξι συνομιλεῖ ὁ

Θεός, νυκτὸς μὲν δι᾽ ὀνείρων, ἡμέρας δὲ διὰ τοῦ νοῦ. Καὶ διὰ πάντων τοῖς ἀξίοις αὐτοῦ ἀνθρώποις προλέγει, καὶ προσημαίνει τὰ μέλλοντα ἀγαθά.

ρξ΄. Οὐδὲν δύσκολόν ἐστι τῷ πιστεύοντι, καὶ βουλομένῳ νοῆσαι τὸν Θεόν. Εἰ δὲ θέλεις αὐτὸν καὶ θεωρῆσαι, βλέπε τὴν εὐκοσμίαν καὶ τὴν πρόνοιαν ἁπάντων τῶν γεγονότων τε, καὶ γινομένων τῷ λόγῳ αὐτοῦ. Πάντα δὲ διὰ τὸν ἄνθρωπον.

ρξα΄. Ἅγιος ὀνομάζεται, ὁ καθαρὸς ἀπὸ κακίας, καὶ ἁμαρτημάτων. Ὅθεν καὶ μέγιστόν ἐστι ψυχῆς κατόρθωμα, καὶ ἀρέσκει Θεῷ, τὸ μὴ εἶναι κακίαν ἐν ἀνθρώπῳ.

ρξβ΄. Ὄνομά ἐστι σημασία ἑνὸς τῶν πολλῶν. Ὅθεν ἀνόητόν ἐστι τὸ νομίζειν τὸν Θεὸν ἕνα ὄντα καὶ μόνον, ἄλλο ἔχειν ὄνομα. Τὸ γὰρ Θεὸς τοῦτο σημαίνει, τὸν ἄναρχον, τὸν τὰ πάντα ποιήσαντα διὰ τὸν ἄνθρωπον.

ρξγ΄. Εἰ σύνοιδας σεαυτῷ πράξεις πονηράς, ἔκκοπτε ἐκ τῆς ψυχῆς σου τῇ τῶν

Θεός, τὴν μὲν νύκτα μέσῳ τῶν ὀνείρων, τὴν δὲ ἡμέρα μέσῳ τοῦ νοός. Καὶ δι᾽ ὅλων, προλέγει καὶ προμηνύει τὰ μελλοντικὰ ἀγαθὰ στοὺς ἀνθρώπους, οἱ ὁποῖοι εἶναι ἄξιοί Του.

160. Τίποτα δὲν εἶναι δύσκολο σ᾽ ἐκεῖνον, ὁ ὁποῖος πιστεύει καὶ ἐπιθυμεῖ νὰ ἐννοήσῃ τὸν Θεό. Ἐὰν πράγματι θέλῃς καὶ νὰ Τὸν δῇς [τὸν Θεό], βλέπε τὴν εὐκοσμία καὶ τὴν πρόνοια ὅλων ὅσων ἔχουν γίνει καὶ γίνονται μὲ τὸν λόγο Αὐτοῦ. Ὅλα δέ [ἔγιναν καὶ γίνονται] γιὰ χάρι τοῦ ἀνθρώπου.

161. Ἅγιος ὀνομάζεται ἐκεῖνος, ὁ ὁποῖος εἶναι καθαρὸς ἀπὸ κακία καὶ ἁμαρτήματα. Συνεπῶς εἶναι καὶ πάρα πολὺ μεγάλο κατόρθωμα τῆς ψυχῆς καὶ ἀρέσει στὸν Θεὸ τὸ νὰ μὴν ὑπάρχῃ κακία στὸν ἄνθρωπο.

162. Ὄνομα εἶναι τὸ σημεῖο [τὸ ὁποῖο διακρίνει] τὸ ἕνα ἀπὸ τὰ πολλά. Ἑπομένως εἶναι ἀνόητο τὸ νὰ νομίζῃ [κανείς], ὅτι ἔχει ἄλλο ὄνομα ὁ Θεός, ὁ ὁποῖος εἶναι ἕνας καὶ μόνος. Διότι τό [ὄνομα] «Θεός» αὐτὸ δηλώνει, δηλαδὴ τὸν ἄναρχο, [ποὺ δὲν ἔχει ἀρχή], ἐκεῖνον, ὁ ὁποῖος ἔκανε τὰ πάντα γιὰ χάρι τοῦ ἀνθρώπου.

163. Ἐὰν ἔχῃς συνείδησι γιὰ τὸν ἑαυτό σου, [ὅτι ἔκανες] πονηρὲς πράξεις, ἀπόκοψέ [τες] ἀπὸ τὴν ψυχή σου [ἔχοντας]

καλῶν προσδοκίᾳ. Δίκαιος γὰρ ὁ Θεός, καὶ φιλάνθρωπος.

ρξδ'. Γνωρίζει τὸν Θεὸν ὁ ἄνθρωπος, καὶ γνωρίζεται ὑπὸ τοῦ Θεοῦ, ὁ σπουδάζων διὰ παντὸς ἀχώριστος εἶναι τοῦ Θεοῦ. Ἀχώριστος δὲ τοῦ Θεοῦ γίνεται ὁ ἄνθρωπος, ὁ ἀγαθὸς παρὰ πάντα, καὶ πάσης κρατῶν ἡδονῆς· οὐ κατὰ ἔνδειαν τῆς τούτων χορηγίας, ἀλλὰ κατὰ βουλὴν καὶ ἐγκράτειαν οἰκείαν.

ρξε'. Εὐποίει τὸν ἀδικοῦντά σε, καὶ φίλον ἕξεις τὸν Θεόν. Μηδενὶ διάβαλλε τὸν ἐχθρόν σου. Ἄσκησον ἀγάπην, σωφροσύνην, ὑπομονήν, ἐγκράτειαν, καὶ τὰ ὅμοια. Αὕτη γάρ ἐστιν ἡ τοῦ Θεοῦ γνῶσις, διὰ ταπεινοφροσύνης καὶ τῶν τοιούτων, ἀκολούθησις τῷ Θεῷ. Ἔργα δὲ ταῦτα οὐ τῶν τυχόντων, ἀλλὰ νοητικῆς ἐστι ψυχῆς.

ρξς'. Διὰ τοὺς ἀσεβῶς τολμῶντας λέγειν ἔμψυχα, τὰ φυτὰ καὶ λάχανα, ἔγραψα τὸ κεφάλαιον τοῖς ἁπλουστέροις πρὸς εἴδησιν. Τὰ φυτὰ ζωὴν μὲν ἔχει τὴν φυσικήν, ψυχὴν δὲ οὐκ ἔχει.

τὴν προσδοκία τῶν καλῶν [πράξεων]. Διότι [εἶναι] δίκαιος ὁ Θεὸς καὶ φιλάνθρωπος.

164. Ἐκεῖνος ὁ ὁποῖος φροντίζει νὰ εἶναι πάντοτε ἀχώριστος ἀπὸ τὸν Θεό, γνωρίζει τὸν Θεὸ καὶ γνωρίζεται ἀπὸ τὸν Θεό. Ἀχώριστος δὲ ἀπὸ τὸν Θεὸ γίνεται ὁ ἄνθρωπος ἐκεῖνος, ὁ ὁποῖος [εἶναι] ἀγαθὸς ὡς πρὸς τὰ πάντα καὶ ὁ ὁποῖος ἐγκρατεύεται ἀπὸ κάθε ἡδονή, ὄχι ἀπὸ τὴν ἔλλειψι τῆς χορηγίας [γιὰ τὴν ἀπόλαυσι] αὐτῶν [δηλαδὴ τῶν ἡδονῶν], ἀλλὰ σύμφωνα μὲ τὴν δική του θέλησι καὶ ἐγκράτεια.

165. Εὐεργέτησε ἐκεῖνον, ποὺ σὲ ἀδικεῖ καὶ θὰ ἔχῃς φίλο τὸν Θεό. Σὲ κανέναν νὰ μὴν κατηγορῇς τὸν ἐχθρό σου. Ἄσκησε τὴν ἀγάπη, τὴν σωφροσύνη, τὴν ὑπομονὴ καὶ τὶς παρόμοιες [ἀρετές]. Διότι αὐτὴ εἶναι ἡ γνῶσι τοῦ Θεοῦ, τὸ νὰ ἀκολουθῇς τὸν Θεὸ μὲ ταπεινοφροσύνη καὶ μὲ τὶς ὅμοιες μ' αὐτὴν ἀρετές. Αὐτὰ ὅμως τὰ ἔργα δέν [εἶναι] τῶν ὁποιωνδήποτε τυχαίων, ἀλλὰ ψυχῆς, ἡ ὁποία διαθέτει τὴν δύναμι τοῦ νοῦ.

166. Γιὰ ἐκείνους ποὺ τολμοῦν νὰ λένε ἀσεβῶς, ὅτι τὰ φυτὰ καὶ τὰ λάχανα ἔχουν ψυχή, ἔγραψα τὸ κεφάλαιο [αὐτό] γιὰ τὴν πληροφόρησι τῶν περισσότερο ἁπλοϊκῶν καὶ ἀδόλων [ἀπὸ τοὺς ἀνθρώπους]. Τὰ μὲν φυτὰ ἔχουν ζωὴ φυσική. Ψυχὴ ὅμως δὲν ἔχουν.

Λογικὸν δὲ ζῷον ὁ ἄνθρωπος λέγεται· ὅτι νοῦν ἔχει, καὶ ἐπιστήμης ἐστὶ δεκτικός. Τὰ μέντοι ἄλλα ζῷα τὰ ἐπίγειά τε, καὶ ἀέρια, φωνὴ ἐν αὐτοῖς ἐστιν, ὅτι πνεῦμα ἔχει, καὶ ψυχήν. Καὶ πάντα μὲν τὰ αὐξανόμενά ἐστι, καὶ μειούμενα, ζῷα, ὅτι ζῇ καὶ αὐξάνεται, οὐ μέντοι καὶ ψυχὴν ἔχει. Τῶν δὲ ζῴων διαφοραὶ τέσσαρές εἰσι. Τὰ μὲν γὰρ αὐτῶν ἀθάνατά ἐστι, καὶ ἔμψυχα, ὡς οἱ Ἄγγελοι. Τὰ δὲ νοῦν, καὶ ψυχήν, καὶ πνεῦμα ἔχει, ὡς οἱ ἄνθρωποι. Τὰ δὲ πνεῦμα ἔχει, καὶ ψυχήν, ὡς τὰ ζῷα. Τὰ δὲ μόνον ζωὴν ἔχει, ὡς τὰ φυτά. Καὶ ζωὴ μὲν ἐπὶ τῶν φυτῶν, χωρὶς ψυχῆς καὶ πνεύματος, καὶ νοῦ, καὶ ἀθανασίας συνίσταται. Τὰ ἄλλα δὲ πάντα, χωρὶς ζωῆς οὐ δύνανται εἶναι. Πᾶσα δὲ ψυχή, ἀνθρωπίνη δηλονότι, ἀεικίνητός ἐστιν ἀπὸ τόπου εἰς ἕτερον τόπον.

ρξζ΄. Ὅταν ἡδονῆς τινος φαντασίας ἀναλάβῃς, φύλασσε σαυτόν, μὴ εὐθέως συναρπασθῇς ὑπ᾽ αὐτῆς, ἀλλὰ μικρὸν ὑπερτιθέμενος,

Ζῶσα ὕπαρξι, λογικὴ λέγεται ὁ ἄνθρωπος, διότι ἔχει νοῦ καὶ εἶναι δεκτικὸς τῆς μαθήσεως καὶ τῆς γνώσεως. Οἱ ἄλλες ὅμως ζῶσες ὑπάρξεις, [ποὺ βρίσκονται] στὴν γῆ καὶ στὸν ἀέρα, ἔχουν φωνὴ μέσα τους, καθὼς ἔχουν πνοὴ καὶ ζωτικὴ δύναμι. Καὶ ὅλα μὲν ὅσα αὐξάνονται καί [κατόπιν] ἐλαχιστοποιοῦνται [μὲ τὸν θάνατο] εἶναι ζῶσες ὑπάρξεις, διότι ζοῦν καὶ αὐξάνονται, ἀλλὰ δὲν ἔχουν καὶ ψυχή. Στὶς δὲ ζῶσες ὑπάρξεις τὰ εἴδη εἶναι τέσσερα. Διότι ἀπ᾽ αὐτά, τὰ μὲν εἶναι ἀθάνατα καὶ ἔμψυχα, ὅπως οἱ Ἄγγελοι. Τὰ δὲ ἔχουν νοῦν καὶ ψυχὴ καὶ πνοή, ὅπως οἱ ἄνθρωποι. Καὶ ἄλλα ἔχουν πνοὴ καὶ ζωτικὴ δύναμι, ὅπως τὰ ζῶα. Ἄλλα ὅμως ἔχουν μόνο ζωή, ὅπως τὰ φυτά. Καὶ ἡ ζωὴ πράγματι, ὡς πρὸς τὰ φυτὰ συγκροτεῖται χωρὶς ψυχὴ καὶ πνοὴ καὶ νοῦ καὶ ἀθανασία. Καὶ ὅλες οἱ ἄλλες [ζῶσες ὑπάρξεις], χωρὶς ζωὴ δὲν μποροῦν νὰ ὑπάρξουν. Κάθε βέβαια ψυχή, ἀνθρώπινη προφανῶς, ζῇ [μὲ τὴν δυνατότητα] ἀενάου κινήσεως ἀπὸ τὸν ἕνα τόπο στὸν ἄλλο τόπο.

167. Ὅταν προσλάβῃς [στὸ νοῦ σου] τὶς φαντασίες κάποιας ἡδονῆς, πρόσεχε τὸν ἑαυτό σου νὰ μὴν συναρπασθῇς ἀμέσως ἀπ᾽ αὐτήν [τὴν ἡδονή], ἀλλὰ γιὰ μιὰ στιγμή, ἀφοῦ σταθῇς ὑπεράνω,

μνήσθητι τοῦ θανάτου, καὶ ἐνθυμήθητι πῶς ἄμεινόν ἐστι τὸ συνειδέναι σεαυτῷ, ταύτην τὴν πλάνην τῆς ἡδονῆς νενικηκότι.

ρξη΄. Ὥς περ ἐν τῇ γεννήσει τὸ πάθος ἐστί· τὸ γὰρ γινόμενον ἐν τῷ βίῳ, καὶ φθείρεται· οὕτω καὶ ἐν τῷ πάθει ἡ κακία ὑπάρχει. Μὴ οὖν εἴπῃς, οὐκ ἠδύνατο ὁ Θεὸς τὴν κακίαν ἐκκόψαι. Οἱ γὰρ τοῦτο λέγοντες, ἀναισθητοῦντες, καὶ μωραίνοντες λέγουσιν. Οὐκ ἐχρῆν μὲν οὖν τὸν Θεὸν ἐκκόψαι τὴν ὕλην. Τῆς γὰρ ὕλης ἐστὶ ταῦτα τὰ πάθη. Ὁ δὲ Θεὸς κατὰ τὸ συμφέρον ἐξέκοψε τὴν κακίαν ἐκ τῶν ἀνθρώπων, νοῦν, καὶ ἐπιστήμην, καὶ γνῶσιν, καὶ διάκρισιν τοῦ καλοῦ δωρησάμενος αὐτοῖς· ἵνα, γινώσκοντες τὴν κακίαν, ὅτι βλαπτόμεθα ἐξ αὐτῆς, φεύγωμεν ἀπ᾽ αὐτῆς. Ὁ δὲ ἀνόητος ἄνθρωπος ἐπακολουθεῖ τῇ κακίᾳ, καὶ σεμνύνεται ἐπ᾽ αὐτῇ, καὶ ὥς περ δικτύῳ περιτυχὼν μάχεται ὑπ᾽ αὐτῆς ἔνδον εἰλούμενος· καὶ μηδέποτε ἀνανεῦσαι δυνάμενος,

μνημόνευσε τὸν θάνατο καὶ ἀναλογίσου, πόσο ἀνώτερο εἶναι γιὰ τὸν ἑαυτό σου τὸ νὰ ἔχῃ προσωπικὴ ἀντίληψι, ὅτι ἔχει νικήσει αὐτὴ τὴν πλάνη τῆς ἡδονῆς.

168. Ὅπως ἀκριβῶς τὸ πάθος βρίσκεται στὴν γέννησι, διότι ὅ,τι γεννιέται στὴ ζωή, ὑπόκειται καὶ στὴν φθορά, κατὰ τὸν ἴδιο τρόπο καὶ στὸ πάθος ὑπάρχει ἡ κακία. Νὰ μὴν πῇς λοιπόν, δὲν μποροῦσε ὁ Θεὸς νὰ ἔχῃ ἀποκόψει τὴν κακία, γιατὶ ἐκεῖνοι, οἱ ὁποῖοι λέγουν αὐτό, τὸ λέγουν ἐπειδὴ εἶναι ἀναίσθητοι καὶ μωροί. Δὲν ἔπρεπε λοιπὸν ὁ Θεὸς νὰ ἔχῃ καταστρέψῃ τὴν ὕλη. Διότι αὐτὰ τὰ πάθη εἶναι σχετικὰ μὲ τὴν ὕλη. Ὁ δὲ Θεὸς σύμφωνα μὲ τὸ συμφέρον, ἀπέκοψε τὴν κακία ἀπὸ τοὺς ἀνθρώπους, μὲ τὸ νὰ δωρίσῃ σ᾽ αὐτοὺς νοῦ καὶ σοφία καὶ γνῶσι καὶ διάκρισι τοῦ καλοῦ, ὥστε ἀφοῦ γνωρίσουμε τὴν κακία, νὰ φεύγουμε ἀπ᾽ αὐτήν, διότι ἐξαιτίας της βλαπτόμεθα. Ὁ δὲ ἀνόητος ἄνθρωπος ἀκολουθεῖ τὴν κακία καὶ ὑπερηφανεὐεται γι᾽ αὐτὴ καὶ ὅπως ἀκριβῶς [ἐκεῖνος], ποὺ ἔτυχε νὰ πιαστῇ σὲ δίχτυ, μάχεται ἀπ᾽ αὐτήν [δηλαδὴ τὴν κακία] συρόμενος μέσα [στὸ δίχτυ], καὶ δὲν μπορεῖ οὐδέποτε νὰ ὀρθώσῃ τὴν κεφαλή του

καὶ ἰδεῖν, καὶ γνωρίσαι τὸν Θεόν, τὸν τὰ πάντα εἰς σωτηρίαν καὶ ἀποθέωσιν ἀνθρώπου ποιήσαντα.

ρξθ΄. Τὰ θνητὰ ἑαυτοῖς φθονεῖ ἐκ τοῦ προεπίστασθαι τόνδε τὸν θάνατον. Καὶ τὸ μὲν ἀθἀνατον, ἐκ τοῦ ἀγαθὸν εἶναι προσγίνεται τῇ ὁσίᾳ ψυχῇ· τὸ δὲ θνητὸν, ἐκ τοῦ κακὸν εἶναι συμβαίνει τῇ ἀνοήτω καὶ ἀθλίᾳ ψυχῇ.

ρο΄. Ὅταν εὐχαρίστως ἐπὶ τὴν οἰκείαν κοίτην τραπῇς, τάς εὐεργεσίας, καὶ τὴν τοσαύτην πρόνοιαν τοῦ Θεοῦ εἰς ἑαυτὸν ἐνθυμούμενος, πληρωθεὶς ἀγαθῆς ἐννοίας, πλέον εὐφραίνῃ, καὶ γίνεταί σου ὁ τοῦ σώματος ὕπνος, τῆς ψυχῆς νῆψις, καὶ ἡ σύμμυσις τῶν ὀφθαλμῶν σου, ἀληθὴς Θεοῦ ὅρασις, καὶ ἡ σιωπή σου, ἐγκύμων τοῦ ἀγαθοῦ γινομένη, δίδωσιν ἐξ ὅλης ψυχῆς καὶ ἰσχύος, ἀνατεταμένην αἰσθητικὴν δόξαν τῷ τῶν ὅλων Θεῷ. Κακίας γὰρ ἀπούσης ἀνθρώπου, ἡ εὐχαριστία καὶ μόνη, ὑπὲρ πᾶσαν πολυτελῆ θυσίαν, ἀρέσκει τῷ Θεῷ· ᾧ ἡ δόξα εἰς

καὶ νὰ δῆ καὶ νὰ γνωρίσῃ τὸν Θεό, ὁ ὁποῖος ἔκανε τὰ πάντα γιὰ τὴν σωτηρία καὶ τὴν θέωσι τοῦ ἀνθρώπου.

169. Τὰ θνητὰ λυποῦνται τοὺς ἑαυτούς τους ἐξαιτίας τοῦ ὅτι προγνωρίζουν αὐτὸν ἐδῶ τὸν θάνατο. Ἀλλὰ ἡ μὲν κατάστασι τῆς ἀθανασίας, ἐπειδὴ εἶναι ἀγαθὸν ἐπέρχεται στὴν ὁσία ψυχή. Ἡ δὲ κατάστασι τῆς θνητότητος, ἐπειδὴ εἶναι κακὸ συμβαίνει στὴν ἀνόητη καὶ ἀθλία ψυχή.

170. Ὅταν μὲ εὐγνωμοσύνη [πρὸς τὸν Θεό], γείρῃς στὸ κρεββάτι σου, ἀφοῦ ἀναλογιστῇς μέσα σου τὶς εὐεργεσίες καὶ τὴν τόσο πλούσια πρόνοια τοῦ Θεοῦ, γεμίζοντας μὲ ἀγαθὴ σκέψι εὐφραίνεσαι πιὸ πολὺ καὶ σοῦ γίνεται ὁ ὕπνος τοῦ σώματος, νῆψι [ἐγρήγορσι] τῆς ψυχῆς καὶ τὸ κλείσιμο τῶν ματιῶν σου ἀληθινὴ ὅρασι τοῦ Θεοῦ καὶ ἡ σιωπή σου κυοφορώντας τὸ ἀγαθό, προσφέρει ἐξ ὅλης τῆς ψυχῆς καὶ τῆς δυνάμεώς [της] ἀνυψωμένη ἐν αἰσθήσει δοξολογία πρὸς τὸν Θεὸ τῶν ὅλων. Διότι, ὅταν ἀπουσιάζῃ ἡ κακία ἀπό τὸν ἄνθρωπο, καὶ μόνη ἡ εὐγνωμοσύνη ἀρέσει περισσότερο ἀπὸ κάθε πολυτελῆ θυσία στὸν Θεό, στὸν ὁποῖο ἀνήκει ἡ δόξα εἰς

τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.	τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΣΗΜΕΙΩΣΕΙΣ-ΣΧΟΛΙΑ

ΣΗΜΕΙΩΣΕΙΣ-ΣΧΟΛΙΑ

ΑΓΙΟΥ ΝΙΚΟΔΗΜΟΥ

α' ***Ἀντὶ τοῦ οἷον.***
β' ***Ἴσως τὸ διακριτικόν.***
γ' ***Πάντως τῷ σώματι τοῦτο νόησον καὶ οὐ τῇ ψυχῇ· ἀλλὰ καὶ αὐτὸ μετὰ τὴν ἀνάστασιν ἀθανατισθήσεται.*** = Πάντως ἐννόησε αὐτὸ ὡς πρὸς τὸ σῶμα καὶ ὄχι ὡς πρὸς τὴν ψυχή· ἀλλὰ καὶ αὐτό [τὸ σῶμα] μετὰ τὴν ἀνάστασι θὰ γίνῃ ἀθάνατο.
δ' ***Δηλαδὴ φρόνησις.***
ε' ***Τὸ δὲ ἀθάνατον ἐνταῦθα, ὡς πολυχρόνιον καὶ ἐπιπολὺ διαμένον, ἐκλαμβάνεται.*** = Τὸ ἀθάνατο ὅμως ἐκλαμβάνεται ἐδῶ, ὡς τὸ πολυχρόνιο καὶ ἐκεῖνο ποὺ παραμένει γιὰ πολύ.
στ' ***Ἴσως κεπφωθέντες.***
ζ' ***Ἴσως κατ' ἀρετήν.***

ΠΑΡΑΠΟΜΠΕΣ

ΣΕ ΧΩΡΙΑ ΤΗΣ ΑΓΙΑΣ ΓΡΑΦΗΣ


[1] Πρβ. Σοφ. Σειρ. 19, 30.

ΣΗΜΕΙΩΣΕΙΣ

α΄ Ὁ ἱερὸς συγγραφεὺς σὲ ὅλη τὴν ἔκτασι τῶν Παραινέσεών του, χρησιμοποιεῖ τὴν ἔννοια τοῦ λόγου, ὡς τὴν ἀνθρώπινη ἔκφρασι, ἐνδιάθετη ἢ πρόφορική, διανοητικὴ παραγωγή: ἐνδιάθετος ἢ προφορικὸς λόγος.

ΣΧΟΛΙΑ

1 Τοῦτο δὲν πρέπει νὰ νοηθῇ μανιχαϊκῶς. Ἐδῶ κακίζεται ἁπλῶς τὸ σαρκικὸ φρόνημα ποὺ γεννᾶ τὰ πάθη τῆς κακίας.
2 Ὄχι καθ᾽ ἑαυτήν, ἐπειδὴ εἶναι κτιστή, ἀλλὰ κατὰ τὴν βούλησι τοῦ Θεοῦ.
3 Ἐδῶ ἐννοεῖ ὁ Ἅγιος Ἀντώνιος ὅτι ὁ νοῦς αὐτὸς εἶναι ἀπενεργοποιημένος, ὁπότε πρακτικῶς εἶναι ὡς νὰ μὴν ὑπάρχῃ, γιατὶ βέβαια ὁ νοῦς ὑπάρχει ὀντολογικῶς ὡς φυσικὴ δύναμι τῆς ψυχῆς.
4 Δὲν πρόκειται γιὰ τὴν περιφρόνησι τοῦ σώματος, ἀλλὰ γιὰ τὸ σαρκικὸ φρόνημα.
5 Ἐννοεῖ τὴν χαρισματικὴ θέωσι.
6 Ὄχι καθ᾽ἑαυτὸν ἀγέννητος, ἀλλὰ κατὰ τὴν ἄκτιστη δωρεά. Προφανῶς, ἐδῶ γίνεται λόγος γιὰ τὸν ἐκλαμπρυσμένο νοῦ ἀπὸ τὴν χαρισματικὴ παρουσία τοῦ Ἁγίου Πνεύματος. Καθ᾽ ἑαυτὸν ὁ νοῦς, ὡς δύναμι τῆς ψυχῆς, εἶναι κτιστός, ὅπως καὶ ἡ ψυχή.



ΑΓΙΟΣ ΗΣΑΪΑΣ Ο ΑΝΑΧΩΡΗΤΗΣ

ΣΥΝΤΟΜΟΣ ΒΙΟΓΡΑΦΙΑ ΚΑΙ ΛΟΓΟΙ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΗΣΑΪΟΥ ΤΟΥ ΑΝΑΧΩΡΗΤΟΥ


ΣΥΝΤΟΜΟΣ ΒΙΟΓΡΑΦΙΑ

Ὁ Ὅσιος Πατὴρ ἡμῶν Ἡσαΐας ὁ Ἀναχωρητής, ἔζη ἐν ἔτει ἀπὸ Χριστοῦ τριακοσιοστῷ ἑβδομηκοστῷ, σύγχρονος γεγονὼς τῷ Ἀββᾷ Μακαρίῳ τῷ μεγάλῳ. Νυκτὸς δὲ καὶ ἡμέρας ταῖς θείαις ἐμμελετήσας γραφαῖς, καὶ δαψιλῆ τὰ νάματα τῆς πνευματικῆς σοφίας ἐκ τῶν πηγῶν τοῦ σωτηρίου ἀντλήσας, πολλῶν καὶ καλλίστων λόγων ἐγένετο ποιητής, διαφόρους ψυχωφελεῖς ὑποθέσεις περιεχόντων, ὡς ὅλην βίβλον ἐκ τούτων συναπαρτίζεσθαι. Ὧν καὶ τὸ λογίδιον τουτὶ ἀποτεμαχίσαντες, τοῖς τηρῆσαι ποθοῦσι τὸν οἰκεῖον νοῦν, παρεθήκαμεν. Διδάσκει γὰρ ὡς ἐν συντόμῳ, ὅπως τε χρὴ τὰς προσβολὰς τῶν λογισμῶν ἀποκρούειν, καὶ ἀκατάγνωστον τὴν συνείδησιν ἔχειν, κρυπτῶς τε μελετᾷν,

Ὁ Ὅσιος πατέρας μας Ἡσαΐας ὁ Ἀναχωρητής, ἔζησε κατὰ τὸ ἔτος τριακόσια ἑβδομήντα μετὰ Χριστόν, ἔχοντας ὑπάρξει σύγχρονος τοῦ Ἀββᾶ Μακαρίου τοῦ Μεγάλου. Νύκτα δὲ καὶ ἡμέρα, ἀφοῦ μελέτησε μὲ προσοχὴ τὶς θεῖες Γραφὲς καὶ ἤντλησε ἄφθονα τὰ νάματα τῆς πνευματικῆς σοφίας ἀπὸ τὶς πηγὲς τῆς σωτηρίας, ἔγινε συντάκτης πολλῶν καὶ ἐξαιρετικῶν λόγων, οἱ ὁποῖοι περιέχουν διάφορα ψυχωφελῆ θέματα, καθόσον ὁλόκληρο βιβλίο συναπαρτίζεται ἀπ᾽ αὐτούς. Ἀπὸ τοὺς ὁποίους καὶ τὸν μικρὸ αὐτὸ λόγο, ἀφοῦ ἀποκόψαμε, [τόν] προσφέραμε σὲ ὅσους ποθοῦν νὰ τηρήσουν τὸν νοῦ τους. Διότι διδάσκει, κάπως σύντομα, πῶς πρέπει καὶ τὶς προσβολὲς τῶν λογισμῶν νὰ ἀποκρούῃ [κανείς] καὶ νὰ ἔχῃ τὴν συνείδησί [του] ἀνεπίληπτη καὶ νὰ μελετᾷ κρυπτῶς καὶ μὲ κάθε ἀταραξία καὶ νὰ

καὶ ἐν ἀταραξίᾳ πάσῃ ἐπιστημόνως διαφυλάττειν τὸ τῆς ψυχῆς τριμερές.

διαφυλάττη μὲ τρόπο ἐπιστημονικό [γνώσεως καὶ ἐπιμελημένης νήψεως], τὸ τριμερὲς τῆς ψυχῆς.



ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΗΣΑΪΟΥ ΤΟΥ ΑΝΑΧΩΡΗΤΟΥ

ΛΟΓΟΙ

I

ΠΕΡΙ ΤΗΡΗΣΕΩΣ ΤΟΥ ΝΟΟΣ

ΚΕΦΑΛΑΙΑ ΚΖ' – ΚΕΦΑΛΑΙΑ 27

α'. Τοῦ νοός ἐστιν ἡ ὀργὴ κατὰ φύσιν ἐν τοῖς πάθεσιν. Καὶ χωρὶς ὀργῆς, οὐδὲ ἁγνεία γίνεται τῷ ἀνθρώπῳ, ἐὰν μὴ ὀργισθῇ εἰς πάντα τὰ σπειρόμενα τῷ ἀνθρώπῳ εἰς αὐτὸν παρὰ τοῦ ἐχθροῦ. Καὶ ὅτε εὗρεν αὐτὸν ὁ Ἰακὼβ [recte: Ἰώβ], ὠνείδισε τοὺς ἐχθροὺς αὐτοῦ, λέγων αὐτοῖς· ἄτιμοι, καὶ πεφαυλισμένοι, ἐνδεεῖς παντὸς ἀγαθοῦ, οὓς οὐχ ἡγησάμην ἀξίους εἶναι κυνῶν τῶν ἐμῶν νομάδων[1]*. Ὁ θέλων δὲ ἐλθεῖν εἰς τὴν κατὰ φύσιν ὀργήν, ἐκκόπτει πάντα τὰ θελήματα αὐτοῦ, ἕως οὗ στήσει ἑαυτὸν ἐν τῷ κατὰ φύσιν τοῦ νοῦ.*

β'. Ἐὰν ᾖς ἀνθιστάμενος τῇ ἔχθρᾳ, καὶ ἴδῃς αὐτὴν ἀσθενήσασαν ἀπό σοῦ φεύγειν

1. Ἡ ὀργὴ ἀνάμεσα στὰ πάθη, εἶναι φυσική [ἰδιότητα] τοῦ νοῦ. Καὶ χωρὶς τὴν ὀργή, οὔτε ἡ ἁγνότητα κατορθώνεται ἀπό τὸν ἄνθρωπο, ἐὰν δὲν ὀργιστῇ ἐναντίον ὅλων ἐκείνων, τὰ ὁποῖα σπείρονται ἐναντίον τοῦ ἀνθρώπου, [καὶ μάλιστα] μέσα σ᾿ αὐτόν, ἀπὸ τὸν ἐχθρὸ [διάβολο]. Καί [ἰδού, ὡς παράδειγμα], ὅταν βρῆκε αὐτόν [δηλαδὴ τὸν διάβολο], ὁ Ἰώβ, ἐξύβρισε τοὺς ἐχθρούς του, λέγοντας σ᾿ αὐτούς: «Ἄτιμοι καὶ τιποτένιοι, ἐλλιπεῖς ἀπὸ κάθε καλό, τοὺς ὁποίους δὲν σᾶς θεωρῶ ἀξίους οὔτε νὰ εἶστε σκύλοι τῶν ποιμένων μου». Ἐκεῖνος βέβαια, ὁ ὁποῖος θέλει νὰ φθάσῃ στὴν [κατάστασι] τῆς κατὰ φύσιν ὀργῆς, ἀποκόπτει ὅλα τὰ θελήματά του, ἕως ὅτου ἀνορθώσῃ τὸν ἑαυτό του στὴν κατὰ φύσιν [κατάστασι] τοῦ νοός.

2. Ἐὰν ἀντιστέκεσαι στὸ μῖσος [τοῦ διαβόλου] καὶ τὸ δῇς νὰ φεύγῃ ἀπὸ σένα ὑποχωρώντας ἐξα-

εἰς τὰ ὀπίσω, μὴ χαρῇ σου ἡ καρδία· ὅτι ἡ κακία τῶν πνευμάτων, ὀπίσω αὐτῶν ἐστιν. Ἑτοιμάζουσι γὰρ πόλεμον χείρονα τοῦ πρώτου, καὶ ἐῶσιν αὐτὸν ὀπίσω τῆς πόλεως, καὶ ἐντέλλονται αὐτῷ μὴ κινηθῆναι. Καὶ ἐὰν ἀντιστῇς ἀντιβαίνων αὐτοῖς, φεύγουσιν ἀπὸ προσώπου σου ἐν ἀσθενείᾳ. Καὶ ἐὰν ὑψωθῇ ἡ καρδία σου, ὅτι ἐδίωξας αὐτούς, καὶ καταλείψῃς τὴν πόλιν, οἱ μὲν ἐγείρονται ἐκ τῶν ὀπίσω, οἱ δὲ ἵστανται ἔμπροσθεν, καὶ ἐῶσι τὴν ταλαίπωρον ψυχὴν ἐν μέσῳ αὐτῶν, μὴ ἔχουσαν ἔτι καταφυγήν. Πόλις ἐστὶν ἡ προσευχή. Ἔνστασις δὲ ἡ ἐν Χριστῷ Ἰησοῦ ἀντιλογία. Βάσις δὲ ὁ θυμός.

γ΄. Στῶμεν οὖν ἀγαπητοὶ ἐν φόβῳ Θεοῦ, φυλάττοντες, καὶ τηροῦντες τὸ πρακτικὸν τῶν ἀρετῶν· μὴ διδόντες πρόσκομμα τῇ συνειδήσει ἡμῶν, ἀλλὰ προσέχοντες ἑαυτοῖς ἐν φόβῳ Θεοῦ· ἕως οὗ καὶ αὐτὴ ἐλευθερώσει ἑαυτὴν μεθ᾽ ἡμῶν, ὅπως γένηται μεταξὺ ἡμῶν καὶ αὐτῆς ἕνωσις·

σθενημένο, ἂς μὴν χαρῇ ἡ καρδία σου, διότι ἡ κακία τῶν δαιμόνων βρίσκεται στὴν ὑποχώρησί τους. Ἑτοιμάζουν δηλαδὴ πόλεμο χειρότερο ἀπὸ τὸν πρῶτο καὶ τὸν ἀφήνουν πίσω ἀπὸ τὴν πόλι καὶ τοῦ δίνουν ἐντολὴ νὰ μὴν κινηθῇ. Καὶ ἐὰν ἀντισταθῇς κινούμενος ἀντίθετα πρὸς αὐτούς, φεύγουν ἀπὸ μπροστά σου ἐξασθενημένοι. Ἀλλά, ἐὰν ὑπερηφανευθῇ ἡ καρδία σου, ὅτι τοὺς ἔδιωξες καὶ ἐγκαταλείψῃς τὴν πόλι, [τότε] οἱ ἄλλοι ἐξεγείρονται ἀπὸ πίσω καὶ αὐτοὶ στέκονται μπροστὰ καὶ ἐγκαταλείπουν τὴν ταλαίπωρη ψυχὴ ἀνάμεσά τους, χωρὶς νὰ ἔχῃ πλέον καταφύγιο. Πόλις εἶναι ἡ προσευχή. Ἀντίστασι δὲ ἡ ἐν Χριστῷ ἀντιλογία. Θεμέλιο δέ [τοῦ ἀγῶνος] [εἶναι] ὁ θυμός.

3. Ἂς σταθοῦμε, λοιπόν, ἀγαπητοὶ μὲ φόβο Θεοῦ φυλάσσοντας καὶ τηρώντας τὴν ἄσκησι τῶν ἀρετῶν, χωρὶς νὰ δίδουμε πρόσκομμα στὴν συνείδησί μας, ἀλλὰ προσέχοντας τοὺς ἑαυτούς μας μὲ φόβο Θεοῦ, ἕως ὅτου καὶ αὐτή [ἡ συνείδησι] ἐλευθερώσῃ τὸν ἑαυτό της μαζὶ μ᾽ ἐμᾶς, ὥστε νὰ γίνῃ ἀνάμεσα σ᾽ ἐμᾶς καὶ σ᾽ αὐτήν, ἕνωσι.

καὶ λοιπὸν αὐτὴ γένηται ἡμῶν φύλαξ, δεικνύουσα ἡμῖν ἕκαστον, εἰς ὃ ἐκκόπτομεν. Ἐὰν δὲ μὴ ὑπακούσωμεν αὐτῆς, ἀποστήσεται ἀφ᾽ ἡμῶν, καὶ καταλείπει ἡμᾶς, καὶ πίπτομεν εἰς τὰς χεῖρας τῶν ἐχθρῶν ἡμῶν, καὶ οὐκ ἐῶσιν ἡμᾶς οὐκέτι. Καθὼς ἐδίδαξεν ἡμᾶς ὁ Δεσπότης ἡμῶν λέγων· γνῶθι τὸν ἀντίδικόν σου, ἕως εἶ ἐν τῇ ὁδῷ μετ᾽ αὐτοῦ, καὶ τὰ ἑξῆς[2]*. Λέγουσι τὴν συνείδησιν ἀντίδικον εἶναι, ὅτι ἀνθίσταται τῷ ἀνθρώπῳ θέλοντι ποιῆσαι τὸ θέλημα αὐτοῦ τῆς σαρκός. Καὶ ἐὰν μὴ ἀκούσῃ αὐτῆς ὁ ἄνθρωπος, παραδίδωσιν αὐτὸν τοῖς ἐχθροῖς αὐτοῦ.*

δ΄. Ἐὰν ἴδῃ ὁ Θεός, ὅτι ὑπετάγη αὐτῷ ὁ νοῦς ὅλῃ δυνάμει, καὶ οὐκ ἔχει ἄλλην βοήθειαν, εἰμὴ αὐτὸν μόνον, ἐνδυναμοῖ αὐτόν, λέγων· μὴ φοβοῦ παῖς μου Ἰακώβ, ὀλιγοστὸς Ἰσραήλ[3]*. Καὶ πάλιν· μὴ φοβοῦ, ὅτι ἐλυτρωσάμην σε· ἐκάλεσά σε τὸ ὄνομά μου· ἐμὸς εἶ σύ· καὶ ἐὰν διαβαίνῃς δι᾽ ὕδατος, μετὰ σοῦ εἰμι· καὶ ποταμοὶ οὐ συγκλείσουσί σε. Καὶ ἐὰν διέλθῃς*

Ἑπομένως, αὐτὴ γίνεται ὁ φύλακάς μας, ὁ ὁποῖος μᾶς ἐπιδεικνύει κάθε τι, στὸ ὁποῖο παρεκτρεπόμεθα. Ἐὰν ὅμως δὲν ὑπακούσουμε σ᾽ αὐτή, θὰ ἀπομακρυνθῇ ἀπὸ ἐμᾶς καὶ θὰ μᾶς ἐγκαταλείψῃ καί [τότε] πέφτουμε στὰ χέρια τῶν ἐχθρῶν μας καὶ πλέον δὲν μᾶς ἀφήνουν. Καθὼς μᾶς δίδαξε ὁ Κύριός μας, ὅταν εἶπε: «γνώρισε τὸν ἀντίδικό σου ἐν ὅσῳ βρίσκεσαι μαζί του στὴν ὁδό», καὶ τὰ ἑξῆς. Λέγουν ὅτι εἶναι ἀντίδικος ἡ συνείδησι, ἐπειδὴ ἀντιστέκεται στὸν ἄνθρωπο, ὅταν θέλῃ νὰ κάνῃ τὸ θέλημά του, τὸ σαρκικό. Καὶ ἐὰν ὁ ἄνθρωπος δὲν τὴν ἀκούσῃ, τὸν παραδίδει στοὺς ἐχθρούς του.

4. Ἐὰν δῇ ὁ Θεός, ὅτι ὁ νοῦς ὑπετάγη σ᾽ Αὐτὸν μὲ ὅλη τὴν δύναμί του καὶ δὲν ἔχει ἄλλη βοήθεια, παρὰ μόνον Αὐτόν, [τότε] τὸν ἐνισχύει λέγοντας: «Μὴν φοβᾶσαι, παιδί μου Ἰακώβ, ὀλιγάριθμε Ἰσραήλ». Καὶ πάλι [τοῦ λέγει]: «Μὴν φοβᾶσαι, διότι σὲ ἐλύτρωσα. Σὲ ἐκάλεσα μὲ τὸ ὄνομά μου. Δικός μου εἶσαι ἐσύ. Καὶ ἐὰν διαβαίνῃς διὰ μέσου τοῦ ὕδατος, εἶμαι μαζί σου. Καὶ οἱ ποταμοὶ δὲν θὰ σὲ κατακλείσουν. Καὶ ἂν περάσῃς μέσα

διὰ πυρός, οὐ κατακαυθῇς, καὶ φλὸξ οὐ κατακαύσῃ σε· ὅτι ἐγὼ Κύριος ὁ Θεός σου ὁ ἅγιος Ἰσραήλ, ὁ σώζων σε[4].

ε΄. Ἐὰν οὖν ἀκούσῃ ὁ νοῦς τὴν παῤῥησίαν ταύτην, κατατολμᾷ τῆς ἔχθρας λέγων· τίς ἐστιν ὁ πολεμῶν με; Ἀντιστήτω μοι. Καὶ τίς ὁ κρινόμενός μοι; Ἐγγισάτω μοι. Ἰδοὺ Κύριος βοηθός μου, τίς κακώσει μοι; Ἰδοὺ πάντες ὑμεῖς ὡς ἱμάτιον παλαιωθήσεσθε ὑπὸ σητός[5].

ς΄. Ἐὰν ἡ καρδία σου φύσει τὴν ἁμαρτίαν ἐμίσησεν, ἐνίκησε˙ καὶ ἀπέστησεν αὐτὴν ἐκ τῶν τικτόντων τὴν ἁμαρτίαν. Καὶ ἔθου τὴν κόλασιν ἐνώπιόν σου· καὶ γίνωσκε ὅτι ὁ βοηθός σου συμπαραμένει σοι. Καὶ σὺ ἐν μηδενὶ λυπῶν αὐτόν, ἀλλὰ κλαίων ἐνώπιον αὐτοῦ, καὶ λέγων· σόν ἐστι τὸ ἔλεος, τοῦ λυτρώσασθαί με Κύριε. Ἀδυνάτως γὰρ ἔχω ἐγὼ τὰς χεῖρας ἐκφυγεῖν τῶν ἐχθρῶν δίχα τῆς σῆς βοηθείας. Προσέχων καὶ τῇ καρδίᾳ σου, καὶ αὐτός σε διαφυλάττει ἀπὸ παντὸς κακοῦ.

ζ΄. Ὀφείλει ὁ μοναχὸς ἀπο-

ἀπὸ φωτιά, δὲν θὰ κατακαῇς καὶ ἡ φλόγα δὲν θὰ σὲ κατακαύσῃ, διότι ἐγώ [εἶμαι] ὁ Κύριος, ὁ Θεός σου, ὁ Ἅγιος Ἰσραήλ, ποὺ σὲ σώζει».

5. Ἐὰν λοιπὸν ὁ νοῦς ἀκούσῃ τὸν πλήρως ἐνθαρρυντικὸ αὐτὸν λόγο, ἀψηφᾶ τὸ μῖσος [τοῦ διαβόλου] λέγοντας: «Ποιὸς εἶναι ἐκεῖνος, ποὺ μὲ πολεμᾶ; Ἂς σταθῇ ἀπέναντί μου! Καὶ ποιός [εἶναι] ἐκεῖνος, ποὺ μὲ καταδικάζει; Ἂς μὲ πλησιάσῃ. Ἰδού, ὁ Κύριος [εἶναι] βοηθός μου, ποιὸς θὰ μοῦ κάνῃ κακό; Ἰδού, ὅλοι ἐσεῖς θὰ καταφθαρῆτε, ὅπως τὸ ροῦχο ἀπὸ τὸν σκόρο».

6. Ἐάν, στὴν φύσι της ἡ καρδία σου, ἐμίσησε τὴν ἁμαρτία, ἐνίκησε καὶ στάθηκε μακριὰ ἀπὸ ὅσα γεννοῦν τὴν ἁμαρτία. Καὶ ἔθεσες τὴν κόλασι ἐνώπιόν σου. Καὶ γνώριζε, ὅτι ὁ Βοηθός σου παραμένει μαζί σου. Καὶ σὺ νὰ μὴν Τὸν λυπῆς σὲ τίποτα, ἀλλὰ νὰ κλαῖς ἐνώπιόν Του καὶ νὰ λές: «Δικό Σου εἶναι τὸ ἔλεος Κύριε, γιὰ νὰ μὲ λυτρώσῃς. Διότι ἐγὼ ἔχω τὰ χέρια μου ἀδύνατα, γιὰ νὰ ξεφύγω ἀπὸ τοὺς ἐχθρούς, χωρὶς τὴν δική Σου βοήθεια». Ἐὰν προσέχῃς καὶ τὴν καρδία σου, καὶ Αὐτὸς θὰ σὲ προφυλάσσῃ ἀπὸ κάθε κακό.

7. Ὀφείλει ὁ μοναχὸς νὰ ἀπο-

κλεῖσαι αὐτοῦ πάσας τὰς πύλας τῆς ψυχῆς, ἤγουν τὰς αἰσθήσεις, τοῦ μὴ πτωματισθῆναι δι' αὐτῶν. Καὶ ἐὰν ἴδῃ ὁ νοῦς ἑαυτόν, μὴ κατακυριευόμενον ὑπό τινος, ἑτοιμάζεται εἰς ἀθανασίαν· ἐπισυνάγων τὰς αἰσθήσεις αὐτοῦ ἐπὶ τὸ αὐτό, καὶ ποιῶν αὐτὰς ἓν σῶμα.

η'. Ἐὰν ἐλευθερωθῇ ὁ νοῦς ἀπὸ πάσης ἐλπίδος τοῦ κόσμου τῶν ὁρωμένων, τοῦτό ἐστι τὸ σημεῖον ὅτι ἀπέθανεν ἐν σοὶ ἡ ἁμαρτία.

θ'. Ἐὰν ἐλευθερωθῇ ὁ νοῦς, ἡ μεσότης, ἣν ἔχει μεταξὺ ἑαυτοῦ, καὶ τοῦ Θεοῦ, ἀπέρχεται.

ι'. Ἐὰν ἐλευθερωθῇ ὁ νοῦς ἀπὸ πάντων τῶν ἐχθρῶν αὐτοῦ, καὶ σαββατίσῃ, ἔστιν ἐν ἑτέρῳ αἰῶνι καινῷ, καινὰ λογιζόμενος καὶ ἄφθαρτα. Λοιπὸν ὅπου τὸ πτῶμα, ἐκεῖ συναχθήσονται καὶ οἱ ἀετοί[6].

ια'. Στέλλουσιν οἱ δαίμονες ἑαυτοὺς ἐν πανουργίᾳ πρὸς καιρόν, ἴσως ὁ ἄνθρωπος ἀπολύσῃ τὴν ἑαυτοῦ καρδίαν, νομίζων ὅτι ἀνεπαύθη· καὶ ἄφνω εἰσπηδῶσιν ἐπὶ τὴν ταλαίπωρον ψυ-

κλείσῃ ὅλες τὶς πύλες τῆς ψυχῆς του, δηλαδὴ τὶς αἰσθήσεις, γιὰ νὰ μὴν ἐκπέσῃ [σὲ ἁμαρτίες] ἐξ αἰτίας αὐτῶν, [τῶν αἰσθήσεων]. Καὶ ἐὰν δῇ ὁ νοῦς τὸν ἑαυτό του, ὅτι δὲν ἐξουσιάζεται ἀπὸ κάτι, ἑτοιμάζεται γιὰ τὴν ἀθανασία συνάσσοντας μαζί, ἐπὶ τὸ αὐτό, τὶς αἰσθήσεις του καὶ ἔτσι τὶς κάνει ἕνα σῶμα.

8. Ἐὰν ἐλευθερωθῇ ὁ νοῦς [σου] ἀπὸ κάθε ἐλπίδα [αὐτοῦ] τοῦ κόσμου τῶν φαινομένων [ὅσων βλέπεις], αὐτὸ εἶναι σημεῖο, ὅτι πέθανε ἡ ἁμαρτία ἐντός σου.

9. Ἐὰν ἐλευθερωθῇ ὁ νοῦς, [τότε] ἡ ἐν τῷ μέσῳ ἀπόστασι, ἡ ὁποία ὑπάρχει ἀνάμεσα σ' αὐτὸν καὶ τὸν Θεὸ φεύγει.

10. Ἐὰν ἐλευθερωθῇ ὁ νοῦς ἀπὸ ὅλους τοὺς ἐχθρούς του καὶ καταπαύσῃ, βρίσκεται σὲ ἄλλον αἰῶνα, καινούργιο, ὅπου σκέπτεται καινούργια καὶ ἄφθαρτα [πράγματα]. Λοιπόν, ἐκεῖ ποὺ εἶναι τὸ πτῶμα, ἐκεῖ θὰ συναχθοῦν καὶ οἱ ἀετοί[α'].

11. Ἀποκρύπτουν οἱ δαίμονες τοὺς ἑαυτούς τους μὲ πανουργία, πρὸς ὀλίγον, μήπως ὁ ἄνθρωπος χαλαρώσῃ τὴν καρδία του νομίζοντας ὅτι ἀνεπαύθη. Καὶ ξαφνικὰ πηδοῦν πάνω στὴν ταλαίπωρη ψυ-

χήν, καὶ ἁρπάζουσιν αὐτὴν ὡς στρουθίον· καὶ ἐὰν ἐπικρατέστεροι αὐτῆς γένωνται, ταπεινοῦσιν αὐτὴν ἀνελεημόνως ἐν παντὶ ἁμαρτήματι, χαλεπώτερον παρὰ τὰς ἀρχάς, ὑπὲρ ὧν ηὔχετο συγχωρηθῆναι. Σταθῶμεν οὖν ἐν φόβῳ Θεοῦ, καὶ φυλάξωμεν τῇ καρδίᾳ, ἐπιτελοῦντες τὸ πρακτικὸν ἡμῶν· φυλάττοντες τὰς ἀρετάς, αἵτινες κωλύουσι τὴν κακίαν τῶν ἐχθρῶν.

ιβ΄. Ὁ διδάσκαλος ἡμῶν Ἰησοῦς Χριστός, εἰδὼς τὴν μεγάλην αὐτῶν ἀνελεημοσύνην, καὶ οἰκτειρήσας τὸ γένος τῶν ἀνθρώπων, ἐνετείλατο ἐν στρυφνότητι καρδίας λέγων· γίνεσθε ἕτοιμοι ἐν πάσῃ ὥρᾳ, ὅτι οὐκ οἴδατε ἐν ποίᾳ ὥρᾳ ὁ ληστὴς ἔρχεται, μήποτε ἔλθῃ, καὶ εὕρῃ ὑμᾶς κοιμωμένους[7]. Καὶ πάλιν· βλέπετε μὴ βαρυνθῶσιν ὑμῶν αἱ καρδίαι ἐν κραιπάλῃ, καὶ μέθῃ, καὶ μερίμναις βιωτικαῖς, καὶ ἐπελεύσεται ὑμῶν ἄφνω ἡ ὥρα[8]. Στῆθι οὖν ἐπὶ τὴν καρδίαν σου, προσέχων τὰς αἰσθήσεις σου· καὶ ἐὰν εἰρηνεύσῃ μετὰ σοῦ ἡ μνήμη

χὴ καὶ τὴν ἁρπάζουν σὰν σπουργιτάκι. Καὶ ἐὰν γίνουν ἰσχυρότεροί της, τὴν ἐξουθενώνουν χωρὶς ἔλεος [ρίχνοντάς την] σὲ κάθε ἁμαρτία, χειρότερη ἀπὸ τὶς ἀρχικές, [τὶς προηγούμενες], γιὰ τὶς ὁποῖες εὐχόταν νὰ συγχωρηθῇ. Ἂς σταθοῦμε λοιπὸν μὲ φόβο Θεοῦ καὶ ἂς φυλάξουμε τὴν καρδία [μας] ἐπιτελώντας τὴν ἄσκησί μας, φυλάσσοντας τὶς ἀρετές, οἱ ὁποῖες ἐμποδίζουν τὴν κακία τῶν ἐχθρῶν.

12. Ὁ διδάσκαλός μας Ἰησοῦς Χριστός, ἐπειδὴ γνωρίζει τὴν μεγάλη ἀσπλαχνία αὐτῶν [δηλαδὴ τῶν δαιμόνων], καὶ σπλαχνιζόμενος τὸ γένος τῶν ἀνθρώπων, προσέταξε μὲ ἔντονη διάθεσι, λέγοντας: «Νὰ γίνετε ἕτοιμοι σὲ κάθε ὥρα, γιατὶ δὲν γνωρίζετε σὲ ποιὰ στιγμὴ ἔρχεται ὁ ληστής, μήπως κάποτε ἔρθῃ καὶ σᾶς βρῇ νὰ κοιμᾶστε». Καὶ πάλι [εἶπε]: «Προσέχετε νὰ μὴν βαρύνουν οἱ καρδίες σας μὲ κραιπάλη καὶ μέθη καὶ βιοτικὲς μέριμνες καὶ φθάσῃ αἰφνιδίως γιὰ σᾶς ἡ ὥρα». Στάσου λοιπὸν ἐπάνω στὴν καρδία σου, προσέχοντας τὶς αἰσθήσεις σου. Καὶ ἐὰν ἡ μνήμη τοῦ Θεοῦ καταπαύσῃ

τοῦ Θεοῦ, καταλαμβάνεις τοὺς ληστὰς ὑποσυλοῦντας αὐτήν. Ὁ γὰρ ἀκριβαζόμενος ἐν τοῖς λογισμοῖς, ἐπιγινώσκει τοὺς μέλλοντας εἰσελθεῖν, καὶ μιᾶναι αὐτόν. Ταράσσουσι γὰρ τὸν νοῦν, ὅπως γένηται μετέωρος, καὶ ἀργός. Οἱ δὲ ἐπιγνόντες τὴν κακίαν αὐτῶν, ἀτάραχοι μένουσι, δεόμενοι τοῦ Κυρίου.

ιγʹ. Ἐὰν μὴ μισήσῃ ὁ ἄνθρωπος πᾶσαν ἐργασίαν τοῦ κόσμου τούτου, οὐ δύναται λατρεῦσαι Θεῷ. Ἡ λατρεία οὖν τοῦ Θεοῦ ποία ἐστίν; Εἰμὴ τὸ μηδὲν ἔχειν ἡμᾶς ἀλλότριον ἐν τῷ νοΐ, ἐν τῷ εὔχεσθαι αὐτῷ· μηδὲ ἡδονήν, ἐν τῷ εὐλογεῖν αὐτῷ· μηδὲ κακίαν, ἐν τῷ ᾄδειν αὐτῷ· μηδὲ μῖσος, ἐν τῷ προκρίνειν αὐτῷ· μηδὲ ζῆλον πονηρὸν κωλύοντα ἡμᾶς, ἐν τῷ ἀδολεσχεῖν αὐτῷ, καὶ μνημονεύειν ἡμᾶς αὐτοῦ. Πάντα γὰρ ταῦτα τὰ σκοτεινά, τεῖχός εἰσι περιέχοντα τὴν ταλαίπωρον ψυχήν, καὶ οὐ δύναται ἁγνῶς λατρεῦσαι τῷ Θεῷ, ἔχουσα ἐν ἑαυτῇ ταῦτα. Κωλύουσι γὰρ αὐτὴν ἐν τῷ ἀέρι, καὶ οὐκ ἐῶσιν αὐτὴν ἀπαντῆσαι τῷ

μέσα σου, [τότε] συλλαμβάνεις τοὺς ληστές, νὰ τὴν κλέπτουν κρυφά. Γιατὶ ἐκεῖνος, ποὺ ἐξετάζει ἀκριβῶς τοὺς λογισμούς, ἀντιλαμβάνεται ἐκείνους, ποὺ πρόκειται νὰ εἰσέλθουν καὶ νὰ τὸν μιάνουν. Διότι ταράσσουν τὸν νοῦ, γιὰ νὰ γίνῃ μετέωρος καὶ ἀργός. Ἐκεῖνοι ὅμως, οἱ ὁποῖοι ἀνακαλύπτουν τὴν κακία αὐτῶν, παραμένουν ἀτάραχοι, προσευχόμενοι στὸν Κύριο.

13. Ἐὰν δὲν μισήσῃ ὁ ἄνθρωπος κάθε ἐργασία αὐτοῦ τοῦ κόσμου, δὲν μπορεῖ νὰ λατρεύσῃ τὸν Θεό. Ἡ λατρεία λοιπὸν τοῦ Θεοῦ ποιὰ εἶναι; [Δὲν εἶναι ἄλλη] παρὰ μόνο τὸ νὰ μὴν ἔχουμε ἐμεῖς τίποτε ξένο, [μετεωρισμὸς δηλαδή] μέσα στὸν νοῦ, ἐνῶ προσευχόμεθα σ᾽ Αὐτόν· οὔτε [κάποια ἄλλη] ἡδονή, ὅταν Τὸν δοξολογοῦμε· οὔτε [ὁποιαδήποτε] κακία, ὅταν Τὸν ὑμνοῦμε· οὔτε μῖσος, ὅταν Τὸν προτιμοῦμε [ἔναντι ὅλων]· οὔτε πονηρὸ ζῆλο [ἔντονη ἔφεσι, προσπάθεια], ποὺ νὰ μᾶς ἐμποδίζῃ ἀπὸ τὸ νὰ ἀδολεσχοῦμε σ᾽ Αὐτὸν καὶ νὰ ἔχουμε τὴν μνήμη Αὐτοῦ [τοῦ Θεοῦ]. Διότι ὅλα αὐτὰ τὰ σκοτεινὰ εἶναι τεῖχος, τὰ ὁποῖα περικυκλώνουν τὴν ταλαίπωρη ψυχὴ καὶ δὲν ἐπιτρέπουν σ᾽ αὐτὴν νὰ λατρεύσῃ μὲ καθαρότητα τὸν Θεό, ἐφόσον ἔχει ἐντός της αὐτά. Διότι τὴν ἐμποδίζουν στὸν ἀέρα καὶ δὲν τὴν ἀφήνουν νὰ συναντήσῃ

Θεῷ, καὶ ἐν κρυπτῷ εὐλογῆσαι αὐτόν, καὶ προσεύξασθαι αὐτῷ, ἐν ἡδύτητι καρδίας, ὅπως φωτισθῇ ἐξ αὐτοῦ. Διὰ τοῦτο ὁ νοῦς σκοτίζεται πάντοτε, καὶ οὐ δύναται προκόψαι κατὰ Θεόν, ὅτι οὐ φροντίζει ταῦτα ἐν γνώσει κόψαι.

ιδ'. Ὅταν σώσῃ ὁ νοῦς τὰς αἰσθήσεις τῆς ψυχῆς ἐκ τῶν θελημάτων τῆς σαρκός, καὶ διαπεράσῃ αὐτὰς ἐν τῇ ἀπαθείᾳ, καὶ ἀπομερίσῃ ἐκ τῶν θελημάτων τῆς σαρκὸς τὴν ψυχήν· τότε ἐὰν ἴδῃ ὁ Θεὸς τὸ ἀναίσχυντον τῶν παθῶν, ὅτι ὁρμᾷ ἐπὶ τὴν ψυχὴν κατασχεῖν τὰς αἰσθήσεις ἐν τῇ ἁμαρτίᾳ, καὶ βοήσῃ ὁ νοῦς ἐν τῷ κρυπτῷ τὸν Θεὸν ἀδιαλείπτως, ἀποστέλλει τὴν βοήθειαν αὐτοῦ, καὶ πάντα ὑφ' ἓν ἀπολύει.

ιε'. Παρακαλῶ σε, ἐν ὅσῳ εἶ ἐν τῷ σώματι, μὴ ἀπολύσῃς σου τὴν καρδίαν. Ὥσπερ γὰρ ὁ ἄνθρωπος ὁ γεωργός, οὐ δύναται πεποιθέναι ἐπί τινα αὐτοῦ καρπὸν ἀνερχόμενον ἐν τῷ ἀγρῷ αὐτοῦ· οὐ γὰρ οἶδεν τί αὐτῷ ἀποβαίνει, πρὶν ἐγ-

τὸν Θεὸ καὶ νὰ Τὸν δοξολογήσῃ ἐν τῷ κρυπτῷ καὶ νὰ προσευχηθῇ σ' Αὐτὸν μὲ γλυκύτητα καρδίας, ὥστε νὰ φωτισθῇ ἀπ' Αὐτόν. Γι' αὐτόν [τὸν λόγο] ὁ νοῦς σκοτίζεται πάντοτε καὶ δὲν μπορεῖ νὰ προκόψῃ κατὰ Θεόν, [στὴν κατὰ Θεὸν πολιτεία], διότι δὲν φροντίζει μὲ ἐπίγνωσι νὰ τὰ κόψῃ αὐτά.

14. Ὅταν ὁ νοῦς σώσῃ τὶς αἰσθήσεις τῆς ψυχῆς ἀπὸ τὰ θελήματα τῆς σαρκὸς καὶ τὶς διαπεράσῃ στόν [χῶρο] τῆς ἀπαθείας καὶ ἀποχωρίσῃ ἀπὸ τὰ θελήματα τῆς σαρκὸς τὴν ψυχή, τότε ἐὰν δῇ ὁ Θεὸς τὴν ἀναισχυντία τῶν παθῶν, ὅτι δηλαδὴ ὁρμοῦν πάνω στὴν ψυχὴ γιὰ νὰ ἐξουσιάσουν τὶς αἰσθήσεις μὲ τὴν ἁμαρτία καὶ ὁ νοῦς κραυγάσει ἀδιάλειπτα ἐν τῷ κρυπτῷ τὸν Θεό, [τότε] ἀποστέλλει [ὁ Θεός] τὴν βοήθειά Του καὶ τὰ πάντα διὰ μιᾶς ἐλευθερώνει.

15. Σὲ παρακαλῶ, ἐν ὅσῳ εἶσαι μὲ τὸ σῶμα, μὴν ἀφήσῃς ἐλεύθερη τὴν καρδία [σου]. Διότι, ὅπως ἀκριβῶς ὁ ἄνθρωπος, ὁ γεωργὸς δὲν μπορεῖ νὰ εἶναι πεπεισμένος γιὰ κάποιο καρπό του, ποὺ ἀναπτύσσεται στὸν ἀγρό του, διότι δὲν γνωρίζει τί [εἰσόδημα] θὰ τοῦ προκύψῃ, πρὶν τὸν κλείσει μὲ

κλεισθῆναι τοῖς θησαυροῖς αὐτοῦ· οὕτως ὁ ἄνθρωπος οὐ δύναται ἀπολῦσαι τὴν καρδίαν, ὅσον ἔχει πνοὴν ἐν τῇ ῥινὶ αὐτοῦ. Καὶ ὥς περ ἄνθρωπος οὐκ οἶδε ποῖον πάθος ἀπαντήσει αὐτῷ ἕως τῆς ἐσχάτης ἀναπνοῆς· οὕτως οὐ δυνατὸν ἄνθρωπον ἀπολῦσαι αὐτοῦ τήν καρδίαν, ἐν ὅσῳ ἔχει ἀναπνοήν· ἀλλὰ χρὴ αὐτὸν πάντοτε ἀναβοᾷν πρὸς τὸν Θεόν, διὰ τὴν βοήθειαν, καὶ τὸ ἔλεος αὐτοῦ.

ιϛ΄. Ὁ μὴ εὑρίσκων βοήθειαν ἐν καιρῷ πολέμου, οὐδὲ τὴν εἰρήνην πιστεῦσαι δύναται.

ιζ΄. Ὅταν οὖν τις χωρίσῃ αὐτὸν ἀπὸ τοῦ ἀριστεροῦ, καὶ γνῷ ἀκριβῶς πάντα τὰ ἁμαρτήματα, ἃ ἐποίησεν εἰς τὸν Θεόν· ἐπειδὴ οὐ βλέπει τὰς ἁμαρτίας, ἐὰν μὴ χωρισθῇ ἀπ᾽ αὐτῶν χωρισμῷ πικρίας· οἱ φθάσαντες τοῦτο τὸ μέτρον, αὐτοὶ εὗρον τὸν κλαυθμόν, καὶ τὴν δέησιν, καὶ τὸ αἰσχύνεσθαι ἐνώπιον τοῦ Θεοῦ, μνημονεύοντες τὰς πονηρὰς φιλίας τῶν παθῶν. Ἀγωνισώμεθα οὖν ἀδελφοὶ κατὰ τὴν δύ-

ἀσφάλεια στὶς ἀποθῆκες του, κατὰ τὸν ἴδιο τρόπο ὁ ἄνθρωπος δὲν μπορεῖ νὰ ἀφήσῃ ἐλεύθερη τὴν καρδία [του], ὅσο ἀναπνέει μὲ τὴν μύτη του. Καὶ ὅπως ἀκριβῶς ὁ ἄνθρωπος δὲν γνωρίζει, μέχρι τὴν τελευταία του πνοή, ποιὸ πάθος θὰ τὸν συναντήσῃ, κατὰ τὸν ἴδιο τρόπο δὲν εἶναι δυνατὸν στὸν ἄνθρωπο νὰ ἀφήσῃ ἐλεύθερη τὴν καρδία του, ἐν ὅσῳ ἔχει ἀναπνοή. Ἀλλὰ πρέπει αὐτὸς πάντοτε νὰ φωνάζῃ δυνατὰ πρὸς τὸν Θεό [παρακαλώντας] γιὰ τὴν βοήθεια καὶ τὸ ἔλεός Του.

16. Ἐκεῖνος, ποὺ δὲν βρίσκει βοήθεια σὲ καιρὸ πολέμου, οὔτε κατὰ [τὴν περίοδο] τῆς εἰρήνης μπορεῖ νὰ πιστεύσῃ, [ὅτι θὰ βρῇ].

17. Ὅταν λοιπὸν κάποιος χωρισθῇ ἀπὸ τὸν κακόβουλο [διάβολο], [τότε] ταυτοχρόνως θὰ γνωρίσῃ ἀκριβῶς ὅλα τὰ ἁμαρτήματα, ὅσα διέπραξε κατὰ τοῦ Θεοῦ, διότι δὲν βλέπει τὶς ἁμαρτίες, ἐὰν δὲν χωριστῇ ἀπ᾽ αὐτὲς μὲ χωρισμό, [πλήρη] πικρίας, [ἐὰν δὲν τὶς μισήσῃ]. Ἐκεῖνοι, οἱ ὁποῖοι ἔφθασαν αὐτὸ τὸ μέτρο, αὐτοὶ βρῆκαν τὸν κλαυθμὸ καὶ τὴν προσευχὴ καὶ τὸ νὰ αἰσθάνωνται βαθειὰ ντροπὴ ἐνώπιον τοῦ Θεοῦ, ἐνθυμούμενοι τὶς πονηρὲς φιλίες μὲ τὰ πάθη. Ἂς ἀγωνιστοῦμε λοιπὸν ἀδελφοὶ κατὰ τὴν δύνα-

ναμιν ἡμῶν, καὶ συνεργεῖ ἡμῖν ὁ Θεός, κατὰ τὸ πλῆθος τοῦ ἐλέους αὐτοῦ· καὶ εἰ οὐκ ἐφυλάξαμεν τὴν καρδίαν ἡμῶν, ὡς οἱ πατέρες ἡμῶν, κἂν ποιήσωμεν τὴν δύναμιν ἡμῶν φυλάξαι τὰ σώματα ἡμῶν, ὡς ζητεῖ ὁ Θεὸς ἀναμάρτητα, καὶ πιστεύωμεν, ὅτι κατὰ τὸν καιρὸν τοῦ λιμοῦ τὸν καταλαβόντα ἡμᾶς ποιεῖ καὶ μεθ' ἡμῶν ἔλεος μετὰ τῶν ἁγίων αὐτοῦ.

ιη'. Ὁ δοὺς τὴν καρδίαν ἑαυτοῦ ζητεῖν τὸν Θεὸν ἐν εὐσεβείᾳ, κατὰ ἀλήθειαν, οὐ δύναται ἔννοιαν ἔχειν ὅτι ἤρεσε τῷ Θεῷ. Ὅσον γὰρ ἐλέγχει αὐτὸν ἡ συνείδησις περί τινων τῶν τῆς παραφύσεως, ξένος ἐστὶ τῆς ἐλευθερίας. Ὅσον γάρ ἐστιν ὁ ἐλέγχων, ἔστι καὶ ὁ κατηγορῶν· καὶ ἐν ὅσῳ ἐστὶ κατηγορία, οὐκ ἔστιν ἐλευθερία. Ἐὰν ἴδῃς λοιπὸν εὐχόμενος ἑαυτόν, μηδὲν τὸ σύνολον τῆς κακίας κατηγοροῦν σου, ἄρα οὕτως ἐλεύθερος εἶ, καὶ εἰσῆλθες εἰς τὴν ἁγίαν αὐτοῦ κατάπαυσιν, κατὰ τὸ θέλημα αὐτοῦ. Ἐὰν ἴδῃς ὅτι ὁ καλὸς

μί μας καὶ μᾶς βοηθᾶ συμπράττοντας ὁ Θεός, σύμφωνα μὲ τὸ πλῆθος τοῦ ἐλέους Του. Καὶ ἐὰν δὲν φυλάξαμε τὴν καρδία μας, ὅπως [ἔκαναν] οἱ πατέρες μας, τουλάχιστον ἂς βάλουμε τὴν δύναμί μας νὰ φυλάξωμε τὰ σώματά μας, ὅπως ζητᾶ ὁ Θεός, ἀναμάρτητα καὶ ἂς πιστεύωμε, ὅτι στὸν καιρὸ τῆς πείνας, ποὺ μᾶς κατέλαβε, κάνει καὶ σὲ μᾶς ἔλεος [ὁ Θεός] μαζὶ μὲ τοὺς Ἁγίους Του.

18. Ἐκεῖνος ποὺ ἔδωσε τὴν καρδία του, γιὰ νὰ ἐκζητᾷ τὸν Θεὸ μὲ εὐσέβεια, ἀληθινά [σᾶς λέγω], δὲν μπορεῖ νὰ ἔχῃ λογισμό, ὅτι ἄρεσε στὸν Θεό. Ὅσο βέβαια τὸν ἐλέγχει ἡ συνείδησί του γιὰ κάποιες ἀπὸ τὶς ἁμαρτίες, εἶναι ξένος ἀπὸ τὴν ἐλευθερία. Διότι ὡσότου ὑπάρχει ἐκεῖνος ποὺ ἐλέγχει, ὑπάρχει καὶ ἐκεῖνος, ποὺ κατηγορεῖ. Καὶ ἐν ὅσῳ ὑπάρχει κατηγορία δὲν ὑπάρχει ἐλευθερία. Ἐὰν λοιπὸν δῇς τὸν ἑαυτό σου, ἐνῶ προσεύχεσαι, ὅτι ἡ ὁλότης τῆς κακίας δὲν σὲ κατηγορεῖ [δὲν ὑπάρχει τίποτα, ποὺ νὰ σὲ κατηγορῇ], ἔτσι τότε εἶσαι ἐλεύθερος καὶ εἰσῆλθες στὴν ἁγία Του κατάπαυσι, σύμφωνα μὲ τὸ θέλημά Του. Ἐὰν δῇς, ὅτι ὁ καλὸς

καρπὸς ἐνεδυναμώθη, καὶ οὐκ ἔτι πνίγουσιν αὐτὸν τὰ ζιζάνια τοῦ ἐχθροῦ· καὶ οὐκ ἀφ᾽ ἑαυτῶν ἀπέστησαν πεισθέντες ἐν πανουργίᾳ οἱ πολέμιοι, οὐκ ἔτι πολεμεῖν μετὰ τῶν αἰσθήσεών σου· καὶ ἐὰν ἡ νεφέλη ἐσκίασεν ἐπὶ τὴν σκηνὴν· καὶ ὁ ἥλιος οὐ συνέκαυσέ σε ἐν ἡμέρᾳ, οὐδὲ ἡ σελήνη τὴν νύκτα· ἐὰν εὑρέθη ἐν σοὶ πᾶσα ἡ ἑτοιμασία τῆς σκηνῆς, τοῦ στῆσαι καὶ φυλάξαι αὐτὴν κατὰ τὸ θέλημα τοῦ Θεοῦ· ἄρα ἐγένετό σοι νίκη διὰ τοῦ Θεοῦ. Καὶ τότε λοιπὸν καὶ αὐτὸς ἐπισκιάσει ἐπὶ τὴν σκηνήν, ὅτι αὐτοῦ ἐστιν. Ἕως δέ ἐστι πόλεμος, ὑπὸ φόβον ἐστί, καὶ τρόμον ὁ ἄνθρωπος, ἢ νικῆσαι σήμερον, ἢ νικηθῆναι· ἢ νικᾶσθαι αὔριον, ἢ νικᾷν· ὁ ἀγὼν γὰρ περισφίγγει τὴν καρδίαν. Ἡ δὲ ἀπάθεια, ἀπολέμητός ἐστιν. Ἐδέξατο γὰρ τὸ βραβεῖον, καὶ ἠμερίμνησε περὶ τοῦ μέρους τῶν τριῶν μεμερισμένων, ὅτι ἔφθασαν ἀλλήλοις εἰρηνεῦσαι διὰ Θεοῦ. Ἔστι δὲ τὰ τρία, ψυχή, σῶμα, καὶ πνεῦμα. Ὅταν οὖν τὰ τρία ἓν γένωνται διὰ τῆς

καρπὸς δυνάμωσε καὶ δὲν τὸν πνίγουν πλέον τὰ ζιζάνια τοῦ ἐχθροῦ καὶ ὅτι οἱ ἐχθροὶ δὲν ὑποχώρησαν, μὲ πανοῦργο τρόπο, [ἀλλά] ἐπειδὴ πείσθηκαν νὰ μὴν πολεμοῦν πλέον μὲ τὶς αἰσθήσεις σου, καὶ ἐὰν ἡ νεφέλη ἐπεσκίασε τὴν σκηνή, καὶ ὁ ἥλιος δὲν σὲ κατέκαυσε τὴν ἡμέρα οὔτε ἡ σελήνη τὴν νύκτα. Ἐὰν βρέθηκε σὲ σένα ὅλη ἡ προπαρασκευὴ τῆς σκηνῆς, γιὰ νὰ τὴν στήσῃς καὶ νὰ τὴν φυλάξῃς σύμφωνα μὲ τὸ θέλημα τοῦ Θεοῦ, τότε νίκησες μὲ τὴν βοήθεια τοῦ Θεοῦ. Καὶ τότε λοιπὸν καὶ Αὐτὸς θὰ ἐπισκιάσῃ τὴν σκηνή, διότι δική Του εἶναι. Ἕως ὅτου ὅμως ὑπάρχῃ πόλεμος, εἶναι κάτω ἀπὸ τὸν φόβο καὶ τὸν τρόμο ὁ ἄνθρωπος ἢ νὰ νικήσῃ σήμερα ἢ νὰ νικηθῇ. Ἢ νὰ νικηθῇ αὔριο ἢ νὰ νικήσῃ. Διότι ὁ ἀγώνας περισφίγγει τὴν καρδία. Ἡ δὲ ἀπάθεια εἶναι χωρὶς πολέμους. Γιατὶ δέχθηκε τὸ βραβεῖο καὶ ἔπαψε νὰ μεριμνᾷ γιὰ τὸ μέρος τῶν τριῶν διαχωρισμένων μερῶν, διότι κατόρθωσαν νὰ εἰρηνεύσουν μεταξύ τους μὲ τὴν βοήθεια τοῦ Θεοῦ. Εἶναι δὲ τὰ τρία: ἡ ψυχή, τὸ σῶμα καὶ τὸ πνεῦμα. Ὅταν λοιπὸν τὰ τρία γίνουν ἕνα διὰ τῆς

ἐνεργείας τοῦ Πνεύματος τοῦ Ἁγίου, οὐκ ἔτι δύνανται ἀποχωρισθῆναι. Μὴ οὖν λογίζου ἑαυτόν, ὅτι ἀπέθανες τῇ ἁμαρτίᾳ, ἐν ὅσῳ βιάζῃ ὑπὸ τῶν ἐχθρῶν σου, εἴτε ἐν ἐγρηγόρσει, εἴτε ὕπνῳ· ὅσον γάρ ἐστιν ὁ ταλαίπωρος ἄνθρωπος ἐν τῷ σταδίῳ, οὐκ ἔχει τὸ θάρσος.

ιθ΄. Ἐὰν ὁ νοῦς ἐνδυναμωθῇ, καὶ ἑτοιμάσῃ ἑαυτὸν ἐξακολουθῆσαι τῇ ἀγάπῃ τῇ σβεννυούσῃ πάντα τὰ πάθη τοῦ σώματος, καὶ οὐκ ἐώσῃ τι τῶν παρὰ φύσιν καταδυναστεῦσαι τῆς καρδίας ἐν τῇ αὐτῆς δυνάμει, ἀνθίσταται ὁ νοῦς τῇ παρὰ φύσει, ἕως οὗ χωρίσῃ αὐτὴν ἐκ τῶν κατὰ φύσιν.

κ΄. Ἐξερεύνησον ἑαυτόν, ἀδελφέ, καθ᾽ ἡμέραν, κατανοῶν τὴν καρδίαν σου, τί ἐστιν ἐν αὐτῇ τῶν παθῶν, ἐνώπιον τοῦ Θεοῦ· καὶ ἀπόρριψον ἀπὸ τῆς καρδίας σου, ἵνα μὴ ἀπόφασις πονηρὰ ἔλθῃ ἐπὶ σέ.

κα΄. Πρόσεχε οὖν τῇ καρδίᾳ σου, ἀδελφέ, καὶ γρηγόρει τοῖς ἐχθροῖς σου· καὶ γὰρ πανοῦργοί εἰσιν ἐν τῇ κακίᾳ αὐτῶν. Καὶ πείσθητι

ἐνεργείας τοῦ Ἁγίου Πνεύματος δὲν μποροῦν πλέον νὰ ἀποχωριστοῦν. Μὴν λοιπὸν νομίζῃς γιὰ τὸν ἑαυτό σου, ὅτι πέθανες ὡς πρὸς τὴν ἁμαρτία, ἐν ὅσῳ πολεμεῖσαι ἀπὸ τοὺς ἐχθρούς σου εἴτε [ὅταν βρίσκεσαι] σὲ ἐγρήγορσι, [εἶσαι ξύπνιος] εἴτε στὸν ὕπνο. Διότι ὁ ταλαίπωρος ἄνθρωπος ἐν ὅσῳ [βρίσκεται] στὸν ἀγῶνα δὲν κατέχει τὴν ἀφοβία [ὅτι δὲν θὰ νικηθῇ].

19. Ἐὰν ὁ νοῦς ἐνδυναμωθῇ καὶ ἑτοιμάσῃ τὸν ἑαυτό του νὰ ἀκολουθήσῃ τὴν ἀγάπη, ἐκείνη ἡ ὁποία σβήνει ὅλα τὰ πάθη τοῦ σώματος καὶ δὲν ἐπιτρέψῃ μὲ τὴν δύναμί της [ἡ ἀγάπη] καμιὰ ἀπὸ τὶς ἁμαρτίες νὰ καταδυναστεύσῃ τὴν καρδία, [τότε] ἀντιστέκεται ὁ νοῦς στὴν ἁμαρτία, ἕως ὅτου τὴν διαχωρίσῃ [τὴν ἁμαρτία] ἀπὸ τὴν φυσικὴ κατάστασι [τοῦ ἀνθρώπου].

20. Ἐρεύνησε τὸν ἑαυτό σου, ἀδελφὲ ἐνώπιον τοῦ Θεοῦ καθημερινά, ἐννοώντας ὡς πρὸς τὴν καρδία σου, ποιὸ ἀπὸ τὰ πάθη ὑπάρχει μέσα σ᾽ αὐτήν. Καὶ πέταξέ [το] ἀπὸ τὴν καρδία σου, γιὰ νὰ μὴν ἔλθῃ ἐναντίον σου ἀπόφασι, ποὺ θὰ σοῦ προκαλέσῃ πόνο.

21. Πρόσεχε λοιπὸν τὴν καρδία σου ἀδελφέ, καὶ ἐπαγρύπνησε ἐναντίον τῶν ἐχθρῶν σου. Διότι εἶναι πανοῦργοι στὴν κακία τους. Καὶ νὰ εἶσαι πεπεισμένος

ἐν τῇ καρδίᾳ σου ἐπὶ τῷ λόγῳ τούτῳ· ὅτι ἀδύνατον ἀνθρώπῳ ποιῆσαι καλά, ποιοῦντι κακά. Διά τοῦτο ἐδίδαξεν ἡμᾶς ὁ Σωτὴρ ἡμῶν, γρηγορεῖν, λέγων· ὅτι στενὴ ἡ πύλη, καὶ τεθλιμμένη ἡ ὁδός ἡ ἀπάγουσα εἰς τὴν ζωήν, καὶ ὀλίγοι οἱ εὑρίσκοντες αὐτήν[9].

κβ'. Πρόσεχε οὖν σεαυτῷ, μήπως τι τῆς ἀπωλείας ἀποστήσῃ σε τοῦ Θεοῦ τῆς ἀγάπης, καὶ κάτεχε τὴν καρδίαν σου· καὶ μὴ ἀκηδιάσῃς, λέγων· ὅτι πῶς αὐτὴν φυλάξω, ἁμαρτωλὸς ὢν ἄνθρωπος; Ὅταν γὰρ καταλείψῃ ἄνθρωπος τὰς ἁμαρτίας αὐτοῦ, καὶ ἐπιστρέψῃ πρὸς τὸν Θεόν, ἡ μετάνοια αὐτοῦ ἀναγεννᾷ αὐτόν, καὶ ὅλον καινὸν ποιεῖ.

κγ'. Πανταχοῦ ἡ θεία Γραφὴ παλαιά τε, καὶ νέα περὶ τῆς φυλακῆς τῆς καρδίας διαλέγεται. Πρῶτον ὁ μελῳδὸς βοᾷ Δαβίδ· υἱοὶ ἀνθρώπων ἕως πότε βαρυκάρδιοι[10]*; Καὶ πάλιν· ἡ καρδία αὐτῶν ματαία*[11]*. Περὶ δὲ τῶν μάταια λογιζομένων· εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ, οὐ μὴ σαλευθῶ*[12]*. Καὶ πάλιν· εἶπε*

μέσα στὴν καρδία σου γι᾽ αὐτὸν τὸν λόγο, ὅτι δηλαδὴ [εἶναι] ἀδύνατον στὸν ἄνθρωπο νὰ κάνῃ καλά [ἔργα], ἐν ὅσῳ κάνει κακά. Γιά [τὸν λόγο] αὐτὸ μᾶς ἐδίδαξε νὰ βρισκώμεθα σὲ ἐγρήγορσι ὁ Σωτήρας μας λέγοντας, ὅτι [εἶναι] στενὴ ἡ πύλη καὶ γεμάτη θλῖψι ἡ ὁδός, ποὺ ὁδηγεῖ στὴν ζωὴ καὶ λίγοι [εἶναι] ἐκεῖνοι, ποὺ τὴν βρίσκουν.

22. Πρόσεχε λοιπὸν τὸν ἑαυτό σου μήπως κάτι ἀπὸ ἐκεῖνα ποὺ ἀνήκουν στὴν ἀπώλεια σὲ απομακρύνῃ ἀπὸ τὸν Θεὸ τῆς ἀγάπης καὶ συγκράτησε τὴν καρδία σου. Καὶ μὴν ἀκηδιάσῃς [ἀμελήσῃς], λέγοντας, ὅτι πῶς νά τὴν φυλάξω, ποὺ εἶμαι ἄνθρωπος ἁμαρτωλός; Διότι, ὅταν ἐγκαταλείψῃ ὁ ἄνθρωπος τὶς ἁμαρτίες του καὶ ἐπιστρέψῃ πρὸς τὸν Θεό, ἡ μετάνοιά του τὸν ἀναγεννᾷ καὶ τὸν κάνει ὅλον καινούργιο.

23. Παντοῦ ἡ Ἁγία Γραφή, καὶ ἡ Παλαιὰ καὶ ἡ Καινὴ ὁμιλεῖ γιὰ τὴν φυλακὴ τῆς καρδίας. Πρῶτα κραυγάζει ὁ ψαλμωδὸς Δαυΐδ: «υἱοὶ τῶν ἀνθρώπων, ἕως πότε θὰ ἔχετε τὶς καρδίες σας βεβαρημένες»; Καὶ πάλι [λέγει]: «ἡ καρδία τους [εἶναι] μάταιη». Καὶ σχετικὰ μ᾽ ἐκείνους, οἱ ὁποῖοι διαλογίζονται μάταια, [λέγει]: «εἶπε μέσα στὴν καρδία του, [ὅτι] δὲν θὰ κλονιστῶ». Καὶ πάλι: «εἶπε

γὰρ ἐν καρδίᾳ αὐτοῦ, ἐπιλέλησται ὁ Θεός[13]· καὶ ἄλλα πολλὰ τοιαῦτα. Ὀφείλει γὰρ ὁ μοναχὸς νοεῖν τὸν σκοπὸν τῆς γραφῆς, πρὸς τίνα λαλεῖ, καὶ πότε λαλεῖ· καὶ κατέχειν συνεχῶς τὸν τῆς ἀσκήσεως ἀγῶνα· καὶ προσέχειν τὰς προσβολὰς τοῦ ἀντιπάλου· καὶ ὡς κυβερνήτης, τὰ κύματα διαβιβάζειν, οἰακιζόμενος ὑπὸ τῆς χάριτος, μὴ περιτρεπόμενος ἀπὸ τῆς ὁδοῦ, καὶ ἑαυτῷ μόνῳ προσέχων, καὶ ἐν ἡσυχίᾳ προσομιλεῖν τῷ Θεῷ, ἀῤῥέμπτῳ [recte: ἀῤῥέπτῳ] λογισμῷ, καὶ ἀπεριέργῳ νοΐ.

κδ΄. Ὁ καιρὸς γὰρ ἀπαιτεῖ ἡμᾶς προσευχήν, ὡς κυβερνήτην ἄνεμοι, καὶ τρικυμίαι, καὶ ζάλαι τῶν πνευμάτων. Δεκτικοὶ γάρ ἐσμεν προσβολῆς λογισμῶν, καὶ ἀρετῆς, καὶ κακίας· καὶ δεσπότης τῶν παθῶν λέγεται εἶναι ὁ εὐσεβὴς λογισμὸς καὶ φιλόθεος. Πρέπει γὰρ ἡμῖν τοῖς ἡσυχασταῖς, νουνεχῶς, καὶ νηφόντως, τάς τε ἀρετὰς καὶ κακίας διακρίνειν, καὶ διαχωρίζειν· καὶ ποίας ἀρετῆς ἐπιμελεῖσθαι, παρόντων τῶν ἀδελφῶν, καὶ πα-

μέσα στὴν καρδία του, [ὅτι] λησμονήθηκε ὁ Θεός». Καὶ ἄλλα πολλὰ αὐτοῦ τοῦ εἴδους. Ὀφείλει βέβαια ὁ μοναχὸς νὰ ἐννοῆ τὸν σκοπὸ τῆς Γραφῆς, σὲ ποιὸν ὁμιλεῖ καὶ πότε ὁμιλεῖ καὶ νὰ κρατᾶ συνεχῶς τὸν ἀγῶνα τῆς ἀσκήσεως καὶ νὰ προσέχῃ τὶς προσβολὲς τοῦ ἀντιπάλου [διαβόλου] καὶ ὡς κυβερνήτης [πλοίαρχος] νὰ διαπερνᾶ τὰ κύματα, πηδαλιουχούμενος ἀπὸ τὴν Χάρι, δίχως νὰ παρεκκλίνῃ τῆς ὁδοῦ καὶ ἔχοντας στραμμένη τὴν προσοχή του μόνο στὸν ἑαυτό του νὰ συνομιλῇ ἐν ἡσυχίᾳ μὲ τὸν Θεὸ μὲ ἀπαρασάλευτο λογισμὸ καὶ ἀπερίεργο νοῦ.

24. Ὁ καιρὸς βέβαια ἀπαιτεῖ ἀπὸ ἐμᾶς προσευχή, ὅπως [ἀπαιτοῦν] κυβερνήτη οἱ ἄνεμοι καὶ οἱ τρικυμίες καὶ οἱ κλυδωνισμοὶ ἀπὸ τοὺς ἀνέμους. Διότι δεχόμεθα προσβολὴ λογισμῶν καὶ ἀρετῆς καὶ κακίας. Καὶ κυρίαρχος τῶν παθῶν λέγεται ὅτι εἶναι ὁ εὐσεβὴς καὶ φιλόθεος λογισμός. Πρέπει βέβαια ἐμεῖς οἱ ἡσυχαστὲς νὰ διακρίνουμε καὶ νὰ διαχωρίζουμε μὲ ἐγρήγορσι τοῦ νοῦ καὶ νῆψι καὶ τὶς ἀρετὲς καὶ τὶς κακίες· καὶ ποιὰ ἀρετὴ [πρέπει] νὰ καλλιεργοῦμε, ὅταν εἶναι παρόντες οἱ ἀδελφοὶ καὶ οἱ πα-

τέρων· καὶ ποίας ἐργάζεσθαι ὄντας καταμόνας· καὶ ποία ἐστὶν ἡ πρώτη ἀρετή, καὶ ποία ἡ δευτέρα, καὶ τρίτη· καὶ ποῖον πάθος ἐστι ψυχικόν, καὶ ποῖον σωματικόν· καὶ ποία ἀρετὴ ψυχική, καὶ ποία σωματική· καὶ ἐκ ποίας ἀρετῆς ἡ ὑπερηφανία ῥαπίζει τὸν νοῦν· καὶ ἐκ ποίας ἡ κενοδοξία παραγίνεται· καὶ ἐκ ποίας ὁ θυμὸς πλησιάζει· καὶ ἐκ ποίας ἡ γαστριμαργία παραγίνεται. Ὀφείλομεν γὰρ λογισμοὺς καθαιρεῖν, καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ[14].

κε'. Πρώτη ἀρετή ἐστιν ἡ ἀμεριμνία, ἤγουν θάνατος ἀπὸ παντὸς ἀνθρώπου, καὶ πραγμάτων. Καὶ λοιπὸν ἐκ ταύτης τίκτεται ἡ εἰς Θεὸν ἐπιθυμία. Αὕτη δὲ τίκτει τὴν κατὰ φύσιν ὀργήν, ἥτις ἀνθίσταται παντὶ σπειρωμένῳ ὑπὸ τοῦ ἐχθροῦ. Τότε ὁ φόβος τοῦ Θεοῦ εὑρίσκει νομὴν ἐν τῷ ἀνθρώπῳ, καὶ διὰ τοῦ φόβου ἡ ἀγάπη φανεροῦται.

κς'. Χρὴ τὴν προσβολὴν τοῦ λογισμοῦ ἀνατρέπειν ἐκ καρδίας, δι' εὐσεβοῦς ἀντιλογίας,

τέρες καὶ ποιὰ νὰ ἐργαζώμεθα, ὅταν εἴμαστε μόνοι μας. Καὶ ποιὰ εἶναι ἡ πρώτη ἀρετὴ καὶ ποιὰ ἡ δευτέρα καὶ ἡ τρίτη. Καὶ ποιὸ πάθος εἶναι ψυχικὸ καὶ ποιὸ σωματικὸ καὶ ποιὰ ἀρετὴ εἶναι ψυχικὴ καὶ ποιὰ σωματικὴ καὶ ἀπὸ ποιὰ ἀρετὴ ἡ ὑπερηφάνια χτυπᾶ κατὰ πρόσωπο τὸν νοῦ καὶ ἀπὸ ποιὰ προκύπτει ἡ κενοδοξία. Καὶ ἀπὸ ποιὰ πλησιάζει ὁ θυμὸς καὶ ἀπὸ ποιὰ ἔρχεται ἡ γαστριμαργία. Διότι ὀφείλουμε νὰ γίνουμε κυρίαρχοι τῶν λογισμῶν καὶ κάθε ὑψώματος, τὸ ὁποῖο ἐγείρεται ἐναντίον τῆς γνώσεως τοῦ Θεοῦ.

25. Πρώτη ἀρετὴ εἶναι ἡ ἀμεριμνία, δηλαδὴ θάνατος τῶν σχέσεων μὲ ὅλους τοὺς ἀνθρώπους καὶ τὰ πράγματα. Καὶ ἀκολούθως ἀπ' αὐτὴν γεννιέται ἡ πρὸς τὸν Θεὸ ἐπιθυμία. Αὐτὴ δὲ γεννᾶ τὴν κατὰ φύσιν ὀργή, ἡ ὁποία ἀντιστέκεται σὲ κάθε τι ποὺ σπείρεται ἀπὸ τὸν ἐχθρό. Τότε ὁ φόβος τοῦ Θεοῦ βρίσκει τόπο νὰ κατοικήσῃ μέσα στὸν ἄνθρωπο καὶ μέσῳ τοῦ φόβου φανερώνεται ἡ ἀγάπη.

26. Πρέπει νὰ ἀνατραπῇ ἡ προσβολὴ τοῦ λογισμοῦ ἀπὸ τὴν καρδία, μὲ εὐσεβῆ ἀντιλογία

τῷ καιρῷ τῆς προσευχῆς· μήποτε εὑρεθῶμεν, τοῖς μὲν χείλεσι τῷ Θεῷ προσδιαλεγόμενοι, τῇ δὲ καρδίᾳ ἄτοπα λογιζόμενοι. Οὐ γὰρ προσδέχεται ὁ Θεὸς ἀπὸ ἡσυχαστοῦ εὐχὴν θολώδη καὶ καταφρονητήν. Πανταχοῦ γὰρ ἡ Γραφὴ τὰ τῆς ψυχῆς αἰσθητήρια διαμαρτύρεται φυλάττειν. Ἐὰν γὰρ ὑποταγῇ τὸ θέλημα τοῦ μοναχοῦ τῷ νόμῳ τοῦ Θεοῦ, καὶ κατὰ τὸν νόμον αὐτοῦ ὁ νοῦς κυβερνήσῃ τὰ ὑπήκοα αὐτοῦ· πάσας φημί, τὰς ψυχικὰς κινήσεις, κατ᾽ ἐξαίρετον δὲ τὸν θυμόν, καὶ τὴν ἐπιθυμίαν· ταῦτα γὰρ ὑπήκοα τῷ λόγῳ· ἀρετὴν εἰργασάμεθα, καὶ δικαιοσύνην ἐπληρώσαμεν· τὴν μὲν ἐπιθυμίαν, πρὸς τὸν Θεὸν καὶ τὰ αὐτοῦ θελήματα· τὸν δὲ θυμόν, κατὰ τοῦ διαβόλου, καὶ τῆς ἁμαρτίας. Τὶ οὖν ἐστι τὸ ζητούμενον; Ἡ κρυπτὴ μελέτη.


κζ΄. Ἐὰν αἰσχρότης σπαρῇ ἐν τῇ καρδίᾳ σου, καθημένου ἐν τῷ κελλίῳ σου, βλέπε· ἀνθίστασο τῇ κακίᾳ, μήποτε ἄρξει σου· σπούδασον μνησθῆναι τοῦ Θεοῦ, ὅτι προ-

κατὰ τὸν καιρὸ τῆς προσευχῆς, μήπως κάποτε βρεθοῦμε νὰ προσευχώμεθα μὲν μὲ τὰ χείλη μας στὸν Θεό, στὴν δὲ καρδία μας νὰ σκεπτώμεθα τὰ ἄτοπα. Διότι δὲν δέχεται ἀπὸ ἡσυχαστὴ ὁ Θεὸς προσευχὴ θολωμένη καὶ περιφρονητική. Παντοῦ βέβαια ἡ Γραφὴ ἀπαιτεῖ νὰ φυλάττωμε τὶς αἰσθήσεις. Διότι ἐὰν ὑποταχθῇ τὸ θέλημα τοῦ μοναχοῦ στὸν νόμο τοῦ Θεοῦ, [τότε] καὶ σύμφωνα μὲ τὸν νόμο Του, ὁ νοῦς θὰ κυβερνήσῃ, ὅσα τοῦ εἶναι ὑποτεταγμένα· ὅλες, λέγω [δηλαδὴ] τὶς ψυχικὲς κινήσεις, ξεχωριστὰ δὲ τὸν θυμὸ καὶ τὴν ἐπιθυμία. Αὐτὰ λοιπόν [ὁ θυμός δηλαδὴ καὶ ἡ ἐπιθυμία], ὑπακούουν στὸν λόγο [δηλαδὴ ὁμιλοῦν]: «ἐργαστήκαμε τὴν ἀρετὴ καὶ ἐκπληρώσαμε τὴν δικαιοσύνη. Τὴν μὲν ἐπιθυμία [στρέψαμε] πρὸς τὸν Θεὸ καὶ τὰ θελήματά Του. Τὸν δὲ θυμό [στρέψαμε] ἐναντίον τοῦ διαβόλου καὶ τῆς ἁμαρτίας. Ποιὸ εἶναι λοιπὸν ζητούμενο [ἀπὸ ἐμᾶς];». Ἡ κρυπτὴ ἐργασία.

27. Ἐὰν σπαρῇ αἰσχρότης στὴν καρδία σου, ἐνῶ κάθεσαι στὸ κελλί σου, πρόσεξε. Ἀντιστάσου στὴν κακία, ὥστε ποτὲ νὰ μὴν σὲ ἐξουσιάσῃ. Φρόντισε νὰ θυμᾶσαι τὸν Θεό, διότι σὲ προ-

σέχει σοι· καὶ ἃ διαλογίζῃ ἐν τῇ καρδίᾳ σου, ἀποκεκαλυμμένα ἐνώπιον αὐτοῦ εἰσιν. Εἰπὲ οὖν τῇ ψυχῇ σου· εἰ φοβῇ ἁμαρτωλοὺς ὁμοίους σου, τοῦ μὴ ἰδεῖν τὰς ἁμαρτίας σου, πόσῳ μᾶλλον τὸν Θεόν, τὸν προσέχοντα τὰ πάντα; Καὶ ἐκ τῆς συμβουλῆς ταύτης ἀποκαλύπτεται ὁ φόβος τοῦ Θεοῦ τῇ ψυχῇ σου· καὶ ἐὰν μείνῃς μετ᾽ αὐτοῦ, ἀκίνητος μένεις ἐν τοῖς πάθεσι· καθὼς γέγραπται· οἱ πεποιθότες ἐπὶ Κύριον, ὡς ὄρος Σιών· οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα ὁ κατοικῶν Ἱερουσαλήμ[15]*. Καὶ ἐπὶ παντὶ δὲ πράγματι ᾧ ποιεῖς, ἔχε τὸν Θεόν, ὅτι βλέπει ἐν παντὶ λογισμῷ σου, καὶ οὐχ ἁμαρτήσεις ποτέ· αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.*

σέχει καὶ ὅσα διαλογίζεσαι στὴν καρδία σου εἶναι ἐνώπιόν Του ἀποκαλυμμένα [φανερά]. Πὲς λοιπὸν στὴν ψυχή σου: ἐὰν φοβᾶσαι τὸ νὰ μὴν δοῦν τὶς ἁμαρτίες σου οἱ ὅμοιοί σου ἁμαρτωλοί [ἄνθρωποι], πόσο μᾶλλον [πρέπει νὰ φοβᾶσαι] τὸν Θεό, ὁ ὁποῖος προσέχει τὰ πάντα; Καὶ ἀπὸ αὐτὴν τὴν συμβουλὴ ἀποκαλύπτεται ὁ φόβος τοῦ Θεοῦ μέσα στὴν ψυχή σου· καὶ ἐὰν μείνῃς μαζί Του, μένεις ἀκίνητος στὰ πάθη. Σύμφωνα μὲ ὅ,τι ἔχει γραφῆ: «Ἐκεῖνοι ποὺ πιστεύουν στὸν Κύριο [εἶναι] σὰν τὸ ὄρος Σιών. Δὲν θὰ σαλευθῇ εἰς τὸν αἰῶνα ἐκεῖνος ποὺ κατοικεῖ στὴν Ἱερουσαλήμ». Καὶ γιὰ κάθε πρᾶγμα δέ, τὸ ὁποῖο κάνεις, ἔχε [στὸν νοῦ σου] τὸν Θεό, ὅτι βλέπει σὲ κάθε λογισμό σου καὶ δὲν θὰ ἁμαρτήσῃς ποτέ. Σ᾽ Αὐτὸν ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.



ΣΗΜΕΙΩΣΕΙΣ - ΣΧΟΛΙΑ

ΠΑΡΑΠΟΜΠΕΣ

ΣΕ ΧΩΡΙΑ ΤΗΣ ΑΓΙΑΣ ΓΡΑΦΗΣ

[1] Ἰώβ 30, 1-4.
[2] Ματθ. 5, 25.
[3] Ἠσ. 41, 13.
[4] Ἠσ. 43, 1-3.
[5] Ἠσ. 50, 8.
[6] Πρβ. Λουκ. 17, 37.
[7] Ματθ. 24, 42 κ.ἑ.
[8] Λουκ. 21, 34.
[9] Ματθ. 3, 14.
[10] Ψαλμ. 4, 3.
[11] Ψαλμ. 5, 10.
[12] Ψαλμ. 9, 27.
[13] Ψαλμ. 9, 32.
[14] Β' Κορ. 10, 5.
[15] Ψαλμ. 124, 1

ΣΗΜΕΙΩΣΕΙΣ

[α'] Ὁ Ἅγιος Θεοφύλακτος Βουλγαρίας ἑρμηνεύει σχετικά: «Ποῦ Κύριε, παραληφθήσονται οὗτοι; Ἔφη: Ὅπου τὸ πτῶμα, ἐκεῖ καὶ οἱ ἀετοί, τουτέστιν, ὅπου ὁ Υἱὸς τοῦ ἀνθρώπου, ἐκεῖ πάντες οἱ ἅγιοι, οἱ κοῦφοι καὶ ὑψιπετεῖς, ὡς οἵγε ἁμαρτωλοὶ βαρεῖς, διὸ καὶ κάτω ἀφίενται. Ὥσπερ καὶ σώματος νεκροῦ κειμένου, πάντες οἱ σαρκοβόροι ὄρνεις ἐπ᾽ αὐτῷ φέρονται, οὕτω καὶ τοῦ Υἱοῦ τοῦ ἀνθρώπου τοῦ δι᾽ ἡμᾶς νεκρωθέντος, καὶ εἰς πτῶσιν τεθέντος, ἀπ᾽ οὐρανοῦ φανέντος, πάντες οἱ ἅγιοι συναχθήσονται, καὶ αὐτοὶ οἱ ἄγγελοι. Μετ᾽ αὐτῶν γὰρ ἥξει ἐν τῇ δόξῃ τοῦ Πατρὸς καὶ ἐν ἀρρήτῳ αἴγλῃ». (Βλ.. ΘΕΟΦΥΛΑΚΤΟΥ ΒΟΥΛΓΑΡΙΑΣ ΑΓ, «Ἑρμηνεία εἰς τὸ κατὰ Λουκᾶν Εὐαγγέλιον», *PG* 123, 997C – 1000A).

ΕΥΑΓΡΙΟΣ ΜΟΝΑΧΟΣ

ΣΥΝΤΟΜΟΣ ΒΙΟΓΡΑΦΙΑ ΚΑΙ ΛΟΓΟΙ

ΕΥΑΓΡΙΟΥ ΜΟΝΑΧΟΥ


ΣΥΝΤΟΜΟΣ ΒΙΟΓΡΑΦΙΑ

Εὐάγριος ὁ σοφὸς καὶ ἐλλόγιμος ἀνήρ, ἤκμασε μὲν περὶ τὸ τριακοσιοστὸν ὀγδοηκοστὸν ἔτος, παρὰ δὲ τοῦ μεγάλου Βασιλείου εἰς τὸ τοῦ Ἀναγνώστου προβληθεὶς ἀξίωμα, παρὰ τοῦ ἀδελφοῦ αὐτοῦ Γρηγορίου Νύσσης χειροτονεῖται Διάκονος. Τούς γεμὴν ἱεροὺς τῶν λόγων ὑπὸ Γρηγορίῳ τῷ Θεολόγῳ πεπαίδευτο· οὗ καὶ Ἀρχιδιάκονος ἐχρημάτισεν, ὁπηνίκα τῆς ἐν Κωνσταντινουπόλει Ἐκκλησίας τὴν ἐπιτροπὴν εἶχε· κατὰ τὸν Νικηφόρον τὸν Κάλλιστον, βιβλίῳ ια΄. κεφαλαίῳ μβ΄. Ὕστερον δὲ τοῖς ἐν Κόσμῳ ἀποταξάμενος, τὸν μοναστὴν ὑποδύεται βίον. Λεπτός γεμὴν ὢν εἰς τὸ νοῆσαι, καὶ φράσαι τὸ νοηθὲν λίαν δεινός, πολλὰ καὶ διάφορα συγγράμματα καταλέλοιπεν· ἐξ ὧν ὁ παρὼν πρὸς ἡσυχάζοντας λόγος, καὶ τὰ πε-

Εὐάγριος ὁ σοφὸς καὶ ἐπιφανὴς ἄνθρωπος, ἤκμασε μὲν γύρω στὸ 380 μ.Χ, ἀπὸ δὲ τὸν Μέγα Βασίλειο προχειρίστηκε στὸ ἀξίωμα τοῦ Ἀναγνώστου, χειροτονεῖται δὲ Διάκονος ἀπὸ τὸν ἀδελφὸ ἐκείνου, τὸν Γρηγόριο Νύσσης. Καὶ μάλιστα ἔχει λάβει τὴν παιδεία πράγματι στὰ ἱερὰ γράμματα ἀπὸ τὸν Γρηγόριο, τὸν Θεολόγο, τοῦ ὁποίου ἐχρημάτισε καὶ Ἀρχιδιάκονος, ὁπόταν [ἐκεῖνος] εἶχε τὴν ἐπισκοπεία τῆς Ἐκκλησίας στὴν Κωνσταντινούπολι, σύμφωνα μὲ τὸν Νικηφόρο Κάλλιστο στὸ βιβλίο 11, στὸ κεφάλαιο 42. Ὕστερα δέ, ἀφοῦ ἐγκατέλειψε τὰ τοῦ Κόσμου ἀναδέχεται τὴν μοναχικὴ πολιτεία. Ὄντας βεβαίως, πράγματι εὐφυής, ὅσον ἀφορᾶ τὴν διανόησι καὶ ἐξαιρετικὰ ἐπιδέξιος στὸ νὰ ἐκφράζῃ ἐκεῖνο τὸ ὁποῖο διανοεῖται, ἔχει ἀφήσει πολλὰ καὶ διάφορα συγγράμματα, ἀπὸ τὰ ὁποῖα ὁ παρὼν λόγος πρὸς τοὺς ἡσυχαστὲς καὶ τὰ

ρὶ διακρίσεως παθῶν, καὶ λογισμῶν αὐτοῦ κεφάλαια, ὡς πολὺ τὸ χρειῶδες, καὶ ὠφέλιμον προβαλλόμενα, ἐν τῇ παρούσῃ Βίβλῳ τεθῆναι ἐκρίθησαν.

κεφάλαιά του περὶ διακρίσεως παθῶν καὶ λογισμῶν. [Αὐτά], ἐπιλέχθηκαν νὰ παρουσιαστοῦν στὸ παρὸν Βιβλίο, ἐπειδή [εἶναι] ἄφθονη [ἡ ἄντλησι] τοῦ χρήσιμου καὶ τοῦ ὠφέλιμου [ἀπ᾽ αὐτά].



ΕΥΑΓΡΙΟΥ ΜΟΝΑΧΟΥ

ΛΟΓΟΙ

I

ΥΠΟΤΥΠΩΣΙΣ ΜΟΝΑΧΙΚΗ

ΔΙΔΑΣΚΟΥΣΑ ΠΩΣ ΔΕΙ ΑΣΚΕΙΝ ΚΑΙ ΗΣΥΧΑΖΕΙΝ

Η ΟΠΟΙΑ ΔΙΔΑΣΚΕΙ ΠΩΣ ΠΡΕΠΕΙ ΚΑΝΕΙΣ ΝΑ ΑΣΚΗΤΑΙ ΚΑΙ ΝΑ ΗΣΥΧΑΖΗ

Ἐν τῷ Ἱερεμίᾳ εἴρηται, τό, καὶ σὺ μὴ λάβῃς σεαυτῷ γυναῖκα ἐν τῷ τόπῳ τούτῳ, ὅτι τάδε λέγει Κύριος περὶ τῶν υἱῶν καὶ τῶν θυγατέρων τῶν γεννωμένων ἐν τῷ τόπῳ τούτῳ, ἐν θανάτῳ νοσερῷ ἀπολοῦνται[1]*. Τοῦτο δεικνύντος τοῦ λόγου, ὅτι, κατὰ τὸν Ἀπόστολον· ὁ γαμήσας ἄνθρωπος, μεριμνᾷ τὰ τοῦ Κόσμου, καὶ πῶς ἀρέσει τῇ γυναικί, καὶ μεμέρισται. Καὶ ἡ γαμήσασα γυνή, μεριμνᾷ τὰ τοῦ Κόσμου, καὶ πῶς ἀρέσει τῷ ἀνδρί*[2]*. Καὶ δῆλον, ὡς οὐ μόνον περὶ τῶν κατὰ γαμικὸν βίον ἐσομένων υἱῶν, καὶ θυγατέρων ἐν τῷ Προφήτῃ εἴρηται, τό, ἐν θανάτῳ νοσερῷ ἀποθανοῦνται, ἀλλὰ καὶ περὶ τῶν ἐν καρδίᾳ αὐτῶν γεννωμένων υἱῶν καὶ θυγατέρων,*

Στὸν Ἱερεμία ἔχει λεχθῆ, τὸ «καὶ σὺ νὰ μὴν πάρῃς γιὰ τὸν ἑαυτό σου γυναῖκα σ᾽ αὐτὸν τὸν τόπο, διότι αὐτὰ λέγει ὁ Κύριος γιὰ τοὺς υἱοὺς καὶ τὶς θυγατέρες, ποὺ γεννῶνται σ᾽ αὐτὸν τὸν τόπο: θὰ ἀφανιστοῦν μὲ θάνατο λόγῳ ἀσθενειῶν». Αὐτὸ ποὺ ὑποδεικνύει ὁ [προφητικός] λόγος, αὐτό, σύμφωνα μὲ τὸν Ἀπόστολο [εἶναι τὸ ἑξῆς]: «ὁ ἄνθρωπος, ποὺ ἦρθε σὲ γάμο μεριμνᾶ γιὰ τά [πράγματα] τοῦ κόσμου καὶ πῶς θὰ ἀρέσῃ στὴν γυναῖκα του καὶ ἔχει διαμερισθῆ [ὡς πρὸς τὸ ἐνδιαφέρον καὶ τὴν προσοχή του]. Καὶ ἡ γυναῖκα, ποὺ ἦρθε σὲ γάμο μεριμνᾶ γιὰ τά [πράγματα] τοῦ κόσμου καὶ πῶς θὰ ἀρέσῃ στὸν ἄνδρα της. Καί [εἶναι] φανερό, ὅτι ὄχι μόνον σχετικὰ μὲ τοὺς υἱοὺς καὶ τὶς θυγατέρες, ποὺ θὰ γεννηθοῦν σύμφωνα μὲ τὸν ἔγγαμο βίο, ἔχει εἰπωθῆ στὸν Προφήτη τό «θὰ ἀφανιστοῦν μὲ θάνατο λόγῳ ἀσθενειῶν», ἀλλὰ καὶ γιὰ ἐκείνους τοὺς υἱοὺς καὶ τὶς θυγατέρες, ποὺ γεννιῶνται στὴν καρδία,

τουτέστι σαρκικῶν λογισμῶν, καὶ ἐπιθυμιῶν, ὡς ἐν τῷ νοσερῷ, καὶ ἀσθενεῖ, καὶ ἐκλύτῳ φρονήματι τοῦ Κόσμου τούτου ἀποθανοῦνται καὶ οὗτοι, καὶ οὐ τῆς ἐπουρανίου ζωῆς τεύξονται. Ὁ δὲ ἄγαμος, φησί, μεριμνᾷ τὰ τοῦ Κυρίου, πῶς ἀρέσει τῷ Κυρίῳ, καὶ τοὺς ἀειθαλεῖς καὶ ἀθανάτους τῆς αἰωνίου ζωῆς ποιήσει καρπούς. Τοιοῦτος ὁ μοναχός. Καὶ οὕτω χρὴ εἶναι τὸν μοναχόν, ἀπεχόμενον ἀπὸ γυναικός˙ μὴ ποιοῦντα υἱόν, ἢ θυγατέρα, ἐν τῷ τόπῳ τῷ προειρημένῳ˙ οὐ μὴν δὲ ἀλλὰ καὶ Χριστοῦ στρατιώτην, ἄϋλον, καὶ ἀμέριμνον ὑπάρχειν, πάσης πραγματευτικῆς ἐννοίας τε καὶ πράξεως ἐκτός, ὡς καὶ ὁ Ἀπόστολός φησιν˙ οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ[3]*. Ἐν τούτοις ἤτω ὁ μοναχός, μάλιστα ὁ πᾶσαν ὕλην τοῦ κόσμου τούτου καταλιπών, καὶ ἐπὶ τὰ ὡραῖα καὶ καλὰ τῆς ἡσυχίας ἀποτρέχων τρόπαια. Ὡς ὡραία γάρ, καὶ καλὴ τῆς ἡσυχίας ἡ ἄσκησις. Ὡς ὡραία ὄν-*

δηλαδὴ τοὺς σαρκικοὺς λογισμοὺς καὶ τὶς ἐπιθυμίες, ὅτι καὶ αὐτοὶ θὰ πεθάνουν μέσα στὸ νοσηρὸ καὶ ἀσθενὲς καὶ ἔκλυτο φρόνημα αὐτοῦ τοῦ κόσμου καὶ δὲν θὰ ἐπιτύχουν τῆς ἐπουρανίου ζωῆς. Ὁ δὲ ἄγαμος, λέγει [ὁ Ἀπόστολος], μεριμνᾶ τὰ τοῦ Κυρίου, πῶς θὰ ἀρέσῃ στὸν Κύριο καὶ πῶς θὰ παράξῃ τοὺς ἀειθαλεῖς καὶ ἀθανάτους καρποὺς τῆς αἰωνίου ζωῆς. Τέτοιος εἶναι ὁ μοναχός. Καὶ ἔτσι πρέπει νὰ εἶναι ὁ μοναχός˙ νὰ ἀπέχῃ ἀπὸ γυναῖκα, νὰ μὴν κάνῃ υἱὸ ἢ θυγατέρα ἐπὶ τῇ βάσει, αὐτοῦ ποὺ εἰπώθηκε προηγουμένως, [τῶν ἐν καρδίᾳ λογισμῶν]. Ὄχι μόνον βέβαια, ἀλλὰ ἐπιπλέον [πρέπει] νὰ εἶναι καὶ στρατιώτης τοῦ Χριστοῦ, ἄϋλος καὶ ἀμέριμνος, ἔξω ἀπὸ κάθε λογισμὸ καὶ πρᾶξι διαπραγματευτική [τῶν ὑποθέσεων τοῦ κόσμου], ὅπως καὶ ὁ Ἀπόστολος λέγει: «κανεὶς στρατευόμενος δὲν ἐμπλέκεται στὶς ὑποθέσεις τοῦ βίου, γιὰ νὰ ἀρέσῃ σ᾽ ἐκεῖνον, ποὺ τὸν στρατολόγησε». Σ᾽ αὐτὰ νὰ μένῃ ὁ μοναχός, ἐκεῖνος μάλιστα, ὁ ὁποῖος ἐγκατέλειψε κάθε ὑλικὴ ἔκφρασι τοῦ κόσμου τούτου καὶ τρέχει δρομαίως πρὸς τὰ ὡραῖα καὶ καλὰ τρόπαια τῆς ἡσυχίας. Πόσο [εἶναι] βέβαια ὡραία καὶ καλὴ ἡ ἄσκησι τῆς ἡσυχίας! Πόσο [εἶναι] πράγματι ὡραία

τως, καὶ καλή. Ἔστι γὰρ χρηστὸς ὁ ταύτης ζυγός, καὶ τὸ φορτίον ἐλαφρόν[4]*. Ἡδὺς ὁ βίος, ἡ πρᾶξις τερπνή. Βούλει τοιγαροῦν, ἀγαπητέ, τὸν μονήρη βίον, ὥς ἐστιν, ἀναλαβεῖν, καὶ ἐπὶ τὰ τῆς ἡσυχίας ἀποτρέχειν τρόπαια; Ἄφες ἐκεῖ τοῦ κόσμου τὰς φροντίδας, τάς τε ἐπὶ τούτων ἀρχάς τε καὶ ἐξουσίας, τουτέστιν ἄϋλος ἔσο, ἀπαθής, πάσης ἐπιθυμίας ἐκτός· ἵνα τῆς τούτων περιστάσεως ἀλλότριος γενόμενος, δυνηθῇς ἡσυχάσαι καλῶς. Εἰ μὴ γάρ τις τούτων ἑαυτὸν ὑπεξάρῃ, οὐκ ἂν δυνηθῇ ταύτην κατορθῶσαι τὴν πολιτείαν. Τροφῶν βραχέων ἀντέχου, καὶ εὐκαταφρονήτων· μὴ πολλῶν, καὶ εὐπεριστάτων. Ἐὰν δὲ καὶ ὡς φιλοξενίας χάριν περὶ τὰ πολυτελῆ λογισμὸς γένηται, ἄφες τοῦτον ἐκεῖ, μὴ ὅλως πεισθῇς αὐτῷ· ἐνεδρεύει γὰρ διὰ τούτου ὁ ὑπεναντίος· ἐνεδρεύει τοῦ ἀποστῆσαι τῆς ἡσυχίας. Ἔχεις τὸν Κύριον Ἰησοῦν μεμφόμενόν πως τὴν τὰ τοιαῦτα σπουδάζουσαν ψυχήν, Μάρθαν, καὶ λέγοντα· τί περὶ πολλὰ εἶ, καὶ τυρ-*

καὶ καλή! Γιατὶ εἶναι χρηστὸς ὁ δικός της ζυγὸς καὶ τὸ φορτίο [της] ἐλαφρό. Γλυκὺς [εἶναι] ὁ βίος [τῆς ἡσυχίας], ἡ ἐργασία [της] τερπνή. Θέλεις ἑπομένως, ἀγαπητέ, νὰ ἀναλάβῃς τὸν μοναχικὸ βίο, ὅπως εἶναι, καὶ νὰ τρέχῃς δρομαίως πρὸς τὰ τρόπαια τῆς ἡσυχίας; Ἄφησε τοῦ κόσμου τὶς φροντίδες ἐκεῖ, καὶ μαζὶ τὶς ἀρχὲς καὶ τὶς ἐξουσίες, τὶς σχετικὲς μ᾽ αὐτές [τὶς φροντίδες], δηλαδὴ γίνε ἄϋλος, ἀπαθής, ἔξω ἀπὸ κάθε ἐπιθυμία, γιὰ νὰ δυνηθῇς, ἀφοῦ γίνῃς ξένος νὰ ἡσυχάσῃς σωστά. Διότι ἐὰν δὲν ἀπαλλάξῃ κανεὶς τὸν ἑαυτό του ἀπὸ αὐτά, δὲν θὰ μπορέσῃ νὰ κατορθώσῃ αὐτὴ τὴν πολιτεία. Βάσταξε τὶς λιγοστὲς καὶ εὐκαταφρόνητες τροφές· ὄχι τὶς πολλὲς κι᾽ ἐκεῖνες στὶς ὁποῖες εὔκολα κανεὶς παρασύρεται. Ἐὰν ὅμως καὶ γεννηθῇ λογισμὸς σχετικὰ μὲ τὰ πολυτελῆ [φαγητά], ὅτι χάριν τῆς φιλοξενίας [ἐπιλέγονται], ἄφησέ τον ἐκεῖ, μὴν πεισθῇς καθόλου σ᾽ αὐτόν. Διότι μέσῳ αὐτοῦ [τοῦ λογισμοῦ] παραμονεύει ὁ ἀντίπαλος [διάβολος]. Παραμονεύει γιὰ νά [σέ] ἀπομακρύνῃ ἀπὸ τὴν ἡσυχία. Ἔχεις τὸν Κύριο Ἰησοῦ, ὁ ὁποῖος κατὰ κάποιο τρόπο κατηγορεῖ τὴν ψυχή, ποὺ ἐπιμελεῖται αὐτοῦ τοῦ εἴδους [τὰ πράγματα], τὴν Μάρθα, καὶ ὁ ὁποῖος λέγει: γιατὶ γύρω ἀπὸ τὰ πολλὰ βρίσκεσαι καὶ μερι-

βάζῃ; ἑνός ἐστι χρεία[5]*, τοῦ τὸν θεῖόν φησι λόγον ἀκούειν· καὶ μετὰ τοῦτο, ἀκμητὶ παντὸς τοῦ εὑρισκομένου. Διὸ καὶ εὐθὺς ἐπιφέρει, λέγων· Μαρία γὰρ τὴν ἀγαθὴν μερίδα ἐξελέξατο, ἥτις οὐκ ἀφαιρεθήσεται ἀπ᾽ αὐτῆς*[6]*. Ἔχεις δὲ καὶ τῆς ἐν Σαράφθοις χήρας τὸ ὑπόδειγμα, ἐν τίσιν αὕτη τὸν προφήτην ἐξένισε*[7]*. Κἂν ἄρτον μόνον ἔχῃς, κἂν ἅλας, κἂν ὕδωρ, δύνασαι ἐν τούτοις ποιῆσαι τῆς φιλοξενίας τὸν μισθόν. Κἂν δὲ μὴ ταῦτα ἔχῃς, μόνον δὲ προθέσει ἀγαθῇ ὑποδέξῃ τὸν ξένον, καὶ λόγον εὔχρηστον αὐτῷ ἀποδῷς, ὡσαύτως δύνασαι τῆς φιλοξενίας πορίσασθαι τὸν μισθόν. Ἀγαθὸν γάρ, εἴρηται, λόγος ὑπὲρ δόμα*[8]*. Τοιαῦτα ἐπὶ τῆς ἐλεημοσύνης σε δεῖ φρονεῖν. Ὅρα οὖν μὴ ἐπιθυμήσῃς πλοῦτον ἔχειν, πρὸς διάδοσιν τῶν πενήτων. Ἔστι γὰρ καὶ αὕτη ἀπάτη τοῦ πονηροῦ, πρὸς κενοδοξίαν πολλάκις προσερχομένη, καὶ εἰς πολυπραγμοσύνης αἰτίαν ἐμβάλλουσα τὸν νοῦν. Ἔχεις τὴν ἐν τῷ Εὐαγγελίῳ ὑπὸ τοῦ Κυρίου Ἰησοῦ μαρτυρουμέ-*

μνᾶς; Τοῦ ἑνὸς ὑπάρχει ἀνάγκη, τοῦ νὰ ἀκοῦς, λέγει, τὸν θεῖο λόγο. Καὶ μετὰ ἀπὸ αὐτὸ ἄκοπα [ἀντιμετωπίζεται] κάθε τι, τὸ ὁποῖο τυχὸν συμβαίνει. Γι᾽ αὐτὸ καὶ ἀμέσως προσθέτει λέγοντας: «ἡ Μαρία βέβαια διάλεξε τὴν ἀγαθὴ μερίδα, ἡ ὁποία δὲν θὰ ἀφαιρεθῇ ἀπ᾽ αὐτήν». Ἔχεις δὲ καὶ τὸ ὑπόδειγμα τῆς χήρας στὰ Σάρεπτα, μὲ ποιά [μέσα] αὐτὴ φιλοξένησε τὸν Προφήτη. Καὶ ἂν ἔχῃς μόνον ψωμί, κι᾽ ἂν ἁλάτι, κι᾽ ἂν νερό [μόνο], μπορεῖς μ᾽ αὐτὰ νὰ λάβῃς τὸν μισθὸ τῆς φιλοξενίας. Κι᾽ ἂν δὲν ἔχῃς οὔτε αὐτά, ἀλλὰ μόνον ἂν ὑποδεχθῇς τὸν ξένο μὲ πρόθεσι ἀγαθὴ καὶ προσφέρῃς σ᾽ αὐτὸν λόγο ὠφέλιμο, ὁμοίως μπορεῖς νὰ ἀποκομίσῃς τὸν μισθὸ τῆς φιλοξενίας. Διότι ἔχει λεχθῇ ὅτι ὁ λόγος [εἶναι] ἀγαθὸν μεγαλύτερο ἀπὸ τὸ δῶρο. Αὐτοῦ τοῦ εἴδους [τὶς ἀπόψεις] πρέπει ἐσὺ νὰ ἔχῃς κατὰ νοῦν σχετικὰ μὲ τὴν ἐλεημοσύνη. Πρόσεξε λοιπὸν νὰ μὴν ἐπιθυμήσῃς νὰ ἔχῃς πλοῦτο μὲ σκοπὸ νὰ τὸν διανείμῃς στοὺς πτωχούς. Διότι καὶ αὐτὴ εἶναι ἀπάτη τοῦ πονηροῦ, ἡ ὁποία πολλὲς φορὲς ἐμφανίζεται μὲ σκοπὸ τὴν κενοδοξία καὶ ἡ ὁποία βάζει στὸν νοῦ τὴν ἀφορμὴ τῆς πολυπραγμοσύνης. Ἔχεις [ὡς παράδειγμα] τὴν χήρα, ποὺ μαρτυρεῖται ἀπὸ τὸν Κύριο Ἰησοῦ στὸ Εὐ-

νην χήραν, διὰ δύο μόνο λεπτῶν, τὴν τῶν πλουσίων ὑπερβεβηκυῖαν προαίρεσίν τε, καὶ δύναμιν. Ἐκεῖνοι μὲν γάρ, φησίν, ἐκ τοῦ περισσεύματος ἔβαλον ἐν τῷ γαζοφυλακίῳ· αὕτη δὲ ἅπασαν ἑαυτῆς τὴν ὕπαρξιν[9]. Περὶ δὲ ἱματίων, μὴ ἐπιθυμήσῃς περισσὰ ἔχειν ἱμάτια. Τὰ ἀρκοῦντα τῇ ἀνάγκῃ τοῦ σώματος προνοοῦ. Ἐπίρριψον ἐπὶ Κύριον μᾶλλον τὴν μέριμνάν σου[10], καὶ αὐτός σου προνοήσεται. Αὐτῷ, γάρ, φησί, μέλει περὶ ἡμῶν[11]. Ἐὰν δέῃ τροφῶν, ἢ ἱματίων, μὴ αἰσχυνθῇς τὰ παρ᾽ ἑτέρων σοι προσφερόμενα λαβεῖν. Τοῦτο γάρ ἐστιν ὑπερηφανίας εἶδος. Ἐὰν δὲ καὶ αὐτὸς ἐν τούτοις περισσεύῃς, δίδου τῷ στερουμένῳ. Οὕτως ὁ Θεὸς τοὺς ἑαυτοῦ παῖδας οἰκονομεῖσθαι βούλεται. Διὰ τοῦτο καὶ ὁ Ἀπόστολος πρὸς Κορινθίους γράφων, περὶ τῶν ὑστερουμένων ἔλεγεν· τὸ ὑμῶν περίσσευμα, εἰς τὸ ἐκείνων ὑστέρημα· ἵνα καὶ τὸ ἐκείνων περίσσευμα, γένηται εἰς τὸ ὑμῶν ὑστέρημα· ὅπως γένηται ἰσότης[12], καθὼς γέ-

αγγέλιο, ἡ ὁποία μὲ δύο μόνο λεπτὰ ὑπερέβη τὴν προαίρεσι καὶ τὴν δύναμι τῶν πλουσίων. Διότι ἐκεῖνοι μέν, λέγει [ὁ Κύριος], ἀπὸ τὸ περίσσευμά τους ἔβαζαν στὸ γαζοφυλάκιο [στὸ θησαυροφυλάκιο τοῦ Ναοῦ]. Ἐκείνη ὅμως ὅλη τὴν περιουσία της. Σχετικὰ δὲ μὲ τὰ ἐνδύματα, μὴν ἐπιθυμήσῃς νὰ ἔχῃς ἐπιπλέον ἐνδύματα. Προνόησε γιὰ ἐκεῖνα τὰ ὁποῖα εἶναι ἀρκετὰ γιὰ τὴν ἀνάγκη τοῦ σώματος. Ἄφησε ἀποκλειστικὰ στὸν Κύριο τὴν μέριμνά σου καὶ αὐτὸς θὰ προνοήσῃ γιὰ σένα. Διότι, λέγει [ὁ Κύριος]: «Ἐκεῖνος νοιάζεται γιὰ ἐμᾶς». Ἐὰν χρειάζεσαι τροφὲς ἢ ροῦχα νὰ μὴν ντραπῇς νὰ πάρῃς, ὅσα σοῦ προσφέρονται ἀπὸ ἄλλους. Διότι αὐτὸ εἶναι εἶδος ὑπερηφανίας. Ἐὰν δὲ καί [ἐσύ] ὁ ἴδιος ἔχῃς περίσσευμα ἀπὸ αὐτά [δηλαδὴ τὶς τροφὲς καὶ τὰ ροῦχα], δῶσε σ᾽ ἐκεῖνον, ποὺ στερεῖται. Κατ᾽ αὐτὸν τὸν τρόπο ἐπιθυμεῖ ὁ Θεὸς νὰ οἰκονομοῦνται τὰ δικά Του παιδιά. Γι᾽ αὐτὸ καὶ ὁ Ἀπόστολος, ὅταν γράφῃ στοὺς Κορινθίους σχετικὰ μ᾽ ἐκείνους ποὺ ὑστεροῦνται, ἔλεγε: «τὸ δικό σας περίσσευμα [νὰ συμπληρώσῃ] στὸ ὑστέρημα ἐκείνων, ὅπως καὶ τὸ περίσσευμα ἐκείνων νὰ γίνῃ [συμπλήρωμα] στὸ δικό σας ὑστέρημα, γιὰ νὰ γίνῃ ἰσότης, καθὼς ἔχει

γραπται· ὁ τὸ πολύ, οὐκ ἐπλεόνασε· καὶ ὁ τὸ ὀλίγον, οὐκ ἠλαττόνησεν[13]*. Ἔχων τοίνυν τοῦ ἐνεστῶτος καιροῦ τὰ δέοντα, εἰς τὸν μέλλοντα μὴ μεριμνήσῃς καιρόν· οἷον ἡμέρας μιᾶς, ἢ ἑβδομάδος, ἢ μηνῶν. Ἐνεστηκότος γὰρ τοῦ τῆς αὔριον καιροῦ, αὐτὸς ἐπιχορηγήσει τὰ δέοντα· ζητοῦντός σου μάλιστα τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ τὴν δικαιοσύνην τοῦ Θεοῦ· ζητεῖτε, γάρ, φησὶν ὁ Κύριος, τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν*[14]*. Μὴ κτήσῃ παῖδα, μήποτε ὁ ὑπεναντίος διὰ τούτου κινήσῃ σκάνδαλόν τι, καὶ ἐκθορυβήσῃ σου τὸ φρόνημα τῶν πολυτελεστάτων τροφῶν φροντίζειν· οὐ γὰρ δυνήσῃ ἔτι σεαυτοῦ μόνον φροντίζειν. Κἂν ὡς πρὸς τὴν σωματικὴν ἀνάπαυσιν ἐπέλθῃ λογισμός, ἀλλὰ τὸ κρεῖττον ἐπινόει· λέγω δὴ τὴν πνευματικὴν ἀνάπαυσιν. Κρείττων γάρ ἐστιν ὡς ἀληθῶς ἡ πνευματικὴ ἀνάπαυσις τῆς σωματικῆς. Κἂν ὠφελείας τοῦ παιδὸς χάριν προσλά-*

γραφῇ: «ἐκεῖνος, [ποὺ ἔχει] τὰ πολλά, δὲν βρέθηκε μὲ πλεόνασμα καὶ ἐκεῖνος [ποὺ ἔχει] τὰ ὀλίγα δὲν ὑστερήθηκε». Ἔχοντας λοιπὸν τὰ ἀναγκαῖα γιὰ τὸν παρόντα χρόνο, μὴν μεριμνήσῃς γιὰ τὸν μελλοντικὸ χρόνο, ὅπως γιὰ μιὰ ἡμέρα ἢ ἑβδομάδα ἢ μῆνες. Διότι ὅταν θὰ ἔχῃ γίνει παρὼν ὁ αὐριανὸς χρόνος, Αὐτὸς [ὁ Κύριος Ἰησοῦς] θὰ παράσχῃ ἐπιπλέον τὰ ἀναγκαῖα, ὅταν μάλιστα ἐπιζητῇς τὴν βασιλεία τῶν οὐρανῶν καὶ τὴν δικαιοσύνη τοῦ Θεοῦ. Διότι εἶπε ὁ Κύριος: «Ζητεῖτε τὴν βασιλεία τοῦ Θεοῦ καὶ τὴν δικαιοσύνη Αὐτοῦ καὶ ὅλα αὐτὰ θὰ σᾶς δοθοῦν ἐπιπλέον». Μὴν ἀποκτήσῃς ὑποτακτικό, μήπως ποτὲ ὁ ἀντίπαλος [διάβολος] μέσῳ αὐτοῦ, ὑποκινήσῃ κάποιο σκάνδαλο καὶ ἀναστατώσῃ τὸ φρόνημά σου, γιὰ νὰ φροντίζῃς γιὰ τὶς πλέον πολυτελεῖς τροφές. Δὲν θὰ μπορέσῃς πλέον νὰ φροντίζῃς μόνον γιὰ τὸν ἑαυτό σου. Καὶ ἄν, μὲ σκοπὸ δῆθεν τὴν σωματικὴ ἀνάπαυσι [σοῦ] ἐμφανιστῇ [τέτοιος] λογισμός, πλὴν στοχάσου τὸ ἀνώτερο. Λέγω βέβαια, τὴν πνευματικὴ ἀνάπαυσι. Διότι ἀληθινὰ ἡ πνευματικὴ ἀνάπαυσι εἶναι ἀνώτερη τῆς σωματικῆς. Καὶ ἂν χάριν τῆς ὠφελείας τοῦ ὑποτακτικοῦ παραδε-

βῇ[α] τῇ γνώμῃ, μὴ πεισθῇς αὐτῷ. Οὐ γάρ ἐστι τοῦτο ἡμέτερον ἔργον. Ἑτέρων ἐστί, τῶν ἐν κοινοβίῳ ἁγίων Πατέρων. Σεαυτοῦ μόνου τῆς ὠφελείας φρόντιζε, καὶ τὸν τῆς ἡσυχίας περιποιοῦ τρόπον. Μὴ ἀγαπήσῃς οἰκῆσαι μετὰ ἀνθρώπων ὑλικῶν, καὶ ἐμπεριστάτων· ἢ μόνος οἴκει, ἢ μετὰ ἀδελφῶν ἀΰλων, καὶ ὁμοφρόνων. Ὁ γὰρ μετὰ ἀνθρώπων ὑλικῶν καὶ ἐμπεριστάτων οἰκῶν, πάντως κοινωνήσει καὶ αὐτὸς τῇ τούτων περιστάσει, καὶ δουλεύσει ἀνθρωπίναις ἐπιταγαῖς· λαλιαῖς τε ματαίαις, καὶ τοῖς ἄλλοις ἅπασι δεινοῖς, ὀργῇ, λύπῃ, μανίᾳ τῶν ὑλῶν, φόβῳ τῶν σκανδάλων, καὶ γονικαῖς μερίμναις, ἢ συγγενικαῖς φιλίαις μὴ συναπαχθῇς· ἀλλὰ γὰρ καὶ πρὸς τούτους αὐτοὺς τὰς συνεχεῖς συντυχίας παραιτοῦ· μήποτε ἀποσυλήσωσι τῆς ἐν τῷ κελλίῳ ἡσυχίας, καὶ περὶ τὰς ἑαυτῶν περιστάσεις ἀγάγωσιν· ἄφες, φησὶν ὁ Κύριος, τοὺς νεκρούς, θάψαι τοὺς ἑαυτῶν νεκρούς· σὺ δὲ δεῦρο ἀκολούθει μοι[15]. Ἐὰν δὲ

χθῇ τὴν γνώμη [συγκατατεθῇ] [ὁ λογισμός], μὴν πεισθῇς σ᾽ αὐτόν. Διότι δὲν εἶναι αὐτὸ δικό μας ἔργο [τῶν ἡσυχαστῶν]. Εἶναι [ἔργο] ἄλλων, [δηλαδὴ] τῶν ἐν κοινοβίῳ ἁγίων Πατέρων. Φρόντιζε μόνον γιὰ τὴν δική σου ὠφέλεια καὶ διάσωζε [ἀγωνιζόμενος] τὸν τρόπο τῆς ἡσυχίας. Μὴν ἀγαπήσῃς νὰ κατοικήσῃς μαζὶ μὲ ἀνθρώπους ὑλικοὺς καὶ ἐνασχολουμένους μὲ πολλὲς μέριμνες. Ἢ νὰ κατοικῇς μόνος ἢ μαζὶ μὲ ἀδελφοὺς ἀΰλους καὶ ὁμόφρονες. Διότι ἐκεῖνος, ποὺ κατοικεῖ μαζὶ μὲ ἀνθρώπους ὑλικοὺς καὶ ἐνασχολουμένους μὲ πολλά, ὁπωσδήποτε θὰ γίνῃ καὶ αὐτὸς μέτοχος τῶν περιστάσεων ἐκείνων καὶ θὰ ὑποδουλωθῇ σὲ ἀνθρώπινες παραγγελίες, σὲ μάταιες ὁμιλίες καὶ σὲ ὅλα τὰ ἄλλα δεινά, στὴν ὀργή, τὴν λύπη, στὴν μανία γιὰ τὰ ὑλικά, στὸν φόβο τῶν σκανδάλων. Καὶ στὶς μέριμνες τῶν γονέων καὶ τὶς φιλίες τῶν συγγενῶν μὴν παρασυρθῇς. Ἀλλὰ ἐπιπλέον μὲ αὐτοὺς τοὺς ἴδιους ἀπόφυγε τὶς συνεχεῖς συναναστροφές. Μήπως κάποτε [σέ] κλέψουν ἀπὸ τὴν ἡσυχία μέσα στὸ κελλὶ καί [σέ] ὁδηγήσουν στὶς σχετικὲς μ᾽ αὐτοὺς περιστάσεις. Ἄφησε, λέγει ὁ Κύριος, τοὺς νεκροὺς νὰ θάψουν τοὺς δικούς τους νεκρούς. Ἐσὺ δὲ ἔλα, ἀκολούθησέ με. Ἐὰν δὲ

καὶ τὸ κελλίον ἐν ᾧ καθέζῃ, εὐπερίστατον ᾖ, φεῦγε, καὶ αὐτοῦ μὴ φείσῃ, καὶ μὴ ἐκλυθῇς εἰς ἀγάπην αὐτοῦ. Πάντα ποίει, πάντα πράττε, ὅπως δυνηθῇς ἡσυχάσαι, καὶ σχολάσαι, καὶ σπουδάσαι γενέσθαι ἐν τοῖς τοῦ Θεοῦ θελήμασι, καὶ ἐν τῇ πάλῃ τῶν ἀοράτων. Εἰ μὴ δύνασαι ῥαδίως ἡσυχάσαι ἐν τοῖς σοῖς μέρεσι, δός σου ἐπὶ ξενιτείαν τὴν πρόθεσιν, καὶ ἐπὶ ταύτην κατάσπευδέ σου τὸν λογισμόν. Γενοῦ καθάπερ τις πραγματευτὴς ἄριστος, τὰ πάντα πρὸς ἡσυχίαν δοκιμάζων· καὶ τὰ πρὸς ταύτην ἥσυχα, καὶ χρήσιμα διὰ πάντων κατέχων. Πλὴν λέγω σοι, ξενιτείαν ἀγάπα. Ἀπαλλάττει γάρ σε τῶν κατὰ τὴν ἰδίαν χώραν περιστάσεων, καὶ τῆς κατὰ τὴν ἡσυχίαν ὠφελείας μόνον ἀπολαύειν ποιεῖ. Τὰς ἐν πόλει διατριβὰς φεῦγε, καὶ τὰς ἐν ἐρημίᾳ καρτέρησον. Ἰδοὺ γάρ, φησὶν ὁ ἅγιος, ἐμάκρυνα φυγαδεύων, καὶ ηὐλίσθην ἐν τῇ ἐρήμῳ[16]. *Εἰ δυνατόν, τὸ καθόλου εἰς πόλιν μὴ ἀπαντήσῃς. Οὐδὲν γὰρ εὔχρηστον, οὐδὲν χρήσιμον, οὐδὲν ὠφέ-*

καὶ τὸ κελλί, στὸ ὁποῖο κάθεσαι εἶναι εὐκολοπρόσιτο σὲ πειρασμούς, φύγε καὶ μὴ τὸ λυπηθῇς καὶ μὴ λιποψυχήσῃς γιὰ τὴν ἀγάπη αὐτοῦ. Ὅλα νὰ τὰ κάνῃς, ὅλα νὰ τὰ ἐνεργῇς, γιὰ νὰ μπορέσῃς νὰ ἡσυχάσῃς καὶ νὰ ἀδολεσχήσῃς καὶ νὰ ἐπιμεληθῇς νὰ βρεθῇς μέσα στὰ θελήματα τοῦ Θεοῦ καὶ στὴν πάλη ἐναντίον τῶν ἀοράτων [δαιμόνων]. Ἐὰν δὲν μπορῇς εὔκολα νὰ ἡσυχάσῃς στοὺς δικούς σου τόπους, δῶσε τὴν πρόθεσί σου στὴν ξενιτεία καὶ πρὸς αὐτὴν ἐπίσπευσε τὸν λογισμό σου. Γίνε, ὅπως ἀκριβῶς κάποιος ἄριστος πραγματευτής, ποὺ τὰ πάντα δοκιμάζει χάριν τῆς ἡσυχίας καὶ ὁ ὁποῖος τὰ ἥσυχα καὶ χρήσιμα πρὸς αὐτή, [δηλαδὴ τὴν ἡσυχία], ἀποκτᾶ μὲ κάθε μέσο καὶ τρόπο. Ἐπιπλέον σοῦ λέγω, ἀγάπα τὴν ξενιτεία. Διότι σὲ ἀπαλλάσσει ἀπὸ τὶς καταστάσεις τῆς πατρίδος σου καὶ σὲ κάνει νὰ ἀπολαμβάνῃς μόνο τὴν ὠφέλεια στὴν ἡσυχία. Φύγε ἀπὸ τὶς ἐνασχολήσεις στὴν πόλι καὶ τίς [ἐνασχολήσεις] στὴν ἐρημία ὑπέμεινε. Διότι ἰδού, λέγει ὁ Ἅγιος [Δαυῒδ], ἀπομακρύνθηκα γενόμενος ἐξόριστος καὶ διέμεινα στὴν ἔρημο. Ἐάν [εἶναι] δυνατὸν νὰ μὴν προσέλθῃς καθόλου σὲ πόλι. Διότι τίποτα εὐεργετικό, τίποτα χρήσιμο, τίποτα ὠφέλι-

λιμον τῇ πολιτείᾳ σου ἐκεῖ θεάσῃ· εἶδον, φησὶ πάλιν ὁ ἅγιος, ἀνομίαν καὶ ἀντιλογίαν ἐν τῇ πόλει[17]*. Τοὺς οὖν ἀπερισπάστους, καὶ ἰδιάζοντας δίωκε τόπους· μὴ δειλιάσῃς ἦχον αὐτῶν· ἐάν καὶ δαιμόνων φαντασίας ἐκεῖ θεάσῃ, μὴ πτοηθῇς· μηδὲ ἀποφύγῃς τὸ στάδιον τῆς ὑμετέρας ὠφελείας. Ἀφόβως ὑπόμεινον, καὶ ὄψει τοῦ Θεοῦ τὰ μεγαλεῖα, τὴν ἀντίληψιν, τὴν κηδεμονίαν, τὴν ἄλλην ἅπασαν ἐπὶ σωτηρίᾳ πληροφορίαν· προσεδεχόμην γάρ, φησὶν ὁ μακάριος ἀνήρ, τὸν σῴζοντά με ἀπὸ ὀλιγοψυχίας, καὶ ἀπὸ καταιγίδος*[18]*. Μή σου νικήσῃ ῥέμβους ἐπιθυμία τὴν προαίρεσιν· ῥεμβασμὸς γὰρ ἐπιθυμίας, μεταλλεύει νοῦν ἄκακον*[19]*. Πολλοὶ διὰ τοῦτο πειρασμοί. Φοβοῦ τὸ πταῖσμα, καὶ ἐν τῷ κελλίῳ σου ἑδραῖος ἔσο. Ἐὰν φίλους ἔχῃς, φεῦγε τούτων τὰς συνεχεῖς συντυχίας. Διὰ μακροῦ γὰρ αὐτοῖς συντυγχάνων, εὔχρηστος ἔσῃ. Ἐὰν δὲ καὶ κατανοήσῃς διὰ τούτων αὐτῶν βλάβην σοι γινομένην, μηδόλως ἐγγίσῃς. Φίλους γὰρ ἔχειν σε*

μο δὲν θὰ δῇς ἐκεῖ γιὰ τὴν [μοναχική] πολιτεία σου. Εἶδα, λέγει πάλι ὁ Ἅγιος [Δαυΐδ], ἀνομία καὶ ἀντιλογία στὴν πόλι. Ἐπιδίωκε λοιπὸν τοὺς ἀπομονωμένους τόπους καὶ ἐκείνους ποὺ δὲν ἔχουν περισπασμούς. Μὴν δειλιάσῃς ἀπὸ τὴν βοή τους. Καὶ ἂν δῇς ἐκεῖ φαντασίες δαιμόνων, νὰ μὴν πτοηθῇς, οὔτε νὰ ἀποφύγῃς τὸ στάδιο τῆς ὠφελείας σου. Ὑπέμεινε ἄφοβα καὶ θὰ δῇς τὰ μεγαλεῖα τοῦ Θεοῦ, τὴν βοήθεια, τὴν πρόνοια καὶ ὅλη τὴν ἄλλη πληροφορία γιὰ τὴν σωτηρία μας. Προσδοκοῦσα, λέγει ὁ μακάριος ἄνθρωπος, [ὁ Δαυΐδ], Ἐκεῖνον, ποὺ μὲ σώζει ἀπὸ ὀλιγοψυχία καὶ ἀπὸ καταιγίδα. Μὴν σοῦ νικήσῃ τὴν προαίρεσι ἡ ἐπιθυμία τοῦ ρεμβασμοῦ. Διότι ὁ ρεμβασμὸς τῆς ἐπιθυμίας ὑπονομεύει τὸν ἄκακο νοῦ. Πολλοί [εἶναι] οἱ πειρασμοὶ ἐξαιτίας αὐτοῦ, [δηλαδὴ τοῦ ρεμβασμοῦ]. Νὰ φοβᾶσαι τὸ παράπτωμα καὶ νὰ μένῃς ἀσάλευτος στὸ κελλί σου. Ἐὰν ἔχῃς φίλους ἀπόφευγε τὶς συνεχεῖς συναντήσεις μαζί τους. Διότι ἐὰν τοὺς συναντᾷς μετὰ πάροδον πολλοῦ [χρόνου], θὰ εἶσαι ὠφέλιμος [σ᾽ αὐτούς]. Ἐὰν δὲ καὶ ἀντιληφθῇς, ὅτι ἀπ᾽ αὐτοὺς τοὺς ἴδιους [τοὺς φίλους] σοῦ προξενεῖται βλάβη, καθόλου μὴν πλησιάσῃς. Διότι φίλους πρέ-

χρὴ τοὺς ὠφελίμους, καὶ συμβαλλομένους σου τῇ πολιτείᾳ. Φεῦγε καὶ τῶν πονηρῶν ἀνδρῶν, καὶ μαχίμων τὰς συντυχίας, καὶ μηδενὶ τούτων συνοικήσῃς· ἀλλὰ γὰρ καὶ τὰς φαύλας αὐτῶν προθέσεις παραιτοῦ· οὔτε γὰρ Θεῷ προσοικειοῦνται, οὔτε μὴν παραμένουσιν. Ἄνδρες εἰρηνικοὶ ἔστωσαν φίλοι σου, ἀδελφοὶ πνευματικοί, πατέρες ἅγιοι. Τούτους γὰρ οὕτω καὶ ὁ Κύριος ἀποκαλεῖ λέγων· μήτηρ μου, καὶ ἀδελφοί, καὶ πατέρες οὗτοί εἰσιν, οἱ ποιοῦντες τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς[20]*. Μετὰ περισπωμένων μὴ συναυλίζου· μηδὲ πορευθῇς εἰς συμπόσιον μετ᾽ αὐτῶν· μή ποτέ σε περὶ τὰς ἑαυτῶν ἀπάτας ἑλκύσωσι, καὶ τῆς κατὰ τὴν ἡσυχίαν ἐπιστήμης ἀπαγάγωσιν. Ἔστι γὰρ τὸ πάθος τοῦτο ἐν αὐτοῖς. Μὴ ἐκκλίνῃς τὸ οὖς σου εἰς τοὺς λόγους αὐτῶν, καὶ ἐννοίας καρδίας αὐτῶν μὴ παραδέξῃ. Εἰσὶ γὰρ ὄντως ἐπιζήμιοι. Ἐπὶ τοὺς πιστοὺς τῆς γῆς ἔστω σοι ὁ πόνος, καὶ ὁ πόθος τῆς καρδίας σου, εἰς*

πει νὰ ἔχῃς ἐκείνους ποὺ σὲ ὠφελοῦν καὶ συντελοῦν [στὴν προαγωγή] τῆς [μοναχικῆς] σου πολιτείας. Φύγε καὶ ἀπὸ τὶς συναναστροφὲς τῶν πονηρῶν καὶ τῶν φιλονείκων ἀνθρώπων καὶ μὲ κανέναν ἀπὸ αὐτοὺς νὰ μὴν συγκατοικήσῃς. Ἐπίσης βέβαια παραιτήσου καὶ ἀπὸ τὶς κακές τους προθέσεις. Διότι οὔτε οἰκεῖοι τοῦ Θεοῦ γίνονται οὔτε βέβαια μένουν κοντά Του. Νὰ εἶναι οἱ φίλοι σου ἄνθρωποι εἰρηνικοί, ἀδελφοὶ πνευματικοί, πατέρες ἅγιοι. Διότι κατ᾽ αὐτὸν τὸν τρόπο καὶ ὁ Κύριος αὐτοὺς ἀποκαλεῖ λέγοντας: «Μητέρα μου καὶ ἀδελφοὶ καὶ πατέρες εἶναι αὐτοί, ποὺ κάνουν τὸ θέλημα τοῦ Πατρός μου, τοῦ ἐν τοῖς οὐρανοῖς». Μὲ ἀνθρώπους, ποὺ περισπῶνται σὲ πολλὰ νὰ μὴν συναναστρέφεσαι οὔτε νὰ πᾷς μαζί τους σὲ συμπόσιο, μήπως κάποτε σὲ παρασύρουν στὶς ἀπάτες τους καὶ σὲ ἀπομακρύνουν ἀπὸ τὴν ἐπιστήμη τῆς ἡσυχίας. Διότι σ᾽ αὐτοὺς ὑπάρχει αὐτὸ τὸ πάθος. Μὴν στρέψῃς τὸ αὐτί σου στοὺς λόγους τους καὶ μὴν ἀποδεχθῇς τὰ νοήματα τῆς καρδίας τους, διότι εἶναι πράγματι ἐπιζήμια. Ὁ πόνος καὶ ὁ πόθος τῆς καρδίας σου νὰ εἶναι στοὺς πιστοὺς τῆς γῆς, γιὰ

ζῆλον πένθους αὐτῶν. Οἱ ὀφθαλμοί μου γάρ, φησίν, ἐπὶ τοὺς πιστοὺς τῆς γῆς, τοῦ συγκαθῆσθαι αὐτοὺς μετ᾽ ἐμοῦ[21]*. Ἐὰν δέ τις καὶ τῶν κατὰ τὴν ἀγάπην πολιτευομένων τοῦ Θεοῦ ἐλθὼν πρός σέ, ἐπὶ τὸ φαγεῖν προσκαλέσηταί σε, καὶ θέλεις ὑπάγειν, ὕπαγε μέν, τάχιον δὲ ἐν τῷ κελλίῳ σου ὑπόστρεφε. Εἰ δυνατόν, ἐκτὸς τούτου, μὴ καθευδήσῃς ποτέ· ἵνα διαπαντός σοι παραμείνῃ τῆς ἡσυχίας ἡ χάρις, καὶ τῆς ἐν αὐτῷ προθέσεως ἀνεμπόδιστον ἕξεις τὴν λατρείαν. Μὴ γίνου ἐπιθυμητὴς βρωμάτων καλῶν, καὶ τῶν κατὰ τὴν σπατάλην ἀπατῶν. Ἡ γὰρ σπαταλῶσα, ζῶσα τέθνηκεν, ὡς ὁ Ἀπόστολός φησι*[22]*. Μὴ χορτάσῃς κοιλίαν σου ἐν βρώμασιν ἀλλοτρίων, ἵνα μὴ πόθος σοι τούτων γένηται, καὶ περὶ τὰς ἔξω τραπέζας ἐμποιήσῃ σοι τὸν πόθον. Εἴρηται γάρ, μὴ ἀπατᾶσθε χορτασίᾳ κοιλίας*[23]*. Ἐὰν δὲ καὶ συνεχῶς ἔξω τοῦ κελλίου σου θεάσῃ σεαυτὸν προσκαλούμενον, παραιτοῦ. Ἔστι γὰρ ἐπιζήμιος ἡ ἔξω τοῦ κελλί-*

νὰ ζηλώσῃς τὸ πένθος τους. Διότι λέγει ὁ [Δαυῒδ]: «οἱ ὀφθαλμοί μου [κοιτάζουν] τοὺς πιστοὺς τῆς γῆς, γιὰ νὰ τοὺς κάνω συγκαθέδρους μ᾽ ἐμένα». Ἐὰν λοιπὸν κάποιος ἀπὸ ἐκείνους ποὺ πολιτεύονται σύμφωνα μὲ τὴν ἀγάπη τοῦ Θεοῦ, ἀφοῦ ἔλθῃ πρὸς ἐσένα, σὲ προσκαλέσῃ σὲ φαγητὸ καὶ θέλῃς νὰ πᾷς, πήγαινε μέν, ἀλλὰ ἐπίστρεψε τὸ συντομώτερο στὸ κελλί σου. Ἐάν [εἶναι] δυνατὸν ἐκτὸς αὐτοῦ [τοῦ κελλίου] νὰ μὴν κοιμηθῇς ποτέ, γιὰ νὰ παραμείνῃ πάντοτε σὲ σένα ἡ Χάρι τῆς ἡσυχίας καὶ τὴν ἐκ τῆς προθέσεώς [σου] λατρεία [τοῦ Θεοῦ] μέσα σ᾽ αὐτό [τὸ κελλί] θὰ τὴν κρατήσῃς [τότε] ἀνεμπόδιστη [χωρὶς ἐμπόδια]. Μὴν γίνῃς ἐκεῖνος ποὺ ἐπιθυμεῖ τὰ καλὰ φαγητὰ καὶ τὶς ἀπάτες [ποὺ γίνονται] ἐξ αἰτίας τῆς σπατάλης. Γιατὶ ἐκείνη, ποὺ σπαταλᾶ, ἐνῶ εἶναι ζωντανὴ πέθανε, ὅπως λέγει ὁ Ἀπόστολος. Μὴν χορτάσῃς τὴν κοιλία σου μὲ φαγητὰ ποὺ ἀνήκουν σὲ ἄλλους, γιὰ νὰ μὴν σοῦ γεννηθῇ ἐπιθυμία αὐτῶν καί [ἡ ἐπιθυμία αὐτή] σοῦ προξενήσῃ τὴν ἐπιθυμία γιὰ τὶς ἔξω [ἀπὸ τὸ κελλί σου] τράπεζες [φαγητοῦ]. Διότι ἔχει εἰπωθῆ: «Μὴν ἐξαπατηθῆτε ἀπὸ τὸν χορτασμὸ τῆς κοιλίας». Ἐὰν δὲ δῇς τὸν ἑαυτό σου νὰ προσκαλῆται συνεχῶς ἔξω ἀπὸ τὸ κελλί σου, ἀπόφυγε [τὶς προσκλήσεις]. Διότι εἶναι ἐπιζήμιος ἡ ἔξω ἀπὸ τὸ κελ-

ου σου συνεχὴς διατριβή. Ἀφαιρεῖται τὴν χάριν· σκοτεῖ τὸ φρόνημα· μαραίνει τὸν πόθον. Ἴδε μοι κεράμιον οἴνου ἐγχρονίσαν ἐν τῷ τόπῳ, καὶ κείμενον ἀσάλευτον, πῶς παρασκευάζει τὸν οἶνον λαμπρόν, καθιστάμενον, καὶ εὐώδη. Ἐὰν δὲ ὧδε κἀκεῖσε περιφέρηται, τεταραγμένον, στυγνόν, πάσης ὁμοῦ τῆς ἐκ τῆς τρυγίας κακίας τὴν ἀηδίαν ἐπιδεικνύμενον. Τοιγαροῦν τούτῳ παραπλησιάσας σεαυτόν, πειρῶ τῆς ὠφελείας. Κόπτε τῶν πολλῶν τὰς σχέσεις, μή σου ὁ νοῦς περιστατικὸς γένηται, καὶ ταράξῃ τὸν τῆς ἡσυχίας τρόπον. Ἐργασίας χειρῶν φρόντιζε· καὶ τοῦτο εἰ δυνατὸν νυκτός, καὶ ἡμέρας, πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα· μᾶλλον δέ, καὶ εἰς τὸ μεταδιδόναι, καθὰ παραινεῖ λέγων καὶ ὁ Ἀπόστολος Παῦλος[24]. Ἵνα δὴ καὶ ἐν τούτῳ τὸν τῆς ἀκηδίας, καταπαλαίσῃς δαίμονα, καὶ τὰς ἄλλας πάσας ἐπιθυμίας τοῦ ἐχθροῦ διάρῃς· ἐπίκειται γὰρ τῇ ἀργίᾳ ὁ τῆς ἀκηδίας δαίμων. Καὶ ἐν ἐπιθυμίαις ἐστίν, ὥς φησιν, πᾶς ἀεργός[25]. Ἀπὸ δόσεως, καὶ λήψεως, οὐκ

λί σου συνεχὴς παραμονή. Ἀποστερεῖ τὴν Χάρι, σκοτίζει τὸ φρόνημα, μαραίνει τὸν πόθο. Πρόσεξέ με: ἕνα πήλινο ἀγγεῖο γεμάτο κρασί, τὸ ὁποῖο ἐχρόνισε νὰ βρίσκεται σ᾽ ἕναν τόπο ἀσάλευτο, πῶς παρασκευάζει τὸ κρασὶ διαυγές, ἀποκατεστημένο καὶ εὐωδιαστό! Ἐὰν ὅμως περιφέρεται ἐδῶ κι᾽ ἐκεῖ [γίνεται] ταραγμένο, στυφό, ἐμφανίζοντας τὴν ἀηδία ὅλης μαζὶ τῆς ἀκαθαρσίας ἀπὸ τὸ κατακάθι. Ἑπομένως φέροντας σὲ σύγκρισι τὸν ἑαυτό σου μ᾽ αὐτό [τὸ παράδειγμα], δοκίμασε τὴν ὠφέλεια. Κόψε τὶς σχέσεις μὲ τοὺς πολλούς, μήπως γίνῃ ὁ νοῦς σου πολυάσχολος καὶ διαταράξῃ τὸν τρόπο τῆς ἡσυχίας. Φρόντιζε τὴν ἐργασία τῶν χειρῶν [σου]. Καὶ αὐτό, ἐὰν εἶναι δυνατὸν τόσο τὴν νύκτα ὅσο καὶ τὴν ἡμέρα, γιὰ νὰ μὴν ἐπιβαρύνῃς κανέναν, ἀλλὰ μᾶλλον καὶ γιὰ νὰ προσφέρῃς [σὲ ἄλλους], ὅπως [μᾶς] προτρέπει, λέγοντας καὶ ὁ Ἀπόστολος Παῦλος· γιὰ νὰ καταβάλῃς μάλιστα καὶ μ᾽ αὐτὸ τὸν δαίμονα τῆς ἀκηδίας καὶ ὅλες τὶς ἄλλες ἐπιθυμίες τοῦ ἐχθροῦ νὰ ἀπομακρύνῃς. Διότι ἐπάνω στὴν ἀργία βρίσκεται ὁ δαίμονας τῆς ἀκηδίας. Καὶ εἶναι μέσα στὶς ἐπιθυμίες, καθὼς λέγει [ἡ Ἁγία Γραφή], κάθε ἄεργος. Ἀπὸ τοῦ δοῦναι καὶ λαβεῖν [τοῦ ἐμπορίου] δὲν

ἐκφεύξῃ ἁμαρτίαν. Εἴτε οὖν πωλεῖς, εἴτε ἀγοράζεις, μικρόν τι τοῦ ἴσου ζημίωσον σεαυτόν· μὴ τοῖς κατ᾽ ἀκρίβειαν τῆς περὶ τὴν τιμὴν φιλοκερδείας ἐνεχθεὶς τρόποις, ἐπὶ τὰ βλαβερὰ τῶν τῆς ψυχῆς αἰτιῶν καταπέσῃς· φιλονεικίαις, ἐπιορκίαις, ταῖς τῶν λόγων σου ἐναλλαγαῖς, καὶ ἐν τοῖς τοιούτοις, τὴν ἔντιμον τῆς ἡμετέρας προθέσεως ἀτιμάσῃς καὶ καταισχύνῃς ἀξίαν. Οὕτω καὶ αὐτὸς ἐννοῶν, ἀπὸ δόσεώς σου, καὶ λήψεώς σου φυλάσσου. Εἰδὲ τὸ κρεῖττον αἱρῇ, καὶ ἔστι σοι τοῦτο δυνατόν, ἐπὶ ἕτερόν τινα πιστὸν ἄνδρα παράῤῥιψόν σου τὴν φροντίδα· ὅπως οὕτως εὔθυμος γενόμενος, χρηστάς, καὶ ἐπιχαρεῖς ἕξεις τὰς ἐλπίδας. Ταῦτά σοι οὕτω παραινεῖν οἶδε τὰ χρήσιμα ὁ τῆς ἡσυχίας τρόπος. Φέρε δὴ καὶ τῶν ἑξῆς ἐπιφερομένων ἐν αὐτῇ πραγμάτων, παραθήσομαί σοι τὸν νοῦν, σὺ δέ μου ἄκουε καὶ ποίει ἃ ἐντέλλομαί σοι. Καθεζόμενος ἐν τῷ κελλίῳ σου, συνάγαγέ σου τὸν νοῦν, μνήσθητι ἡμέρας θανάτου, ἴδε τότε τοῦ σώματος τὴν νέ-

θὰ ξεφύγῃς ἀπὸ τὴν ἁμαρτία. Εἴτε λοιπὸν πουλᾶς εἴτε ἀγοράζεις, ζημίωσε τὸν ἑαυτό σου μὲ κάτι λιγώτερο ἀπὸ τὴν ἴση [πρὸς τὸ ἐμπόρευμα ἀξία], γιὰ νὰ μήν, περιπλεκόμενος μὲ τοὺς τρόπους τῆς φιλοκερδείας χάριν τῆς σχετικῆς μὲ τὴν τιμὴ ἀκριβείας, καταπέσῃς σ᾽ ἐκεῖνα, ποὺ προξενοῦν τὰ βλαβερὰ γιὰ τὴν ψυχή, δηλαδὴ στὶς φιλονεικίες, στὶς ἐπιορκίες, στὴν μεταβολὴ καὶ διαφοροποίησι τῶν λόγων σου καὶ μὲ τέτοιου εἴδους [τὶς πράξεις] τὴν ἔντιμη ἀξία τῆς προθέσεώς μας [γιὰ τὴν μοναχικὴ ζωή] ἀτιμάσῃς καὶ καταισχύνῃς. Μ᾽ αὐτὸν τὸν τρόπο καί [ἐσύ] ὁ ἴδιος σκεπτόμενος, ἀπὸ τὸ δοῦναι καὶ λαβεῖν [τῶν συναλλαγῶν] σου, φυλάξου. Καὶ ἐὰν διαλέξῃς τὸ καλλίτερο καὶ σοῦ εἶναι αὐτὸ δυνατόν, σὲ κάποιον ἄλλον πιστὸ ἄνδρα ἐγκατέλειψε τὴν φροντίδα σου, οὕτως ὥστε εὑρισκόμενος σὲ καλὴ διάθεσι, θὰ ἔχῃς χρηστὲς καὶ χαροποιὲς τὶς ἐλπίδες σου. Αὐτὰ τά [τόσο] χρήσιμα κατ᾽ αὐτὸν τὸν τρόπο γνωρίζει νὰ σὲ συμβουλεύῃ ἡ διαγωγὴ τῆς ἡσυχίας. Τώρα λοιπὸν κάνε ὑπομονὴ καὶ τὰ ἑξῆς ἔργα, τὰ ὁποῖα ἐπακολουθοῦν σ᾽ αὐτήν [τὴν ἡσυχία] θὰ σοῦ προσφέρω στὸν νοῦ καὶ ἐσὺ ἄκουγέ με καὶ πρᾶξε ἐκεῖνα ποὺ σοῦ παραγγέλλω. Ἀφοῦ καθήσῃς μέσα στὸ κελλί σου συγκέντρωσε τὸν νοῦ σου, θυμήσου τὴν ἡμέρα τοῦ θανάτου, δὲς τότε τὴν νέκρωσι τοῦ

κρωσιν, ἐννόει τὴν συμφοράν, λάβε τὸν πόνον, κατάγνωθι τῆς ἐν τῷ κόσμῳ τούτῳ ματαιότητος· τῆς τε ἐπιεικείας, καὶ τῆς σπουδῆς, ἵνα δυνηθῇς διὰ παντὸς μένειν τῇ αὐτῇ προθέσει τῆς ἡσυχίας, καὶ μὴ ἀσθενήσῃς. Μνήσθητι δὲ καὶ τῆς ἐν τῷ ᾅδῃ νυνὶ καταστάσεως· λογίζου τό, πῶς ἄρα εἰσὶν ἐκεῖ αἱ ψυχαί; Ἐν ποίᾳ πικροτάτῃ σιωπῇ; Ἢ ἐν ποίῳ δεινοτάτῳ στεναγμῷ; Ἡλίκῳ φόβῳ, ἢ ἀγωνίᾳ; Ἢ τίνι προσδοκίᾳ; Τὴν ἄπαυστον ὀδύνην, τὸ ψυχικὸν καὶ ἀπέραντον δάκρυον. Ἀλλὰ καὶ ἡμέραν ἀναστάσεως, καὶ παραστάσεως μνήσθητι τῆς πρὸς τὸν Θεόν· φαντάζου τὸ φοβερὸν ἐκεῖνο, καὶ φρικῶδες βῆμα· ἄγε εἰς μέσον τὰ ἀποκείμενα τοῖς ἁμαρτάνουσιν· αἰσχύνην τὴν κατ᾽ ἐνώπιον τοῦ Θεοῦ, καὶ Χριστοῦ αὐτοῦ· ἀγγέλων, ἀρχαγγέλων, ἐξουσιῶν, καὶ πάντων ἀνθρώπων· τά τε κολαστήρια πάντα, τὸ πῦρ τὸ αἰώνιον, τὸν σκώληκα τὸν ἀτελεύτητον[26], τὸν τάρταρον, τὸ σκότος, τὸν ἐπὶ πᾶσι τούτοις τὸν ὀδόντων βρυγμόν[27], τοὺς

σώματος, συλλογίσου τὴν συμφορά, πᾶρε [τὴν αἴσθησι] τοῦ πόνου, γνώρισε καλὰ τὴν ματαιότητα αὐτοῦ τοῦ κόσμου, [τὴν σημασία] τόσο τῆς ἀγαθότητος ὅσο καὶ τῆς ἐπιμέλειας γιὰ νὰ μπορέσῃς νὰ παραμείνῃς πάντοτε στὴν ἀπόφασι τῆς ἡσυχίας καὶ νὰ μὴν ἀτονήσῃς. Ἐνθυμήσου δὲ κατὰ αὐτὴ τὴν στιγμὴ καὶ τὴν κατάστασι στὸν Ἅδη. Συλλογίσου, τὸ πῶς ἄραγε βρίσκονται ἐκεῖ οἱ ψυχές; Σὲ ποιὰ πικρότατη σιωπὴ ἢ σὲ ποιὸν φρικτότατο στεναγμό; Σὲ πόσο μεγάλο φόβο ἢ ἀγωνία; Ἢ σὲ ποιὰ προσδοκία; [Συλλογίσου] τὴν ἀδιάκοπη ὀδύνη, τὸ ψυχικὸ καὶ ἀτελεύτητο δάκρυ. Ἀλλά [συλλογίσου] καὶ τὴν ἡμέρα τῆς ἀναστάσεως καὶ θυμήσου τὴν παράστασι ἐνώπιον τοῦ Θεοῦ. Φαντάσου τὸ φοβερὸ καὶ τρομερὸ ἐκεῖνο δικαστικὸ βῆμα. Φέρε στὸ κέντρο [στὴν καρδία σου] αὐτὰ ποὺ ἐπιφυλάσσονται σ᾽ ἐκείνους ποὺ ἁμαρτάνουν: τὴν αἰσχύνη ἐνώπιον τοῦ Θεοῦ καὶ τοῦ Χριστοῦ Του, τῶν ἀγγέλων, τῶν ἀρχαγγέλων, τῶν ἐξουσιῶν καὶ ὅλων τῶν ἀνθρώπων. Καὶ ὅλα τὰ κολαστήρια, τὸ αἰώνιο πῦρ, τὸν ἀτελεύτητο σκώληκα, τὸν τάρταρο, τὸ σκοτάδι, τὸν γιὰ ὅλα αὐτὰ τριγμὸ τῶν ὀδόντων, τοὺς

φόβους, καὶ τὰς βασάνους. Ἄγε δὴ καὶ τὰ τοῖς δικαίοις ἀποκείμενα ἀγαθά· παῤῥησίαν τὴν μετὰ Θεοῦ Πατρός, καὶ Χριστοῦ αὐτοῦ· ἀγγέλων, ἀρχαγγέλων, ἐξουσιῶν, καὶ παντὸς τοῦ δήμου· βασιλείαν, καὶ τὰ ταύτης δωρήματα· τὴν χαράν, καὶ τὴν ἀπόλαυσιν. Ἑκατέρων τούτων τὴν μνήμην ἄγε σαυτῷ· καὶ ἐπὶ μὲν τῇ τῶν ἁμαρτωλῶν κρίσει, στέναζε, δάκρυε· πένθους ἔνδυσαι τὴν ἰδέαν, φοβούμενος μὴ καὶ σὺ αὐτὸς ἐν τούτοις γένῃ. Ἐπὶ δὲ τοῖς ἀποκειμένοις τοῖς δικαίοις ἀγαθοῖς, χαῖρε, καὶ ἀγαλλία, καὶ εὐφραίνου· καὶ τούτων μέν, σπούδασον ἀπολαῦσαι· ἐκείνων δέ, ἀλλοτριοῦσθαι. Ὅρα μὴ ἐπιλάθῃ τούτων ποτέ, κἂν ἔνδον τοῦ κελλίου σου τυγχάνῃς, κἂν ἔξωπου, τῆς ἐκ τούτων μνήμης μὴ παραῤῥίψῃς τὸ φρόνημα, ὅπως κἂν διὰ τούτων τοὺς ῥυπαρούς, καὶ βλαβεροὺς ἐκφεύξῃ λογισμούς. Νηστεία σοι ἔστω ὅση δύναμις κατ᾽ ἐνώπιον Κυρίου· αὕτη σου τὰς ἀνομίας, καὶ τὰς ἁμαρτίας περικαθαριεῖ[28]· σεμνύνει τὴν ψυχήν, ἁγιάζει τὸ

φόβους καὶ τὰ βάσανα. Φέρε ἀμέσως μετά [στὴν καρδία σου] καὶ τὰ ἀγαθὰ ποὺ ἐπιφυλάσσονται στοὺς δικαίους: τὴν παρρησία μὲ τὸν Θεὸ Πατέρα καὶ τὸν Χριστό Του, τῶν ἀγγέλων, ἀρχαγγέλων, ἐξουσιῶν καὶ ὅλου τοῦ λαοῦ [τοῦ Θεοῦ]· τὴν βασιλεία καὶ τὰ χαρίσματά της: τὴν χαρὰ καὶ τὴν ἀπόλαυσι. Καὶ τῶν δύο αὐτῶν φέρε τὴν μνήμη στὸν ἑαυτό σου. Καὶ γιὰ μὲν τὴν καταδίκη τῶν ἁμαρτωλῶν νὰ στενάζῃς καὶ νὰ κλαῖς. Νὰ περιβληθῇς τὸ σχῆμα τοῦ πένθους, φοβούμενος μήπως καὶ ἐσὺ ὁ ἴδιος γίνῃς [ἕνας] ἀπ᾽ αὐτούς. Ὡς πρὸς δὲ τὰ ἀγαθά, τὰ ὁποῖα ἐπιφυλάσσονται στοὺς δικαίους, νὰ χαίρεσαι καὶ νὰ ἀγαλλιάζῃς καὶ νὰ εὐφραίνεσαι. Καὶ αὐτὰ μὲν φρόντισε νὰ τὰ ἀπολαύσῃς, ἀπὸ ἐκεῖνα δέ [φρόντισε] νὰ ἀποξενωθῇς. Πρόσεξε αὐτὰ νὰ μὴν τὰ ξεχάσῃς ποτέ, εἴτε τύχει νὰ βρεθῇς μέσα στὸ κελλί σου, εἴτε κάπου ἔξω, μὴν ἀπορρίψῃς τὴν σκέψι, ποὺ προέρχεται ἀπὸ τὴν μνήμη αὐτῶν, γιὰ νὰ ἀποφύγῃς μέσῳ τουλάχιστον αὐτῶν τοὺς ρυπαροὺς καὶ βλαβεροὺς λογισμούς. Νὰ εἶναι ἡ νηστεία σου ἐνώπιον τοῦ Κυρίου, τόση ὅση ἡ δύναμίς σου. Αὐτὴ θὰ καθάρῃ τελείως τὶς ἀνομίες καὶ τὶς ἁμαρτίες σου, ὁσιοποιεῖ τὴν ψυχή σου, ἁγιάζει τὸ

φρόνημα, δαίμονας ἀπελαύνει, Θεοῦ ἐγγὺς εἶναι παρασκευάζει. Ἅπαξ δὲ τῆς ἡμέρας φαγών, εἰς δεύτερον μὴ ἐπιθυμήσῃς· ἵνα μὴ πολυδάπανος γένῃ, καὶ ἐκθορυβήσῃς σου τὸ φρόνημα. Ἔνθεν εὐπορῆσαι δυνήσῃ ἐπὶ τὰ τῆς εὐποΐας ἔργα, καὶ αὐτοῦ δὲ τοῦ σώματος νεκρῶσαι τὰ πάθη. Ἐὰν δὲ ἀπάντησις ἀδελφῶν γένηται, καί ἐστι χρεία, ὥστε καὶ δεύτερόν σε, καὶ τρίτον φαγεῖν, μὴ στυγνάσῃς, μηδὲ κατηφήσῃς· χαῖρε δὲ μᾶλλον, ὑπήκοος τῆς χρείας γενόμενος, καὶ δεύτερον, ἢ τρίτον φαγών, εὐχαρίστει τῷ Θεῷ, ὅτι νόμον ἀγάπης πεπλήρωκας, καὶ ὡς ὅτι δήπερ αὐτὸν τὸν Θεὸν ἕξεις τῆς ὑμετέρας ζωῆς οἰκονόμον. Ἔστι δ' ὅτε καὶ ἀῤῥωστία σώματος συμβαίνει καὶ δέῃ ὥστε καὶ δεύτερον, καὶ τρίτον, καὶ πολλάκις φαγεῖν, οὕτω μὴ ἔστω σου λελυπημένος ὁ λογισμός· οὐδὲ γὰρ τοὺς σωματικοὺς τῆς πολιτείας πόνους, καὶ ἐν ταῖς ἀῤῥωστίαις ἐπικρατεῖν χρή· ἀλλ' ὑπενδιδόναι τισίν, ἵνα τοῖς αὐτοῖς τῆς πολιτείας ἐγγυμνά-

φρόνημά σου, ἀποδιώκει τοὺς δαίμονες καί [σέ] κάνει νὰ εἶσαι κοντὰ στὸν Θεό. Καὶ ἐὰν φᾷς μία φορὰ τὴν ἡμέρα, μὴν ἐπιθυμήσῃς [νὰ φᾷς] δεύτερη φορά, γιὰ νὰ μὴν γίνῃς πολυδάπανος καὶ βάλῃς σὲ ἀνησυχία τὴν σκέψι σου. Ἀπὸ ἐκεῖ [δηλαδὴ τὴν νηστεία καὶ τὴν μονοφαγία] θὰ μπορέσῃς νὰ ἐξασφαλίσῃς πόρους γιὰ τὰ ἔργα τῆς ἐλεημοσύνης, ἀλλὰ ἐπιπλέον καὶ αὐτοῦ τοῦ ἴδιου τοῦ σώματος νὰ νεκρώσῃς τὰ πάθη. Ἐὰν δὲ γίνῃ συνάντησι μεταξὺ ἀδελφῶν καὶ ὑπάρχῃ ἀνάγκη ὥστε καὶ δεύτερη καὶ τρίτη φορὰ νὰ φᾷς μὴν σκυθρωπάσῃς οὔτε νὰ κατηφήσῃς, ἀλλὰ μᾶλλον χαῖρε, διότι, ἂν καὶ ἔφαγες δεύτερη ἢ τρίτη φορά, ὑπακούοντας στὴν ἀνάγκη, ἔχεις ἐκπληρώσει τὴν ἐντολὴ τῆς ἀγάπης καὶ ὅτι ἔτσι τουλάχιστον θὰ ἔχῃς αὐτὸν τὸν ἴδιο τὸν Θεὸ οἰκονόμο τῆς ζωῆς σου. Ἐνίοτε καὶ ἀσθένεια τοῦ σώματος συμβαίνει, ὥστε νὰ πρέπει ἐπίσης καὶ δεύτερη καὶ τρίτη καὶ πολλὲς φορὲς νὰ φᾷς. Χάριν αὐτοῦ, ἂς μὴν ἔχῃς λυπημένο τὸν Λογισμό σου. Διότι οὔτε καὶ στοὺς σωματικοὺς κόπους τῆς [ἀσκητικῆς] πολιτείας πρέπει νὰ ὑπερβάλλῃς κατὰ τὴν περίοδο τῶν ἀσθενειῶν, ἀλλά [πρέπει] λίγο νὰ ὑποχωρήσῃς σὲ κάποιους, γιὰ νά [μπορῇ τὸ σῶμα ἀργότερα πάλι] νὰ ἀσκῆται σ' αὐτοὺς τοὺς ἴδιους κόπους τῆς [ἀ-

ζηται πόνοις. Περὶ δὲ ἀποχῆς βρωμάτων οὐκ ἐκώλυσέ τι μὴ φαγεῖν ὁ θεῖος λόγος, ἀλλ' εἶπεν·ἰδοὺ δέδωκα ὑμῖν πάντα, ὡς λάχανα χόρτου ἐσθίετε[29]*, μηδὲν ἀνακρίνοντες*[30]*· καί, οὐ τὰ εἰσερχόμενα εἰς τὸ στόμα, κοινοῖ τὸν ἄνθρωπον*[31]*. Τὸ οὖν ἀπέχεσθαι βρωμάτων, τοῦτο τῆς ὑμετέρας προαιρέσεως ἂν εἴη, καὶ ψυχῆς πόνος. Τὴν ἀγρυπνίαν, καὶ τὴν χαμευνίαν, καὶ τὰς ἄλλας πάσας κακοπαθείας, ἡδέως φέρε· ἀποβλέπων εἰς τὴν μέλλουσαν ἀποκαλυφθῆναί σοι δόξαν σὺν πᾶσι τοῖς ἁγίοις· οὐ γὰρ ἄξια τὰ παθήματα, φησί, τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς*[32]*. Ἐὰν ἀθυμῇς, προσεύχου, καθὼς γέγραπται*[33]*· προσεύχου δὲ ἐμφόβως, ἐντρόμως, ἐμπόνως, νηφαλίως, καὶ ἐγρηγόρως. Οὕτω προσεύχεσθαι δεῖ, μάλιστα διὰ τοὺς κακοτρόπους ἐχθρούς. Ὁπηνίκα γὰρ οὗτοι ἴδωσιν ἡμᾶς ἐν προσευχῇ παρισταμένους, τότε δὴ καὶ αὐτοὶ σπουδαίως ἐφίστανται ἡμῖν, ἐκεῖνα ἡμῶν τῷ νῷ ὑποβάλλοντες,*

σκητικῆς] πολιτείας. Σχετικὰ δὲ μὲ τὴν ἀποχὴ ἀπὸ τὰ φαγητά, δὲν περιόρισε νὰ μὴν φάῃ κανεὶς κάτι ὁ θεῖος λόγος, ἀλλὰ εἶπε: «Ἰδού, σᾶς ἔδωσα τὰ πάντα. Νὰ τὰ τρῶτε σὰν νὰ εἶναι λαχανικὰ τοῦ κήπου, χωρὶς κανένα νὰ ἐξετάσετε». Καὶ [εἶπε ἐπίσης]: «Δὲν μολύνουν τὸν ἄνθρωπο ἐκεῖνα, ποὺ εἰσέρχονται στὸ στόμα». Ἑπομένως τὸ νὰ ἐγκρατεύεσαι ἀπὸ τὰ φαγητά, αὐτὸ δύναται νὰ εἶναι [καρπός] τῆς δικῆς σου προαιρέσεως καὶ ἀγώνισμα τῆς ψυχῆς. Τὴν ἀγρυπνία καὶ τὴν χαμαικοιτία καὶ ὅλες τὶς ἄλλες κακοπάθειες ὑπέμενε εὐχαρίστως, ἀποβλέποντας στὴν δόξα ποὺ πρόκειται νὰ σοῦ ἀποκαλυφθῇ μαζὶ μὲ ὅλους τοὺς ἁγίους. Διότι λέγει [ὁ θεῖος λόγος]: «Δὲν εἶναι ἄξια τὰ παθήματα τοῦ παρόντος καιροῦ σὲ σχέσι μὲ τὴν δόξα ποὺ πρόκειται νὰ ἀποκαλυφθῇ σ' ἐμᾶς». Ἐὰν βαρυθυμῇς, νὰ προσεύχεσαι, ὅπως ἔχει γραφῇ [στὴν Ἁγία Γραφή]: «Νὰ προσεύχεσαι μὲ φόβο, μὲ τρόμο, μὲ πόνο, μὲ νηφαλιότητα καὶ ἐγρήγορσι». Κατ' αὐτὸν τὸν τρόπο πρέπει κανεὶς νὰ προσεύχεται, ἐξ αἰτίας μάλιστα τῶν κακοποιῶν ἐχθρῶν [μας δαιμόνων]. Διότι ὅταν συμβῇ αὐτοὶ νὰ μᾶς δοῦν, ὅτι παριστάμεθα σὲ προσευχή, τότε ἀμέσως καὶ αὐτοὶ στέκονται ἐπάνω μας μὲ ζῆλο, ὑποβάλλοντας στὸν νοῦ μας ἐκεῖνα,

ἃ μὴ δεῖ, ἐν καιρῷ τοῦ προσεύχεσθαι ἐνθυμεῖσθαι, ἢ ἐννοεῖν· ἵνα αἰχμάλωτον ἡμῶν τὸν νοῦν ἀπαγάγωσι, καὶ ἀργήν, καὶ ματαίαν, καὶ ἀνωφελῆ τὴν ἀπὸ τῆς προσευχῆς δέησίν τε, καὶ ἱκετηρίαν ποιήσωσι. Ματαία γὰρ ὄντως καὶ ἀνωφελὴς ἡ προσευχή τε, καὶ ἡ δέησις, καὶ ἡ ἱκετηρία τυγχάνει, ὅταν μή, ὡς προείρηται, ἐν φόβῳ, καὶ ἐν τρόμῳ, νηφαλίως τε, καὶ ἐγρηγόρως διατελῆται. Εἶτα, ἀνθρώπῳ μὲν βασιλεῖ προσερχόμενός τις, μετὰ φόβου, καὶ τρόμου, καὶ νήψεως οὕτω τὴν δέησιν ἐπιτελεῖ, οὐ πολλῷ μᾶλλον Θεῷ τῷ Δεσπότῃ τῶν ὅλων, καὶ Χριστῷ, Βασιλεῖ τῶν Βασιλευόντων, καὶ Ἄρχοντι τῶν Ἀρχόντων, ὁμοίως παρίστασθαι δεῖ, καὶ ὡσαύτως τὴν ἱκετηρίαν, καὶ δέησιν ποιεῖσθαι; Πολλοῦ γε καὶ δεῖ. Ὅτι αὐτῷ καὶ πᾶσα ἡ νοερὰ τῶν Ἀγγέλων πληθύς, καὶ χορεία φόβῳ λειτουργοῦσα, καὶ τρόμῳ δοξολογοῦσα, ἀκατάπαυστον ἀναπέμπει τὸν ὕμνον, σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρί, καὶ τῷ Παναγίῳ, καὶ Συναϊδίῳ

τὰ ὁποῖα δὲν πρέπει κατὰ τὴν ὥρα τῆς προσευχῆς νὰ ἐνθυμούμεθα ἢ νὰ σκεπτώμεθα, γιὰ νὰ ἁρπάξουν αἰχμάλωτο τὸν νοῦ μας καὶ νὰ κάνουν ἀνενεργὸ καὶ μάταιη καὶ ἀνωφελῆ τὴν παράκλησι μαζὶ καὶ τὴν ἱκεσία, [ποὺ γίνεται] μὲ τὴν προσευχή. Διότι πράγματι μάταιη καὶ ἀνωφελὴς ἀποβαίνει καὶ ἡ προσευχὴ καὶ ἡ παράκλησι καὶ ἡ ἱκεσία, ὅταν, ὅπως προελέχθη, δὲν συντελῆται μὲ φόβο καὶ τρόμο, μὲ νηφαλιότητα καὶ ἐγρήγορσι. Ἔπειτα, ὅταν κάποιος προσέλθῃ σὲ ἄνθρωπο μέν, [ποὺ εἶναι] βασιλεύς, [γιὰ νὰ ἐκζητήσῃ κάτι] ἐνεργεῖ τὴν παράκλησί [του] μ᾽ αὐτὸν τὸν τρόπο: μὲ φόβο καὶ τρόμο καὶ ἐγρήγορσι· δὲν πρέπει πολὺ περισσότερο πρὸς τὸν Θεὸ καὶ Δεσπότη τῶν ὅλων καὶ Χριστὸ καὶ Βασιλέα τῶν βασιλευόντων καὶ Ἄρχοντα τῶν ἀρχόντων, κατὰ τὸν ἴδιο τρόπο νὰ παρίσταται καὶ νὰ κάνῃ τὴν ἱκεσία καὶ τὴν παράκλησι; Πολὺ μάλιστα περισσότερο καὶ πρέπει! Διότι σ᾽ Αὐτὸν καὶ ὅλο τὸ πλῆθος καὶ ἡ χορεία τῶν νοερῶν Ἀγγέλων καθὼς λειτουργεῖ καὶ δοξολογεῖ μὲ φόβο καὶ τρόμο, ἀναπέμπει ἀκατάπαυστο τὸν ὕμνο μαζὶ καὶ πρὸς τὸν Ἄναρχο Πα-

Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.	τέρα Του καὶ τὸ Συναΐδιο Πνεῦμα τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.


ΣΗΜΕΙΩΣΕΙΣ - ΣΧΟΛΙΑ

ΣΗΜΕΙΩΣΕΙΣ - ΣΧΟΛΙΑ
ΑΓΙΟΥ ΝΙΚΟΔΗΜΟΥ

[α] ***Ἐν ἄλ. προσβάλῃ.***

ΠΑΡΑΠΟΜΠΕΣ
ΣΕ ΧΩΡΙΑ ΤΗΣ ΑΓΙΑΣ ΓΡΑΦΗΣ

[1] Ἰερεμ. 16, 1-4.
[2] Α′ Κορ. 7, 32-34.
[3] Β′ Τιμόθ. 2, 4.
[4] Πρβ. Ματθ. 11, 30.
[5] Λουκ. 4, 41.
[6] Λουκ. 4, 42.
[7] Γ′ Βασ. 17, 9 κ.έ.
[8] Σοφ. Σειρ. 18, 17.
[9] Μάρκ. 12, 42.
[10] Ψαλμ. 54, 23.
[11] Α′ Πέτρ. 5, 7.
[12] Β′ Κορ. 8, 13.
[13] Ἔξοδ. 16, 18.
[14] Ματθ. 6, 33.
[15] Ματθ. 8, 22.
[16] Ψαλμ. 54, 8.
[17] Ψαλμ. 54, 10.
[18] Ψαλμ. 54, 9.
[19] Σοφ. Σολ. 4, 12.
[20] Ματθ. 12, 49.
[21] Ψαλμ. 100, 6.
[22] Α′ Τιμόθ. 5, 6.
[23] Παροιμ. 24, 15.
[24] Α′ Θεσσ. 2, 9,
Ἐφεσ. 4, 28.
[25] Παροιμ. 13, 4.
[26] Μάρκ. 9, 46.
[27] Ματθ. 8, 12.
[28] Ἡσ. 6, 7.
[29] Γένεσ. 9, 3.
[30] Α′ Κορ. 10, 26.
[31] Ματθ. 15, 11.
[32] Ῥωμ. 8, 18.
[33] Πρβ. Ἰακ. 5, 13.



2

ΚΕΦΑΛΑΙΑ
ΠΕΡΙ ΔΙΑΚΡΙΣΕΩΣ ΠΑΘΩΝ ΚΑΙ ΛΟΓΙΣΜΩΝ

α΄. Τῶν ἀντικειμένων δαιμόνων τῇ πρακτικῇ, πρῶτοι κατὰ τὸν πόλεμον συνίστανται οἱ τὰς τῆς γαστριμαργίας ὀρέξεις πεπιστευμένοι, καὶ οἱ τὴν φιλαργυρίαν ἡμῖν ὑποβάλλοντες, καὶ οἱ πρὸς τὴν τῶν ἀνθρώπων δόξαν ἡμᾶς ἐκκαλούμενοι. Οἱ δὲ ἄλλοι πάντες κατόπιν τούτων βαδίζοντες, τοὺς ὑπὸ τούτων τιτρωσκομένους διαδέχονται. Οὐκ ἔστι γὰρ ἐμπεσεῖν εἰς χεῖρας πνευματος πορνείας, μὴ ὑπὸ γαστριμαργίας καταπεσόντα. Καὶ οὐκ ἔστι ταράξαι θυμόν, μὴ ὑπὲρ βρωμάτων, ἢ χρημάτων, ἢ δόξης μαχόμενον. Καὶ οὐκ ἔστι τὸν τῆς λύπης δαίμονα διαφυγεῖν, μὴ τούτων πάντων στέρησιν παθόντα. Οὐδ᾽ ἀποφεύξεται τὴν ὑπερηφανίαν τις, τὸ πρῶτον γέννημα τοῦ διαβόλου, μὴ τὴν τῶν κακῶν πάντων ῥίζαν ἐξορίσας φιλαργυρίαν,

1. Ἀπὸ τοὺς δαίμονες, ποὺ ἀντιστρατεύονται τὴν ἀσκητικὴ πρᾶξι, πρῶτοι στὸν πόλεμο συμπαρατάσσονται ἐκεῖνοι, ποὺ εἶναι πιστοὶ στὶς ὀρέξεις τῆς γαστριμαργίας καὶ ὅσοι μᾶς ὑποβάλλουν τὴν φιλαργυρία καὶ ἐκεῖνοι ποὺ μᾶς παρακινοῦν στὴν δόξα τῶν ἀνθρώπων. Οἱ δὲ ἄλλοι ὅλοι [δαίμονες], ποὺ βαδίζουν μετὰ ἀπ᾽ αὐτούς [τοὺς πρώτους], παραλαμβάνουν ὅσους ἔχουν τραυματιστεῖ ἀπὸ αὐτούς, [τοὺς πρώτους δαίμονες]. Διότι δὲν εἶναι δυνατὸν νὰ πέσῃ [κανείς] στὰ χέρια τοῦ δαίμονος τῆς πορνείας, ἐὰν [πρῶτα] δὲν καταβληθῇ ἀπὸ τὴν γαστριμαργία. Καὶ δὲν εἶναι δυνατὸν νὰ τὸν ταράξῃ ὁ θυμός, ἐὰν [προηγουμένως] δὲν ἀγωνιστῇ γιὰ φαγητὰ ἢ χρήματα ἢ δόξα. Καὶ δὲν εἶναι δυνατὸν νὰ διαφύγῃ τὸν δαίμονα τῆς λύπης, ἐὰν δὲν ὑποστῇ τὴν στέρησι ὅλων αὐτῶν. Οὔτε κανεὶς θὰ ἀποφύγῃ τὴν ὑπερηφάνια, τὸ πρῶτο γέννημα τοῦ διαβόλου, ἐὰν δὲν ἐξορίσῃ τὴν ρίζα ὅλων τῶν κακῶν, τὴν φιλαργυρία,

εἴπερ καὶ πενία ἄνδρα ταπεινοῖ, κατὰ τὸν Σολομῶντα[1]*. Καὶ συλλήβδην εἰπεῖν, οὐκ ἔστιν ἄνθρωπον περιπεσεῖν δαίμονι, μὴ πρότερον ὑπ᾽ ἐκείνων τῶν πρωτοστατῶν κατατρωθέντα. Διὸ καὶ τοὺς τρεῖς τούτους λογισμοὺς ὁ διάβολος τότε τῷ Σωτῆρι προσήγαγε· πρῶτον μὲν τοὺς λίθους ἄρτους γενέσθαι παρακαλῶν. Ἔπειτα καὶ τὸν κόσμον ἐπαγγελόμενος, εἰ πεσὼν προσκυνήσῃ. Καὶ τρίτον, εἰ ἀκούσῃ, δοξασθήσεται λέγων, μηδὲν ἐκ τηλικούτου πτώματος πεπονθότα. Ὧν ὁ Κύριος ἡμῶν κρείττων φανείς, εἰς τὰ ὀπίσω τῷ διαβόλῳ χωρεῖν προσέταττε*[2]*· διδάσκων ἡμᾶς διὰ τούτων, ὡς οὐκ ἔστιν ἀπώσασθαι τὸν διάβολον, μὴ τῶν τριῶν τούτων λογισμῶν καταφρονήσαντας.*

β΄. Πάντες οἱ δαιμονιώδεις λογισμοὶ νοήματα εἰς τὴν ψυχὴν τῶν αἰσθητῶν εἰσφέρουσι πραγμάτων, ἐν οἷς τυπούμενος ὁ νοῦς τὰς μορφὰς τῶν πραγμάτων ἐκείνων ἐν ἑαυτῷ περιφέρει. Καὶ ἀπ᾽ αὐτοῦ λοιπὸν τοῦ πράγματος, ἐπιγινώσκει τὸν προσεγ-

ἐπειδὴ πράγματι, κατὰ τὸν Σολομῶντα, ἡ πτωχεία ταπεινώνει τὸν ἄνθρωπο. Καὶ νὰ ποῦμε ἐν συνόλῳ, ὅτι δὲν εἶναι δυνατὸν νὰ περιπέσῃ ἄνθρωπος σὲ δαίμονα, ἐὰν δὲν ἔχῃ προηγουμένως καταπληγωθῇ ἀπὸ ἐκείνους τοὺς ἐπὶ κεφαλῆς [τῶν δαιμόνων]. Γι᾽ αὐτὸ καὶ αὐτοὺς τοὺς τρεῖς λογισμοὺς ὁ διάβολος τότε στὸν Σωτῆρα παρουσίασε. Πρῶτα μὲν παρακαλώντας Τον νὰ γίνουν οἱ λίθοι ψωμιά. Ἔπειτα καὶ τὸν κόσμο ὑποσχόμενος, ἐάν, ἀφοῦ πέσῃ, [τόν] προσκυνήσῃ. Καὶ τρίτον, λέγοντάς [Του], ὅτι ἐὰν ὑπακούσῃ θὰ δοξασθῇ, ἐπειδὴ τίποτα δὲν θὰ πάθῃ ἀπὸ ἕνα τόσο μεγάλο πέσιμο. Ἐπειδὴ ὁ Κύριός μας ἐφάνη ἰσχυρότερος ἀπ᾽ αὐτούς [τοὺς πειρασμούς], διέταζε τὸν διάβολο νὰ ὑποχωρήσῃ πρὸς τὰ πίσω, διδάσκοντάς μας μέσῳ αὐτῶν, ὅτι δὲν εἶναι δυνατὸν νὰ ἀποκρούσουμε τὸν διάβολο, ἐὰν δὲν καταφρονήσουμε τοὺς τρεῖς αὐτοὺς λογισμούς.

2. Ὅλοι οἱ δαιμονικοὶ λογισμοὶ εἰσάγουν στὴν ψυχὴ νοήματα τῶν αἰσθητῶν πραγμάτων, στὰ ὁποῖα [νοήματα], ἀφοῦ ὁ νοῦς σχηματίσῃ τὶς μορφὲς τῶν πραγμάτων ἐκείνων, [τίς] περιφέρει μέσα του. Καὶ ἀπὸ αὐτὸ λοιπὸν τὸ πρᾶγμα, ἀναγνωρίζει τὸν δαίμονα, πού [τόν] προσεγγίζει.

γίσαντα δαίμονα· οἷον, εἰ τοῦ ζημιώσαντός με, ἢ ἀτιμάσαντος ἐν τῇ διανοίᾳ μου τὸ πρόσωπον γένοιτο, ἐλέγχεται ὁ τῆς μνησικακίας παραβαλὼν λογισμός. Εἰ πάλιν χρημάτων ὑπόμνησις γένοιτο, ἢ δόξης, ἐκ τοῦ πράγματος δηλονότι ὁ θλίβων ἡμᾶς ἐπιγνωσθήσεται. Καὶ ἐπὶ τῶν ἄλλων δὲ λογισμῶν ὡσαύτως, ἀπὸ τοῦ πράγματος εὑρήσεις τὸν παρεστῶτα, καὶ ὑποβάλλοντα. Οὐ πάσας δὲ τὰς μνήμας τῶν τοιούτων πραγμάτων ἐκ δαιμόνων λέγω συμβαίνειν· ἐπειδὴ πέφυκε καὶ αὐτὸς ὁ νοῦς κινούμενος ὑπὸ τοῦ ἀνθρώπου, τῶν γεγονότων ἀναφέρειν τὰς φαντασίας· ἀλλ᾿ ὅσαι τῶν μνημῶν θυμόν, ἢ ἐπιθυμίαν παρὰ φύσιν συνεπισπῶνται. Διὰ γὰρ τὴν ταραχὴν τῶν δυνάμεων τούτων, ὁ νοῦς κατὰ διάνοιαν μοιχεύει, καὶ μάχεται, τοῦ νομοθετήσαντος αὐτῷ Θεοῦ τὴν φαντασίαν δέξασθαι μὴ δυνάμενος, εἴπερ ἡ λαμπρότης ἐκείνη κατὰ στέρησιν τῶν ἐν τοῖς πράγμασι νοημάτων, ἐν τῷ καιρῷ τῆς προσευχῆς τῷ ἡγεμονικῷ παραφαίνεται.

Παραδείγματος χάριν, ἐὰν σχηματιστῇ στὴν διάνοιά μου τὸ πρόσωπο ἐκείνου, ποὺ μὲ ζημίωσε ἢ μὲ ἀτίμασε, [τότε] ἐπιβεβαιώνεται, ὅτι μὲ προσέβαλε ὁ λογισμὸς τῆς μνησικακίας. Ἐὰν πάλι γίνῃ ὑπενθύμισι χρημάτων ἢ δόξας, ἀπὸ τὸ πρᾶγμα βεβαίως θὰ ἀναγνωρισθῇ, ὁ [δαίμονας], ποὺ μᾶς βασανίζει. Ἀλλὰ καὶ ὡς πρὸς τοὺς ἄλλους λογισμοὺς κατὰ τὸν ἴδιο τρόπο, ἀπὸ τὸ πρᾶγμα θὰ βρῇς [τὸν δαίμονα], ποὺ εἶναι παρὼν καὶ ὑποβάλλει τὸν λογισμό. Δὲν λέγω βέβαια ὅτι ὅλες οἱ μνῆμες αὐτοῦ τοῦ εἴδους τῶν πραγμάτων συμβαίνουν ἐξ αἰτίας τῶν δαιμόνων, ἐπειδὴ ὁ ἴδιος ὁ νοῦς ἔχει δημιουργηθῇ ἔτσι, ὥστε, ὅταν κινηθῇ ἀπὸ τὸν ἄνθρωπο, νὰ ἐπαναφέρῃ τὶς ἐντυπώσεις τῶν γεγονότων, ἀλλὰ [συμβαίνουν ἐξ αἰτίας τῶν δαιμόνων μόνο], ὅσες ἀπὸ τὶς μνῆμες συμπαρασύρουν μαζί τους θυμὸ ἢ παρὰ φύσι ἐπιθυμία. Διότι ἐξαιτίας τῆς ταραχῆς τῶν [δαιμονικῶν] αὐτῶν δυνάμεων, ὁ νοῦς μοιχεύει κατὰ τὴν διάνοια καὶ ἔχει πόλεμο, ἐπειδὴ δὲν μπορεῖ νὰ δεχθῇ τὴν φανέρωσι τοῦ Θεοῦ, ποὺ ἔθεσε τὸν νόμο σχετικὰ μ᾿ αὐτόν [τὸν νοῦ], ἐπειδὴ πράγματι ἐκείνη ἡ λαμπρότητα ἐμφανίζεται στὸ ἡγεμονικό [στὸν νοῦ] κατὰ τὴν ὥρα τῆς προσευχῆς, ἀναλογικὰ μὲ τὴν κένωσί [του] ἀπὸ τὰ νοήματα τῶν πραγμάτων.

γʹ. Οὐκ ἂν ἀπώθοιτο τὰς ἐμπαθεῖς μνήμας ὁ ἄνθρωπος, μὴ ἐπιθυμίας, καὶ θυμοῦ ἐπιμέλειαν ποιησάμενος. Τὴν μέν, νηστείαις, καὶ ἀγρυπνίαις, καὶ χαμευνίαις καταναλώσας· τὸν δέ, μακροθυμίαις, καὶ ἀνεξικακίαις, καὶ ἀμνησικακίαις, καὶ ἐλεημοσύναις, καθημερώσας. Ἐκ γὰρ τῶν δύο τούτων παθῶν, πάντες οἱ δαιμονιώδεις σχεδὸν συνίστανται λογισμοί, οἱ τὸν νοῦν ἐμβάλλοντες εἰς ὄλεθρον καὶ ἀπώλειαν. Ἀδύνατον δὲ τῶν παθῶν τούτων περιγενέσθαι, μὴ παντελῶς βρωμάτων, καὶ χρημάτων, καὶ δόξης ὑπεριδόντες· ἔτι δὲ καὶ τοῦ ἰδίου σώματος, διὰ τοὺς ῥαπίζειν αὐτὸ πολλάκις ἐπιχειροῦντας. Πᾶσα οὖν ἀνάγκη, μιμεῖσθαι τοὺς κινδυνεύοντας ἐν τῇ θαλάσσῃ, καὶ τῶν σκευῶν ἐκβολὴν ποιουμένους διὰ τὴν βίαν τῶν ἀνέμων, καὶ τῶν ἐπανισταμένων κυμάτων. Ἀλλ᾽ ἐνταῦθα προσεκτέον ἀκριβῶς, μὴ ἐκβολὴν ποιούμενοι τῶν σκευῶν, πρὸς τὸ θεαθῆναι τοῖς ἀνθρώποις ποιήσωμεν. Ἐπεὶ ἀπέχομεν τὸν

3. Δὲν θὰ μπορέσῃ ὁ ἄνθρωπος νὰ παραμερίσῃ τὶς ἐμπαθεῖς μνῆμες, ἐὰν δὲν ἀσκήσῃ τήν [πρέπουσα] ἐπιμέλεια ἐναντίον τῆς ἐπιθυμίας καὶ τοῦ θυμοῦ. Τὴν μέν [ἐπιθυμία] μὲ τὸ νὰ τὴν ἐξαντλήσῃ μὲ νηστεῖες καὶ ἀγρυπνίες καὶ χαμαικοιτίες· τὸν δέ [θυμό] μὲ τὸ νά [τόν] καθημερώσῃ μὲ μακροθυμίες καὶ ἀνεξικακίες καὶ ἀμνησικακίες καὶ ἐλεημοσύνες. Ἀπ᾽ αὐτὰ τὰ δύο πάθη διαμορφώνονται ὅλοι σχεδὸν οἱ δαιμονικοὶ λογισμοί, ποὺ ρίχνουν τὸν νοῦ μέσα στὸν ὄλεθρο καὶ τὴν ἀπώλεια. [Εἶναι] δὲ ἀδύνατον νὰ ὑπερνικήσουμε αὐτὰ τὰ πάθη, ἐὰν δὲν καταφρονήσουμε ἐντελῶς τὰ φαγητά, τὰ χρήματα καὶ τὴν δόξα. Ἀκόμα δὲ καὶ τὸ ἴδιο μας τὸ σῶμα, ἐξαιτίας ἐκείνων [τῶν δαιμόνων], ποὺ πολλὲς φορὲς ἐπιχειροῦν νὰ τὸ δείρουν. [Εἶναι] λοιπὸν μεγάλη ἀνάγκη νὰ μιμηθοῦμε ἐκείνους, οἱ ὁποῖοι κινδυνεύουν στὴν θάλασσα καὶ πετοῦν τὰ πράγματά [τους] ἔξω, ἐξ αἰτίας τῆς δυνάμεως τῶν ἀνέμων καὶ τῶν κυμάτων ποὺ ἔχουν ὑψωθῇ. Ἀλλὰ ἐδῶ, πρέπει νὰ προσέξουμε μὲ ἀκρίβεια [τὸ ἑξῆς], μήπως ἐνῶ πετᾶμε τὰ πράγματά μας, τὸ κάνουμε μὲ σκοπὸ νὰ μᾶς δοῦν οἱ ἄνθρωποι, ὁπότε ἀπέχουμε ἀ-

μισθὸν ἑαυτῶν. Καὶ ἄλλο χαλεπώτερον τοῦ προτέρου διαδέξεται ἡμᾶς ναυάγιον, τοῦ τῆς κενοδοξίας ἀντιπνεύσαντος δαίμονος πνεύματος. Διὸ καὶ ὁ Κύριος ἡμῶν ἐν τοῖς εὐαγγελίοις τὸν κυβερνήτην νοῦν παιδεύων, φησί· προσέχετε τὴν ἐλεημοσύνην ὑμῶν μὴ ποιεῖν ἔμπροσθεν τῶν ἀνθρώπων, πρὸς τὸ θεαθῆναι αὐτοῖς· εἰδὲ μήγε, μισθὸν οὐκ ἔχετε παρὰ τῷ πατρὶ ὑμῶν, τῷ ἐν τοῖς οὐρανοῖς. Καὶ πάλιν· ὅταν προσεύχησθε, φησίν, οὐκ ἔσεσθε ὥς περ οἱ ὑποκριταί· ὅτι φιλοῦσιν ἐν ταῖς συναγωγαῖς, καὶ ἐν ταῖς πλατείαις προσεύχεσθαι, ὅπως φανῶσι τοῖς ἀνθρώποις. Ἀμὴν λέγω ὑμῖν, ὅτι ἀπέχουσι τὸν μισθὸν αὐτῶν. Ὅταν δὲ νηστεύητε, μὴ γίνεσθε, ὥς περ οἱ ὑποκριταί, σκυθρωποί. Ἀφανίζουσι γὰρ τὰ πρόσωπα αὐτῶν, ὅπως φανῶσι τοῖς ἀνθρώποις νηστεύοντες. Ἀμὴν λέγω ὑμῖν, ἀπέχουσι τὸν μισθὸν αὐτῶν[3]*. Ἀλλὰ προσεκτέον ἐνταῦθα τῷ ἰατρῷ τῶν ψυχῶν, πῶς διὰ μὲν τῆς ἐλεημοσύνης, τὸν θυμὸν θεραπεύει· διὰ δὲ τῆς προσευ-*

πὸ τὸν μισθό μας. Καὶ ἄλλο, χειρότερο ἀπὸ τὸ προηγούμενο θὰ ἐπακολουθήση σ᾽ ἐμᾶς ναυάγιο, πού [προξενεῖται] ἀπὸ τὸ πνεῦμα τοῦ δαίμονος τῆς κενοδοξίας, ὁ ὁποῖος πνέει ἐναντίον [μας]. Γι᾽ αὐτὸ καὶ ὁ Κύριός μας στὰ Εὐαγγέλια, γιὰ νὰ παιδαγωγήση τὸν κυβερνήτη νοῦ, λέγει: «Προσέχετε νὰ μὴν κάνετε τὴν ἐλεημοσύνη σας μπροστὰ στοὺς ἀνθρώπους μὲ σκοπὸ νὰ σᾶς δοῦν. Εἰδάλλως, μισθὸν δὲν θὰ ἔχετε ἀπὸ τὸν Πατέρα σας στοὺς οὐρανούς». Καὶ πάλι λέγει: «Ὅταν προσεύχεσθε, δὲν θὰ εἶστε, ὅπως οἱ ὑποκριτές, διότι [σ᾽ ἐκείνους] ἀρέσει νὰ προσεύχωνται στὶς συναγωγὲς καὶ στὶς πλατεῖες, γιὰ νὰ φανοῦν στοὺς ἀνθρώπους. Ἀληθινά, σᾶς λέγω, ὅτι παίρνουν [ἔτσι] τὸν μισθό τους. Ὅταν δὲ νηστεύετε, νὰ μὴν γίνεστε, ὅπως οἱ ὑποκριτές, σκυθρωποί. Διότι ἀφανίζουν τὰ πρόσωπά τους, γιὰ νὰ φανοῦν στοὺς ἀνθρώπους, ὅτι νηστεύουν. Ἀληθινά, σᾶς λέγω, ὅτι παίρνουν [ἔτσι] ὁλόκληρο τὸν μισθό τους». Ἀλλὰ ἐδῶ πρέπει νὰ δοθῆ προσοχὴ στὸν Ἰατρὸ τῶν ψυχῶν, πῶς μὲν διὰ μέσου τῆς ἐλεημοσύνης θεραπεύει τὸν θυμό, διὰ μέσου δὲ τῆς προ-

χῆς, τὸν νοῦν καθαρίζει· καὶ πάλιν διὰ τῆς νηστείας, τὴν ἐπιθυμίαν καταμαραίνει· ἐξ᾽ ὧν συνίσταται ὁ νέος Ἀδάμ, ὁ ἀνακαινούμενος κατ᾽ εἰκόνα τοῦ κτίσαντος αὐτόν· ἐν ᾧ οὐκ ἔστι, διὰ τὴν ἀπάθειαν, ἄρσεν, καὶ θῆλυ· οὐδέ, διὰ τὴν μίαν πίστιν, ἕλλην, καὶ ἰουδαῖος· περιτομή, καὶ ἀκροβυστία· βάρβαρος, καὶ σκύθης· δοῦλος, καὶ ἐλεύθερος· ἀλλὰ τὰ πάντα, καὶ ἐν πᾶσι Χριστός[4].

σευχῆς καθαρίζει τὸν νοῦ. Καὶ πάλι διὰ μέσου τῆς νηστείας καταμαραίνει τὴν ἐπιθυμία. Μ᾽ αὐτοὺς τοὺς τρόπους συγκροτεῖται ὁ νέος Ἀδάμ, αὐτὸς ποὺ ἀνακαινίζεται σύμφωνα μὲ τὴν εἰκόνα Ἐκείνου, ποὺ τὸν δημιούργησε, [τοῦ Χριστοῦ], στὸν ὁποῖο δὲν ὑπάρχει ἕνεκα τῆς ἀπαθείας, [διάκρισι μεταξὺ] ἀρσενικοῦ καὶ θηλυκοῦ, οὔτε ἕνεκα τῆς ἰδίας πίστεως [διάκρισι μεταξὺ] ἕλληνος καὶ ἰουδαίου, περιτομῆς καὶ ἀκροβυστίας, βάρβαρου καὶ σκύθη, δούλου καὶ ἐλευθέρου. Ἀλλὰ ὅλα καὶ σὲ ὅλους [εἶναι] ὁ Χριστός.

ΠΕΡΙ ΕΝΥΠΝΙΩΝ

δ΄. Ζητητέον πῶς ἐν ταῖς καθ᾽ ὕπνον φαντασίαις τυποῦσιν ἡμῶν τὸ ἡγεμονικόν, καὶ σχηματίζουσιν οἱ δαίμονες· τὸ γὰρ τοιοῦτον ἔοικε συμβαίνειν τῷ νῷ, ἢ δι᾽ ὀφθαλμῶν ὁρῶντι, ἢ δι᾽ ἀκοῆς ἀκούοντι, ἢ δι᾽ αἰσθήσεως ὁποιασοῦν· ἢ ἀπὸ τῆς μνήμης· ἥτις τυποῖ τὸ ἡγεμονικόν, ἃ διὰ τοῦ σώματος ἔσχε, ταῦτα κινοῦσα. Οἱ οὖν δαίμονες ἐοίκασί μοι τὴν μνήμην κινοῦντες, τυποῦν τὸ ἡγεμονικόν. Τὸ γὰρ ὄργανον ὑπὸ τοῦ ὕπνου κατέχεται ἀνενέργητον. Πῶς οὖν

4. Αὐτὸ ποὺ πρέπει νὰ ἀναζητήσωμε [εἶναι], πῶς οἱ δαίμονες διὰ τῶν φαντασιῶν κατὰ τὸν χρόνο τοῦ ὕπνου [διὰ τῶν ὀνείρων δηλαδή], μορφώνουν καὶ διαπλάθουν τὸ ἡγεμονικό μας; Αὐτὸ βέβαια φαίνεται νὰ συμβαίνῃ στὸν νοῦ, ἢ ὅταν βλέπῃ μὲ τοὺς ὀφθαλμοὺς ἢ ἀκούῃ διὰ τῆς ἀκοῆς ἢ δι᾽ ἄλλης αἰσθήσεως, ὅποια κι᾽ ἂν εἶναι αὐτὴ ἢ μέσῳ τῆς μνήμης, ἡ ὁποία διαμορφώνει τὸ ἡγεμονικόν [τὸν νοῦ] διεγείρουσα [σ᾽ αὐτὸν] ἐκεῖνα, τὰ ὁποῖα προξένησε [ὁ νοῦς] διὰ τοῦ σώματος. Οἱ δαίμονες λοιπόν, μοῦ φαίνονται, ὅτι μορφοποιοῦν τὸ ἡγεμονικό [τὸν νοῦ] διεγείροντας τὴν μνήμη. Διότι τὸ ὄργανο [τοῦ νοός] κρατιέται ἀνενέργητο ἀπὸ τὸν ὕπνο. Πρέπει λοιπόν,

πάλιν τὴν μνήμην κινοῦσι, ζητητέον; ἢ τάχα διὰ τῶν παθῶν. Καὶ τοῦτο δῆλον, ἐκ τοῦ μηκέτι τοὺς καθαρούς, καὶ ἀπαθεῖς πάσχειν τι τοιοῦτον. Ἔστι δέ τις καὶ κίνησις τῆς μνήμης ἁπλῆ ὑφ' ἡμῶν γινομένη, ἢ ὑπὸ τῶν ἁγίων δυνάμεων, καθ' ἣν ἁγίοις τε συντυγχάνομεν καὶ συνεστιώμεθα. Πλὴν προσεκτέον· ὅτι ἅπερ μετὰ τοῦ σώματος ἡ ψυχὴ εἰσδέχεται εἴδωλα, ταῦτα ἐκτὸς τοῦ σώματος ἡ μνήμη κινεῖ. Καὶ τοῦτο σαφές, ἐκ τοῦ πολλάκις καὶ ἐν τοῖς ὕπνοις πάσχειν ἡμᾶς τοῦτο, ἠρεμοῦντος τοῦ σώματος. Ὡς γάρ ἐστι μνημονεῦσαι ὕδατος, καὶ μετὰ δίψης, καὶ ἄνευ δίψης, οὕτως ἐστὶ μνημονεῦσαι χρυσίου, μετὰ πλεονεξίας, καὶ ἄνευ πλεονεξίας. Καὶ ἐπὶ τῶν ἄλλων δέ, ὡσαύτως. Τὸ δέ, τοιάς δε ἢ τοιάς δε εὑρίσκειν φαντασιῶν διαφοράς, τῆς ἐκείνων κακοτεχνίας ἐστὶ γνώρισμα. Ἅμα δὲ τοῦτο ἰστέον· ὅτι καὶ τοῖς ἔξωθεν πράγμασι κέχρηνται πρὸς φαντασίαν οἱ δαίμονες· οἷον, τῷ ἤχῳ τῶν κυμάτων, ἐπὶ πλεόντων.

νὰ ἀναζητηθῇ, πῶς παρὰ ταῦτα, κινοῦν τὴν μνήμη; Ἢ μήπως μέσῳ τῶν παθῶν; Καὶ αὐτό [εἶναι] φανερὸ ἀπὸ τὸ ὅτι τίποτα τέτοιο δὲν παθαίνουν οἱ καθαροὶ καὶ οἱ ἀπαθεῖς. Ὑπάρχει βέβαια καὶ κάποια κίνησι τῆς μνήμης ἁπλῆ, ἡ ὁποία προκαλεῖται ἀπὸ ἐμᾶς ἢ ἀπὸ τὶς ἅγιες [ἀσώματες] δυνάμεις [τοὺς ἀγγέλους δηλαδή], ἐξ αἰτίας τῆς ὁποίας μὲ τοὺς Ἁγίους καὶ συναντώμεθα καὶ συνευωχούμεθα. Πλὴν σ' αὐτὸ πρέπει νὰ δοθῇ προσοχή, διότι ὅσες ἀκριβῶς μαζὶ μὲ τὸ σῶμα ἡ ψυχὴ προσλαμβάνει εἰκόνες, αὐτὲς χωρὶς τὸ σῶμα, διεγείρει ἡ μνήμη. Καὶ αὐτὸ γίνεται σαφές, ἀπὸ τὸ ὅτι τὸ παθαίνουμε αὐτό, πολλὲς φορὲς ἐμεῖς καὶ κατὰ τὴν διάρκεια τοῦ ὕπνου, ὅταν τὸ σῶμα ἠρεμῇ. Ὅπως βέβαια εἶναι τὸ νὰ φέρῃς στὴν μνήμη σου τὸ νερὸ καὶ μαζὶ μέ [τὸ αἴσθημα] τῆς δίψας καὶ χωρίς [τὸ αἴσθημα] τῆς δίψας, τὸ ἴδιο εἶναι τὸ νὰ φέρῃς στὴν μνήμη σου τὸν χρυσὸ μαζὶ μέ [τὸ πάθος] τῆς πλεονεξίας καὶ χωρίς [τὸ πάθος] τῆς πλεονεξίας. Κατὰ τὸν ἴδιο τρόπο δὲ καὶ ὡς πρὸς ὅλα τὰ ἄλλα. Τὸ νὰ βρίσκῃς ὅμως αὐτοῦ καὶ ἐκείνου τοῦ εἴδους τὶς διαφορὲς τῶν φαντασιῶν, εἶναι γνώρισμα τῆς πανουργίας ἐκείνων [δηλαδὴ τῶν δαιμόνων]. Ἐπίσης πρέπει νὰ γνωρίζῃς καὶ αὐτό, ὅτι οἱ δαίμονες μεταχειρίζονται καὶ τὰ ἐξωτερικὰ πράγματα γιὰ τὴν φαντασία, ὅπως τὸν ἦχο τῶν κυμάτων σ' ἐκείνους ποὺ ταξιδεύουν στὴν θάλασσα.

ε΄. Σφόδρα τῷ σκοπῷ τῶν δαιμόνων ὁ θυμὸς ἡμῶν συμβάλλεται παρὰ φύσιν κινούμενος, καὶ πρὸς πᾶσαν αὐτῶν κακομηχανίαν γίνεται χρησιμώτατος. Ὅθεν νύκτωρ, καὶ μεθ' ἡμέραν ταράσσειν τοῦτον, οὐδεὶς αὐτῶν παραιτεῖται. Ἀλλ' ὅταν ἴδωσιν αὐτὸν δεθέντα πραΰτητι, τοτηνικαῦτα ἐπὶ δικαίαις προφάσεσιν εὐθὺς αὐτὸν ἀπολύουσιν· ἵνα ὀξύτατος γεγονὼς πρὸς τοὺς θηριώδεις αὐτῶν λογισμοὺς χρησιμεύσῃ. Διό περ ἀνάγκη μήτε ἐπὶ δικαίοις, μήτε ἐπὶ ἀδίκοις πράγμασιν αὐτὸν ἐρεθίζειν· μηδὲ κακὸν ξίφος διδόναι τοῖς ὑποβάλλουσιν· ὅπερ πολλάκις πολλοὺς ποιοῦντας ἐπίσταμαι, καὶ πλέον, ἢ χρή, ἐπὶ μικραῖς ἀναπτομένους προφάσεσιν. Ὑπὲρ τίνος γὰρ εἰπέ μοι καὶ περιπίπτεις ταχέως εἰς μάχην; Εἴ περ βρωμάτων, καὶ χρημάτων, καὶ δόξης κατεφρόνησας; Τί δὲ τρέφεις τὸν κύνα, μηδὲν ἔχειν ἐπαγγελλόμενος; Εἰ δὲ οὗτος ὑλακτεῖ καὶ τοῖς ἀνθρώποις ἐπέρχεται, πρόδηλός ἐστι κε-

5. Ὁ θυμός μας, ὅταν κινῆται ἀντίθετα πρὸς τὴν φύσι, συμβάλλει πάρα πολύ, στὸν σκοπὸ τῶν δαιμόνων καὶ γίνεται χρησιμώτατος γιὰ κάθε ραδιουργία τους. Συνεπῶς, κανεὶς ἀπ' αὐτούς [τοὺς δαίμονες] δὲν παραιτεῖται ἀπὸ τὸ νὰ τὸν διεγείρῃ αὐτόν [τὸν θυμό] νύκτα καὶ ἡμέρα. Ὅταν ὅμως τὸν δοῦν νὰ εἶναι δεμένος μὲ τὴν πραότητα, εὐθὺς ἀμέσως τότε τὸν ἐλευθερώνουν [ἀπὸ τὰ δεσμὰ τῆς πραότητας] μὲ δίκαιες προφάσεις, ὥστε, ἀφοῦ γίνῃ ὀξύτατος, χρησιμεύσῃ στοὺς θηριώδεις λογισμούς τους. Γι' αὐτό [εἶναι] ἀνάγκη νὰ μὴν τὸν παροξύνουμε οὔτε χάριν δικαίων οὔτε χάριν ἀδίκων πραγμάτων. Οὔτε νὰ δίδουμε κακὸ ξίφος σ' ἐκείνους, ποὺ εἰσηγοῦνται [τοὺς πονηροὺς λογισμούς], [δηλαδὴ τοὺς δαίμονες], τὸ ὁποῖο γνωρίζω καλά, ὅτι πολλοὶ πολλὲς φορὲς τὸ κάνουν καὶ ὅτι ἐξάπτονται [στὸν θυμό], περισσότερο ἀπ' ὅσο πρέπει, ἀπὸ μικρὲς προφάσεις. Διότι, πές μου, καὶ γιὰ ποιὸ λόγο πέφτεις γρήγορα [εἶσαι ἐπιρρεπὴς] σὲ φιλονεικία, ἐὰν πράγματι κατεφρόνησες τὰ φαγητὰ καὶ τὰ χρήματα καὶ τὴν δόξα; Γιατὶ τρέφεις τὸν σκύλο, ἐνῶ ὑποσχέθηκες, ὅτι δὲν θὰ ἔχῃς τίποτα; Ἐὰν βέβαια αὐτὸς γαυγίζῃ καὶ ἐπιτίθεται στοὺς ἀνθρώπους, γίνεται φανερός, ὅτι κατέχεις κά-

κτημένος τινά, καὶ ταῦτα φυλάσσειν βουλόμενος. Ἀλλ᾽ ἐγὼ τὸν τοιοῦτον, μακρὰν καθαρᾶς προσευχῆς πείθομαι εἶναι, λυμεῶνα τὸν θυμὸν τῆς τοιαύτης εὐχῆς ἐπιστάμενος. Πρὸς δὲ τούτοις, θαυμάζω· ὡς καὶ τῶν ἁγίων ἐπιλελησμένος· τοῦ μὲν Δαβὶδ ἐκβοῶντος· παῦσαι ἀπὸ ὀργῆς, καὶ ἐγκατάλιπε θυμόν[5]. Τοῦ δὲ Ἐκκλησιαστοῦ παραγγέλλοντος· ἀπόστησον θυμὸν ἀπὸ καρδίας σου, καὶ παράγαγε πονηρίαν ἀπὸ σαρκός σου[6]· τοῦ δὲ Ἀποστόλου προστάσσοντος, ἐπαίρειν ἐν παντὶ καιρῷ, καὶ τόπῳ ὁσίας χεῖρας, χωρὶς ὀργῆς, καὶ διαλογισμῶν[7]. Τί δὲ οὐ μανθάνομεν ἀπὸ τῆς ἀνθρώπων μυστικῆς καὶ παλαιᾶς συνηθείας, διωκούσης ἐκ τῶν οἴκων τοὺς κύνας ἐν τῷ καιρῷ τῆς προσευχῆς; Τοῦτο αἰνιττομένης, ὡς οὐ δεῖ παρεῖναι τοῖς προσευχομένοις θυμόν. Καὶ θυμὸς δρακόντων ὁ οἶνος αὐτῶν[8]· οἴνου δὲ οἱ Ναζιραῖοι ἀπείχοντο. Περὶ δὲ τοῦ μὴ δεῖν μεριμνᾷν ἐνδυμάτων ἕνεκα, ἢ βρωμάτων, περιττὸν οἶμαι γράφειν, αὐτοῦ τοῦ Σωτῆρος ἐν

ποια [πράγματα] καὶ ἐπιθυμεῖς νὰ τὰ φυλάξῃς. Ἀλλὰ ἐγὼ πιστεύω, ὅτι αὐτοῦ τοῦ εἴδους [ὁ ἄνθρωπος] εἶναι μακριὰ ἀπὸ τὴν καθαρὰ προσευχή, ἐπειδὴ γνωρίζω ὅτι ὁ θυμὸς εἶναι ἐξολοθρευτὴς αὐτοῦ τοῦ εἴδους προσευχῆς, [τῆς καθαρᾶς προσευχῆς]. Ἐπιπροσθέτως δέ, θαυμάζω, ὅτι καὶ τοὺς Ἁγίους ἔχει λησμονήσει. Τὸν μὲν Δαυΐδ, ὅταν κραυγάζῃ: «Σταμάτησε τὴν ὀργὴ καὶ ἐγκατέλειψε τὸν θυμό». Τὸν δὲ Ἐκκλησιαστή, ὅταν παραγγέλλῃ: «Ἀπομάκρυνε τὸν θυμὸ ἀπὸ τὴν καρδία σου καὶ ἀπόβαλλε τὴν πονηρία ἀπὸ τὴν σάρκα σου». Καὶ τὸν Ἀπόστολο, ὁ ὁποῖος προστάζει νὰ σηκώνουμε σὲ κάθε χρόνο καὶ τόπο ὅσια χέρια [σὲ προσευχή] χωρὶς ὀργὴ καὶ λογισμούς. Γιατὶ ὅμως δὲν διδασκόμεθα ἀπὸ τὴν παλαιὰ καὶ μυστικὴ συνήθεια τῶν ἀνθρώπων, σύμφωνα μὲ τὴν ὁποία ἔδιωχναν ἀπὸ τὰ σπίτια τους τὰ σκυλιὰ κατὰ τὴν ὥρα τῆς προσευχῆς, ἡ ὁποία αὐτὸ ὑπαινίσσεται, ὅτι δὲν πρέπει νὰ παραμένῃ στοὺς προσευχομένους ὁ θυμός. Καί «ὁ οἶνος τους σὰν τὸν θυμὸ τῶν δρακόντων». Τοῦ οἴνου ὅμως ἀπεῖχαν οἱ Ναζιραῖοι [οἱ ἀφιερωμένοι στὸν Θεὸ ἄνθρωποι]. Σχετικὰ δὲ μὲ τὸ ὅτι δὲν πρέπει νὰ μεριμνοῦμε γιὰ ἐνδύματα ἢ τρόφιμα, νομίζω, ὅτι [εἶναι] περιττὸν νὰ γράψω, ἐφόσον ὁ ἴδιος ὁ Σωτήρας

τοῖς εὐαγγελίοις ἀπαγορεύοντος· μὴ μεριμνήσητε γάρ, φησί, τῇ ψυχῇ ὑμῶν, τί φάγητε, ἢ τί πίητε, ἢ τί περιβαλεῖσθε[9]. *Ἐθνικῶν γὰρ ἄντικρυς τοῦτο, καὶ ἀπιστούντων, ἀθετούντων τὴν πρόνοιαν τοῦ δεσπότου, καὶ τὸν δημιουργὸν ἀρνουμένων. Χριστιανῶν δέ, παντελῶς τὸ τοιοῦτον ἀλλότριον, ἅπαξ πεπιστευκότων, ὅτι καὶ τὰ δύο στρουθία τὰ πιπρασκόμενα τῷ ἀσσαρίῳ*[10], *ὑπὸ τὴν οἰκονομίαν τῶν ἁγίων ἀγγέλων ἐστί. Πλήν, ἔστι καὶ αὕτη συνήθεια τῶν δαιμόνων· μετὰ τοὺς ἀκαθάρτους λογισμούς, ἐμβάλλειν καὶ τοὺς τῆς μερίμνης· ἵνα ἐκνεύσῃ ὁ Ἰησοῦς, ὄχλου ὄντος νοημάτων, ἐν τῷ κατὰ διάνοιαν τόπῳ*[11], *καὶ ἄκαρπος γένηται ὁ λόγος, συμπνιγόμενος ὑπὸ τῶν τῆς μερίμνης λογισμῶν. Ἀποθέμενοι τοίνυν αὐτούς, ἐπιῤῥίψωμεν τὴν μέριμναν ἡμῶν πρὸς τὸν Κύριον, τοῖς παροῦσιν ἀρκούμενοι, καὶ πενιχρᾷ ζωῇ χρησάμενοι, καὶ στολῇ, τοὺς πατέρας τῆς κενοδοξίας καθ' ἡμέραν ἀποδυσώμεθα. Εἰδέτις ἀσχημονεῖν*

στὰ εὐαγγέλια τὸ ἀπαγορεύει. Διότι λέγει: «μὴν μεριμνήσετε, στὴν ψυχή σας, τί θὰ φᾶτε ἢ τί θὰ πιεῖτε ἢ τί θὰ φορέσετε». Γιατὶ αὐτὸ εἶναι [ἔργο] ὅλως διόλου εἰδωλολατρῶν καὶ ἐκείνων ποὺ ἀπιστοῦν, ποὺ ἀκυρώνουν τὴν πρόνοια τοῦ Δεσπότου [Χριστοῦ] καὶ τὸν Δημιουργὸ ἀρνοῦνται. Τῶν Χριστιανῶν δέ [εἶναι] ἀπολύτως καὶ ἐντελῶς ξένο κάτι τέτοιο, ἐκείνων ποὺ ἔχουν πιστεύσει ἅπαξ διὰ παντός, ὅτι καὶ τὰ δύο σπουργίτια τὰ ὁποῖα πουλήθηκαν στὴν ἀξία τοῦ ἀσσαρίου, βρίσκονται κάτω ἀπὸ τὴν οἰκονομία τῶν Ἁγίων Ἀγγέλων. Ἀλλὰ ἐπιπλέον καὶ αὐτή [εἶναι] συνήθεια τῶν δαιμόνων: Μετὰ τοὺς ἀκάθαρτους λογισμοὺς νὰ εἰσάγουν [στὸν νοῦ] καὶ ἐκείνους τῆς μέριμνας, γιὰ νὰ ἀπομακρυνθῇ ὁ Ἰησοῦς, ἐξαιτίας τῆς παρουσίας τοῦ πλήθους τῶν νοημάτων μέσα στὸν τόπο τῆς διανοίας καὶ νὰ γίνῃ ἄκαρπος ὁ [θεῖος] λόγος, καθὼς καταπνίγεται ἀπὸ τοὺς λογισμοὺς τῆς μέριμνας. Ἀφοῦ λοιπὸν τοὺς ἀπορρίψουμε, νὰ ἀποθέσουμε πάνω στὸν Κύριο τὴν μέριμνά μας, ἀρκούμενοι σὲ ὅσα ὑπάρχουν [κάθε φορά] καὶ μετερχόμενοι πτωχὴ ζωὴ καί [ντυμένοι πτωχή] ἐνδυμασία, θὰ ρίπτουμε καθημερινὰ μακριὰ ἀπὸ ἐμᾶς τοὺς γεννήτορες τῆς κενοδοξίας. Ἐὰν δὲ κάποιος νομίζῃ, ὅτι συμπεριφέρεται ἀπρεπῶς

ἐπὶ πενιχρᾷ νομίζει στολῇ, βλεπέτω τὸν ἅγιον Παῦλον, ἐν ψύχει, καὶ γυμνότητι[12], *τὸν τῆς δικαιοσύνης προσδοκήσαντα στέφανον*[13]. *Ἀλλ᾽ ἐπειδὴ θέατρον, καὶ στάδιον ὁ Ἀπόστολος τὸν κόσμον ὠνόμασε τοῦτον*[14], *ἴδωμεν, εἴ ἐστι δυνατόν, μερίμνης ἐνδυσάμενον λογισμούς, δραμεῖν ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως τοῦ Θεοῦ*[15]· *ἢ παλαῖσαι πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου*[16]. *Ἐγὼ μὲν οὐκ οἶδα, καὶ ἀπ᾽ αὐτῆς τῆς αἰσθητῆς παιδευόμενος ἱστορίας. Ἐμποδισθήσεται γὰρ ἐκεῖνος δηλονότι ὑπὸ τοῦ χιτῶνος, καὶ περιελκυσθήσεται, καθάπερ ὁ νοῦς ὑπὸ τῶν λογισμῶν τῆς μερίμνης˙ εἴπερ ἀληθινὸς ὁ λόγος ὁ λέγων, τὸν νοῦν τῷ ἰδίῳ προσκαρτερεῖν θησαυρῷ· ὅπου γάρ, φησίν, ὁ θησαυρός σού ἐστιν, ἐκεῖ ἔσται καὶ ἡ καρδία σου*[17].

ς´. Τῶν λογισμῶν, οἱ μὲν τέμνουσιν, οἱ δὲ τέμνονται. Καὶ τέμνουσι μὲν οἱ πονηροὶ τοὺς ἀγαθούς. Τέμνονται δὲ πάλιν ὑπὸ τῶν ἀγαθῶν οἱ πο-

ἐξ αἰτίας τῆς πτωχῆς ἐνδυμασίας, ἂς βλέπῃ τὸν Ἅγιο Παῦλο νὰ προσδοκᾷ τὸν στέφανο τῆς δικαιοσύνης μέσα στὸ ψῦχος καὶ τὴν γυμνότητα. Ἀλλά, ἐπειδὴ ὁ Ἀπόστολος, θέατρο καὶ στάδιο ὀνόμασε αὐτὸν ἐδῶ τὸν κόσμο, ἂς δοῦμε, ἐὰν ἐκεῖνος, ποὺ περιβάλλεται τοὺς λογισμοὺς τῆς μέριμνας, εἶναι δυνατόν, νὰ τρέξῃ γιά [νὰ κερδίσῃ] τὸ βραβεῖο τῆς ἄνω κλήσεως τοῦ Θεοῦ ἢ νὰ παλέψῃ ἐνάντια στὶς ἀρχὲς καὶ τὶς ἐξουσίες καὶ τοὺς κοσμοκράτορες τοῦ σκότους τοῦ αἰῶνος τούτου. Ἐγὼ βέβαια [αὐτό] δέν [τό] γνωρίζω, καθὼς διδάχθηκα καὶ ἀπ᾽ αὐτὴ τὴν ἁπτὴ εἰκόνα: δηλαδὴ προφανῶς θὰ ἐμποδιστῇ ἀπὸ τὸν χιτῶνα καὶ θὰ συρθῇ ἐδῶ καὶ ἐκεῖ, ὅπως ἀκριβῶς ὁ νοῦς ἀπὸ τοὺς λογισμοὺς τῆς μέριμνας, ἐὰν πράγματι [εἶναι] ἀληθινὸς ὁ λόγος, ὁ ὁποῖος λέγει: ὁ νοῦς νὰ μένῃ ἀφοσιωμένος στὸ δικό του θησαυρό. Διότι λέγει: «Ὅπου εἶναι ὁ θησαυρός σου, ἐκεῖ θὰ βρίσκεται καὶ ἡ καρδία σου».

6. Ἀπὸ τοὺς λογισμούς, οἱ μὲν κόβουν, οἱ δὲ κόβονται. Καὶ κόβουν μὲν οἱ πονηροί [λογισμοί] τοὺς ἀγαθούς. Κόβονται δὲ πάλι ἀπὸ τοὺς ἀγαθοὺς οἱ πο-

νηροί. Τοίνυν τὸ Πνεῦμα τὸ Ἅγιον τῷ πρώτῳ τεθέντι προσέχει λογισμῷ, καὶ πρὸς ἐκεῖνον κρίνει ἡμᾶς, ἢ ἀποδέχεται. Ὃ δὲ λέγω, τοιοῦτόν ἐστιν. Ἔχω τινὰ φιλοξενίας λογισμόν, καὶ γοῦν ἔχω, διὰ τὸν Κύριον. Ἀλλ' οὗτος, ἐπελθόντος τοῦ πειράζοντος, τέμνεται· δόξης χάριν, φιλοξενεῖν ὑποβάλλοντος· καὶ πάλιν ἔχω φιλοξενίας λογισμόν, πρὸς τὸ τοῖς ἀνθρώποις φανῆναι. Ἀλλὰ καὶ οὗτος, ἐπελθόντος κρείττονος λογισμοῦ, τέμνεται· τοῦ πρὸς τὸν Κύριον μᾶλλον ἡμῶν τὴν ἀρετὴν ἀπευθύνοντος, καὶ μὴ δι' ἀνθρώπους ταῦτα πράττειν ἡμᾶς καταναγκάζοντος.

ζʹ. Λογισμῶν τῶν ἀγγελικῶν, καὶ τῶν ἀνθρωπίνων, καὶ τῶν ἐκ δαιμόνων, ταύτην τὴν διαφορὰν μετὰ πολλῆς τῆς παρατηρήσεως ἐγνώκαμεν εἶναι· ὅτι πρῶτον μέν, οἱ ἀγγελικοί, τὰς φύσεις τῶν πραγμάτων περιεργάζονται, καὶ τοὺς πνευματικοὺς αὐτῶν ἐξιχνιάζουσι λόγους· οἷον, τίνος χάριν γένηται ὁ χρυσὸς καὶ διατὶ ψαμ-

νηροί. Ἑπομένως τὸ Πνεῦμα τὸ Ἅγιον προσέχει τὸν λογισμό, ὁ ὁποῖος τίθεται [στὸ νοῦ] πρῶτος καὶ σύμφωνα μ' ἐκεῖνον μᾶς καταδικάζει ἤ [μᾶς] ἐπιδοκιμάζει. Ἐκεῖνο δηλαδὴ τὸ ὁποῖο λέγω, εἶναι αὐτό: Ἔχω [παραδείγματος χάριν] κάποιον λογισμὸ φιλοξενίας καὶ πράγματι [τόν] ἔχω χάριν τοῦ Κυρίου. Ἀλλὰ αὐτός [ὁ λογισμός] ἀποκόπτεται, ὅταν ἔρθῃ ἐκεῖνος ποὺ ἐκπειράζει [ὁ διάβολος], μὲ τὸ νά [μοῦ] ὑποβάλλῃ νὰ φιλοξενῶ χάριν τῆς καλῆς μου φήμης. Καὶ πάλι ἔχω λογισμὸ φιλοξενίας, μὲ σκοπὸ νὰ φανῶ στοὺς ἀνθρώπους. Ἀλλὰ καὶ αὐτὸς ἀποκόπτεται, ὅταν ἐπέλθῃ ἀνώτερος λογισμός, ὁ ὁποῖος κατευθύνει μᾶλλον τὴν ἀρετὴ πρὸς τὸν Κύριο καὶ μᾶς ἐξαναγκάζει νὰ μὴν πράττωμε αὐτὰ γιὰ χάρι τῶν ἀνθρώπων.

7. Ἔχουμε ἀντιληφθῆ μετὰ ἀπὸ πολλὴ παρατήρησι ὅτι ἡ διαφορὰ μεταξὺ τῶν ἀγγελικῶν καὶ τῶν ἀνθρωπίνων καὶ τῶν δαιμονικῶν λογισμῶν, εἶναι αὐτή: ὅτι πρῶτον μέν, οἱ ἀγγελικοί [λογισμοί] ἐξετάζουν προσεκτικὰ τὶς φύσεις τῶν πραγμάτων καὶ ἀνιχνεύουν τοὺς πνευματικούς τους λόγους, ὅπως γιὰ παράδειγμα, πρὸς χάριν Ποιοῦ ἔγινε ὁ χρυσὸς καὶ γιατὶ σὲ

μώδης κάτωπου τοῖς μορίοις τῆς γῆς ἐγκατέσπαρται, καὶ μετὰ πολλοῦ καμάτου καὶ πόνου εὑρίσκεται; Πῶς δὲ εὑρεθείς, ὕδατι πλύνεται, καὶ πυρὶ παραδίδοται, καὶ οὕτως εἰς τεχνιτῶν ἐμβάλλεται χεῖρας· τῶν ποιούντων τῆς σκηνῆς τὴν λυχνίαν, καὶ τὸ θυμιατήριον, καὶ τὰς θυΐσκας, καὶ τὰς φιάλας[18]*, ἐν οἷς οὐκ ἔτι νῦν πίνει διὰ τὴν χάριν τοῦ Σωτῆρος ἡμῶν, ὁ βαβυλώνιος Βασιλεύς*[19]*. Κλεόπας δὲ φέρει καρδίαν καιομένην*[20]*, ὑπὸ τούτων τῶν μυστηρίων. Ὁ δὲ δαιμονιώδης λογισμός, ταῦτα οὔτε οἶδεν, οὔτε ἐπίσταται. Μόνην δὲ τὴν κτῆσιν τοῦ αἰσθητοῦ χρυσίου ἀναιδῶς ὑποβάλλει, καὶ τὴν ἐκ τούτου τρυφήν τε, καὶ δόξαν ἐσομένην προλέγει. Ὁ δὲ ἄνθρώπινος λογισμός, οὐδὲ τὴν κτῆσιν ἐπιζητεῖ, οὐδὲ τίνος ἐστὶ περιεργάζεται σύμβολον ὁ χρυσός· ἀλλὰ μόνον εἰς τὴν διάνοιαν, τοῦ χρυσοῦ τὴν μορφὴν εἰσφέρει ψιλήν, πάθους καὶ πλεονεξίας κεχωρισμένην. Ὁ δὲ αὐτὸς λόγος, καὶ ἐπὶ τῶν ἄλλων πραγμάτων ῥη-*

μορφὴ ἄμμου κάπου κάτω στὰ [διάφορα] μέρη τῆς γῆς ἔχει διασκορπιστῆ καὶ ἀνευρίσκεται μετὰ ἀπὸ πολὺ κόπο καὶ μόχθο; Πῶς δέ, ὅταν βρεθῇ πλένεται μὲ νερὸ καὶ παραδίδεται στὴν φωτιὰ καὶ ἔτσι τίθεται μέσα στὰ χέρια τῶν τεχνιτῶν ἐκείνων ποὺ κατασκευάζουν τὴν λυχνία τῆς σκηνῆς καὶ τὸ θυμιατήριο καὶ τὰ μικρὰ θυμιατήρια καὶ τὶς φιάλες, στὶς ὁποῖες δὲν πίνει πλέον τώρα ἐξ αἰτίας τῆς Χάριτος τοῦ Σωτῆρος μας ὁ βαβυλώνιος βασιλέας. Ὁ Κλεόπας ὅμως ἔχει τὴν καρδία του νὰ καίγεται ἀπ᾽ αὐτὰ τὰ μυστήρια. Ὁ δὲ δαιμονιώδης λογισμός, αὐτὰ οὔτε τὰ γνωρίζει, οὔτε τὰ κατανοεῖ. Ἀλλὰ μόνη τὴν ἀπόκτησι τοῦ αἰσθητοῦ χρυσοῦ ὑποβάλλει μὲ ἀναίδεια καὶ προλέγει τὴν ἐξ αἰτίας αὐτοῦ [τοῦ χρυσοῦ] καὶ τρυφὴ καὶ δόξα, ποὺ πρόκειται νὰ ὑπάρξῃ. Ὁ δὲ ἀνθρώπινος λογισμὸς οὔτε τὴν ἀπόκτησι [τοῦ χρυσοῦ] ἐπιζητεῖ, οὔτε προσεκτικὰ ἐξετάζει τίνος σύμβολο εἶναι ὁ χρυσός, ἀλλὰ μόνο φέρνει μέσα στὴν διάνοια τὴν μορφὴ τοῦ χρυσοῦ γυμνή, διαχωρισμένη ἀπὸ πάθος καὶ πλεονεξία. Ὁ ἴδιος βέβαια λόγος καὶ γιὰ τὰ ἄλλα πράγματα θὰ

θήσεται, κατὰ τὸν κανόνα τοῦτον μυστικῶς γυμναζόμενος.

η'. Ἔστι δαίμων, πλάνος λεγόμενος, καὶ ὑπὸ τὴν ἕω μάλιστα τοῖς ἀδελφοῖς παρίσταται· ὅς τις περιάγει τὸν νοῦν, ἀπὸ πόλεως εἰς πόλιν, καὶ ἀπὸ κώμης εἰς κώμην, καὶ ἀπὸ οἰκίας εἰς οἰκίαν· ψιλὰς δῆθεν τὰς συντυχίας ποιούμενον· καὶ γνωρίμοις τισὶ συντυγχάνοντα μακρότερα, καὶ τὴν οἰκείαν πρὸς τοὺς ἀπαντῶντας κατάστασιν διαφθείροντα· καὶ μακρὰν γινόμενον κατ᾽ ὀλίγον τῆς γνώσεως τοῦ Θεοῦ, καὶ τῆς ἀρετῆς, καὶ τοῦ ἐπαγγέλματος λήθην λαμβάνοντα. Δεῖ οὖν τὸν ἀναχωροῦντα, τοῦτον τηρεῖν, πόθεν τε ἔρχεται, καὶ ποῦ καταλήγει. Οὐ γὰρ εἰκῇ, οὐδὲ ὡς ἔτυχε τὸν μακρὸν ἐκεῖνον κύκλον ἐργάζεται. Ἀλλὰ τὴν κατάστασιν τοῦ ἀναχωροῦντος διαφθείρειν βουλόμενος, ταῦτα ποιεῖ· ἵνα ἐκκαυθεὶς ἐκ τούτων ὁ νοῦς, καὶ ἐκ τῶν πολλῶν συντυχιῶν μεθυσθείς, εὐθέως τῷ τῆς πορνείας, ἢ τῷ τῆς ὀργῆς, ἢ τῷ τῆς λύπης δαίμονι περιπέσῃ· οἵ τι-

εἰπωθῇ, ἀφοῦ ἀσκήθηκε [γιὰ κάτι τέτοιο] μυστικά, σύμφωνα μὲ αὐτὸν τὸν κανόνα.

8. Ὑπάρχει δαίμονας, ὁ ὁποῖος λέγεται πλάνος καὶ κατὰ τὴν πρωϊνὴ ὥρα, ὡς ἐπὶ τὸ πλεῖστον παρουσιάζεται στοὺς ἀδελφούς, ὁ ὁποῖος περιφέρει τὸν νοῦ ἀπὸ πόλι σὲ πόλι καὶ ἀπὸ χωριὸ σὲ χωριὸ καὶ ἀπὸ σπίτι σὲ σπίτι, γιὰ νὰ κάνῃ δῆθεν ἀθῶες συναναστροφές. Καὶ ὅταν [ὁ νοῦς] συναναστραφῇ γιὰ μακρό [χρονικὸ διάστημα] κάποιους γνωρίμους [τότε] καὶ τὴν σχέσι οἰκειότητος πρὸς ἐκείνους, ποὺ συναντᾶ καταστρέφει. Καὶ ἀπομακρυνόμενος βαθμηδὸν ἀπὸ τὴν γνῶσι τοῦ Θεοῦ καὶ ἀπὸ τὴν ἀρετή [τὸν πνευματικὸ ἀγῶνα], λησμονεῖ [ἐν τέλει] καὶ τήν [μοναχική του] ἰδιότητα. Πρέπει λοιπὸν ὁ [μοναχός], ποὺ ἔφυγε [ἀπὸ τὸν κόσμο], νὰ παρατηρῇ αὐτόν [τὸν δαίμονα] καὶ ἀπὸ ποῦ ἔρχεται καὶ ποῦ σταματᾶ. Διότι ὄχι χωρὶς λόγο, οὔτε ὅπως ἔτυχε, ἀπεργάζεται [ὁ δαίμονας] τὸν μακρὺ ἐκεῖνο κύκλο, ἀλλὰ ἐπειδὴ θέλει νὰ καταστρέψῃ τὴν κατάστασι τοῦ μοναχοῦ, κάνει αὐτά· ὥστε ἐξαπτόμενος ὁ νοῦς ἀπὸ αὐτὰ καὶ ἀφοῦ μεθύσῃ ἀπὸ τὶς πολλὲς συναντήσεις, ἀμέσως νὰ περιπέσῃ εἴτε στὸν δαίμονα τῆς πορνείας εἴτε τῆς ὀργῆς εἴτε σ᾽ [ἐκεῖνον] τῆς λύπης, οἱ ὁ-

νες μάλιστα λυμαίνονται τῆς καταστάσεως αὐτοῦ τὴν λαμπρότητα. Ἀλλ᾽ ἡμεῖς, εἴπερ ἔχομεν σκοπὸν τοῦ γνῶναι σαφῶς τὴν τούτου πανουργίαν, μὴ ταχέως φθεγξώμεθα πρὸς αὐτόν, μηδὲ μηνύσωμεν τὰ γινόμενα, πῶς κατὰ διάνοιαν τὰς συντυχίας ἐργάζεται, καὶ τίνα τρόπον κατ᾽ ὀλίγον ἐλαύνει τὸν νοῦν πρὸς τὸν θάνατον, ἐπεὶ φεύξεται ἀφ᾽ ἡμῶν. Ὁρᾶσθαι γὰρ ταῦτα πράττων, οὐ καταδέχεται. Καὶ οὐδὲν λοιπὸν εἰσόμεθα, ὧν μαθεῖν ἐσπουδάκαμεν. Ἀλλὰ καὶ ἄλλην μίαν ἡμέραν, ἢ καὶ δευτέραν, συγχωρήσωμεν αὐτῷ τελειῶσαι τὸ δρᾶμα˙ ἵνα ἀκριβῶς μαθόντες αὐτοῦ τὸ σκευώρημα, λόγῳ μετὰ ταῦτα ἐλέγχοντες αὐτὸν φυγαδεύσωμεν. Ἀλλ᾽ ἐπειδὴ κατὰ τὸν καιρὸν τοῦ πειρασμοῦ συμβαίνει τεθολωμένον ὄντα τὸν νοῦν, μὴ ἀκριβῶς ἰδεῖν τὰ γινόμενα, μετὰ τὴν ἀναχώρησιν τοῦ δαίμονος τοῦτο γινέσθω. Καθεσθείς, μνημόνευσο κατὰ σεαυτὸν τῶν συμβεβηκότων σοι πραγμάτων, πόθεν τε ἤρξω, καὶ ποῦ ἐπορεύθης, καὶ ἐν ποίῳ τό-

ποῖοι κατ᾽ ἐξοχὴν καταστρέφουν τὴν λαμπρότητα τῆς καταστάσεώς του. Ἀλλὰ ἐμεῖς, ἂν πράγματι ἔχωμε σκοπὸ νὰ γνωρίσουμε μὲ σαφήνεια τὴν πανουργία αὐτοῦ, [νὰ ἀποκτήσουμε δηλαδὴ ἐμπειρία τοῦ πνευματικοῦ πολέμου] ἂς μὴν ἀπαντήσουμε ἀμέσως πρὸς αὐτόν, οὔτε νὰ ἀναγγείλλουμε αὐτὰ ποὺ γίνονται, [δηλαδή] πῶς ἐνεργεῖ τὶς συναναστροφὲς κατὰ διάνοια καὶ μὲ ποιὸν τρόπο βαθμηδὸν ὠθεῖ τὸν νοῦ στὸν θάνατο, ἐπειδὴ θὰ φύγῃ ἀπὸ ἐμᾶς. Διότι δὲν καταδέχεται νά [τόν] βλέπουν, ὅτι κάνει αὐτά. Καὶ τίποτα λοιπὸν δὲν θὰ δοῦμε ἀπὸ ἐκεῖνα, ποὺ ἐπιδιώξαμε νὰ μάθουμε. Ἀλλὰ νὰ τοῦ ἐπιτρέψωμε καὶ ἄλλη μία μέρα ἢ καὶ δεύτερη νὰ ὁλοκληρώσῃ τὴν [κακή του] ἐργασία, ὥστε, ἀφοῦ μάθουμε μὲ ἀκρίβεια τὴν σκευωρία του, μετὰ ἀπ᾽ αὐτό, ἐλέγχοντάς [τον] μὲ λόγο, νὰ τὸν ἐκδιώξουμε μακριά. Ἀλλὰ ἐπειδὴ κατὰ τὸν καιρὸ τοῦ πειρασμοῦ συμβαίνει, ἐπειδὴ εἶναι ὁ νοῦς σκοτισμένος, νὰ μὴν ἰδῇ μὲ ἀκρίβεια, ὅσα γίνονται, νὰ γίνῃ αὐτὸ μετὰ τὴν ἀναχώρησι τοῦ δαίμονος. Ἀφοῦ καθίσῃς, ἐπανέφερε μέσα στὴν μνήμη σου, ὅσα περιστατικὰ σοῦ συνέβησαν καὶ ἀπὸ ποῦ ξεκίνησες καὶ ποῦ περπάτησες καὶ σὲ ποιὸν τό-

πῳ συνελήφθης ὑπὸ τοῦ πνεύματος τῆς πορνείας, ἢ τῆς λύπης, ἢ τῆς ὀργῆς, καὶ πῶς πάλιν γέγονε τὰ γινόμενα. Ταῦτα κατάμαθε, καὶ παράδος τῇ μνήμῃ, ἵν᾿ ἔχῃς ἐλέγχειν αὐτὸν προσιόντα. Καὶ τὸν κρυπτόμενον ὑπ᾿ αὐτοῦ τόπον καταμήνυε, καὶ οὐκ ἀκολουθήσεις αὐτῷ λοιπόν. Εἰ δὲ βούλει καὶ εἰς μανίαν προσκαλέσασθαι αὐτόν, ἔλεγξον αὐτὸν εὐθὺς ἐπιστάντα, καὶ τὸν πρῶτον τόπον εἰς ὃν εἰσῆλθες λόγῳ φανέρωσον, καὶ τὸν δεύτερον, καὶ τὸν τρίτον. Πάνυ γὰρ χαλεπαίνει, μὴ φέρων τὴν αἰσχύνην. Ἀπόδειξις δὲ ἔστω τοῦ καιρίως σε φθέγξασθαι πρὸς αὐτόν, τὸ πεφευγέναι τὸν λογισμὸν ἀπὸ σοῦ. Ἀδύνατον γὰρ στῆναι, φανερῶς ἐλεγχόμενον. Τοῦτον δὲ ἡττηθέντα τὸν δαίμονα, διαδέχεται ὕπνος βαρύτατος, καὶ νέκρωσις μετὰ ψυχρότητος πολλῆς βλεφάρων, καὶ χάσμαι ἄπειροι, καὶ ὦμοι βαρούμενοι· ἅπερ πάντα τῇ συντόνῳ προσευχῇ διαλύει τὸ Πνεῦμα τὸ Ἅγιον.

θ΄. Πάνυ τὸ μῖσος τὸ κατὰ

πο κατελήφθης ἀπὸ τὸ πνεῦμα τῆς πορνείας ἢ τῆς λύπης ἢ τῆς ὀργῆς καὶ πάλι πῶς ἔχουν γίνει τὰ γεγονότα. Αὐτὰ μάθε τα μὲ ἀκρίβεια καὶ κράτησέ τα στὴν μνήμη, γιὰ νὰ ἔχῃς τὴν δύναμι νὰ τὸν καταισχύνῃς [δηλαδὴ τὸν δαίμονα], ὅταν ἐμφανιστῇ. Καὶ τὴν ἀφορμή [τῆς ἁμαρτίας], ἡ ὁποία ἀποκρύπτεται ἀπ᾿ αὐτόν, ἀποκάλυπτε [ἐξαγορεύσου] καὶ δὲν θὰ τὸν ἀκολουθήσῃς πλέον. Ἐὰν δὲ καὶ ἐπιθυμῇς νὰ τὸν προσκαλέσῃς μὲ σκοπὸ νὰ ἐκμανῇ, μόλις ἐμφανιστῇ, ἔλεγξέ τον καὶ τὴν πρώτη ἀφορμή [τῆς ἁμαρτίας], στὴν ὁποία εἰσῆλθες, ἀποκάλυψέ την μὲ λόγο καὶ τὴν δεύτερη καὶ τὴν τρίτη. Διότι πάρα πολὺ ὀργίζεται, ἐπειδὴ δὲν ὑποφέρει τὴν ντροπή. Καὶ ἂς εἶναι ἀπόδειξι τοῦ ὅτι ἐσὺ μίλησες πρὸς αὐτὸν μὲ τρόπο ἀποτελεσματικό, τὸ ὅτι ἔχει φύγει ὁ λογισμὸς ἀπὸ ἐσένα. Διότι εἶναι ἀδύνατον νὰ σταθῇ, ὅταν ἐλέγχεται φανερά. Ὅταν δὲ νικηθῇ αὐτὸς ὁ δαίμονας, ἀκολουθεῖ βαρύτατος ὕπνος καὶ νάρκωσι μὲ μεγάλη ἀναισθησία τῶν βλεφάρων καὶ ἄπειρα χασμουρητὰ καὶ πεσμένοι ὦμοι, τὰ ὁποῖα ὅλα διὰ ἐντόνου προσευχῆς διαλύει τὸ Πνεῦμα, τὸ Ἅγιο.

9. Πάρα πολὺ συντελεῖ τὸ μῖσος

δαιμόνων, ἡμῖν πρὸς σωτηρίαν συμβάλλεται καὶ πρὸς τὴν ἐργασίαν ἀρετῆς ἐστιν ἐπιτήδειον. Καὶ τοῦτο ἐκτρέφειν παρ' ἑαυτοῖς, ὥς περ τι γέννημα ἀγαθόν, οὐκ ἰσχύομεν· τῶν φιληδόνων πνευμάτων διαφερόντων αὐτό, καὶ πρὸς φιλίαν καὶ συνήθειαν τὴν ψυχὴν πάλιν ἐκκαλουμένων. Ἀλλὰ ταύτην τὴν φιλίαν, μᾶλλον καὶ τὴν δυσίατον γάγγραιναν, ὁ ἰατρὸς τῶν ψυχῶν, δι' ἐγκαταλείψεως θεραπεύει. Συγχωρεῖ γάρ τι φοβερὸν παθεῖν ἡμᾶς ὑπ' αὐτῶν νύκτωρ, καὶ μεθ' ἡμέραν. Καὶ πάλιν ἡ ψυχὴ πρὸς ἀρχέτυπον μῖσος ἐπανατρέχει, διδασκομένη πρὸς τὸν Κύριον λέγειν κατὰ τὸν Δαβίδ· τό, τέλειον μῖσος ἐμίσουν αὐτούς, εἰς ἐχθροὺς ἐγένοντό μοι[21]*. Οὗτος γὰρ τέλειον μῖσος μισεῖ τοὺς ἐχθρούς, ὁ μήτε κατ' ἐνέργειαν, μήτε κατὰ διάνοιαν ἁμαρτάνων· ὅπερ τῆς μεγίστης, καὶ πρώτης ἀπαθείας ἐστὶ τεκμήριον.*

ι'. Περὶ δὲ τοῦ δαίμονος τοῦ τὴν ψυχὴν ποιοῦντος ἀναίσθητον, τί δεῖ καὶ λέγειν; Ἐγὼ γὰρ δέδοικα γράφειν περὶ

ἐναντίον τῶν δαιμόνων στὸ σκοπὸ τῆς σωτηρίας μας καὶ εἶναι χρήσιμο γιὰ τὴν ἐργασία τῆς ἀρετῆς. Ἀλλὰ αὐτὸ δὲν δυνάμεθα νὰ τὸ καλλιεργοῦμε μέσα μας, ὡσὰν κάποιον ὠφέλιμο καρπό, ἐπειδὴ τὰ φιλήδονα πνεύματα τὸ διασκορπίζουν καὶ πάλι παρακινοῦν τὴν ψυχὴ στὴν φιλία καὶ τὴν σχέσι μαζί [τους]. Ἀλλὰ αὐτὴ τὴ φιλία, μᾶλλον δὲ τὴν δυσκολοθεράπευτη γάγγραινα, ὁ Ἰατρὸς τῶν ψυχῶν, [τήν] θεραπεύει μέσῳ τῆς θεοεγκαταλείψεως. Διότι ἐπιτρέπει νὰ πάθουμε ἐμεῖς κάτι φοβερὸ ἀπ' αὐτοὺς κατὰ τὴν διάρκεια τῆς νύκτας καὶ μετὰ τὴν ἡμέρα. Καὶ πάλι ἡ ψυχὴ τρέχει πίσω στὸ ἰδεῶδες [γιὰ τὴν σωτηρία] μῖσος, ἀφοῦ διδάσκεται νὰ λέγῃ πρὸς τὸν Κύριο, σύμφωνα μὲ τὸν Δαυΐδ: «Τοὺς ἐμίσησα μὲ τὸ τέλειο μῖσος, μοῦ ἔγιναν ἐχθροί». Μισεῖ βέβαια, μὲ τέλειο μῖσος τοὺς ἐχθρούς, ἐκεῖνος ποὺ δὲν ἁμαρτάνει οὔτε στὴν πρᾶξι, οὔτε στὸν λογισμό, τὸ ὁποῖο εἶναι ἀπόδειξι τῆς πλέον ὑψηλῆς καὶ κορυφαίας [σὲ βαθμό] ἀπαθείας.

10. Σχετικὰ δὲ μὲ τὸν δαίμονα, ὁ ὁποῖος κάνει τὴν ψυχὴ ἀναίσθητη, καὶ τί πρέπει νὰ πῶ; Γιατὶ ἐγὼ φοβοῦμαι νὰ γράψω γι' αὐ-

αὐτοῦ. Πῶς ἡ ψυχὴ τῆς οἰκείας ἐξίσταται καταστάσεως παρὰ τὸν καιρὸν τῆς ἐπιδημίας αὐτοῦ, καὶ τὸν φόβον Κυρίου, καὶ τὴν εὐλάβειαν ἀποδύεται· καὶ τὴν ἁμαρτίαν, οὐχ ἁμαρτίαν λογίζεται· καὶ τὴν παρανομίαν, οὐ νομίζει παρανομίαν· κολάσεώς τε καὶ κρίσεως αἰωνίου, ὡς ψιλοῦ ῥήματος μέμνηται· καταγελᾷ δὲ ὄντως σεισμοῦ πυρφόρου· καὶ Θεὸν μὲν δῆθεν ὁμολογεῖ· τὴν δὲ πρόσταξιν αὐτοῦ οὐκ ἐπίσταται. Τύπτεις εἰς τὰ στήθη, κινουμένης αὐτῆς πρὸς τὴν ἁμαρτίαν, καὶ αὕτη οὐκ αἰσθάνεται. Ἀπὸ Γραφῶν διαλέγῃ, καὶ ὅλη πεπώρωται, καὶ οὐκ ἀκούει. Ὄνειδος αὐτῇ τὸ παρὰ τῶν ἀνθρώπων προσφέρεις, καὶ οὐ λογίζεται. Τὴν παρὰ τοῖς ἀνθρώποις αἰσχύνην, καὶ αὐτὴ οὐ συνίησι, δίκην χοίρου καμμύσαντος καὶ τὸν φραγμὸν διακόψαντος. Τοῦτον δὲ τὸν δαίμονα, κενοδοξίας χρονίσαντες ἐπάγουσι λογισμοί. Οὗ, εἰμὴ ἐκολοβώθησαν αἱ ἡμέραι ἐκεῖναι, οὐκ ἂν ἐσώθη πᾶσα σάρξ[22]. *Καὶ γὰρ τῶν σπανίως παραβαλλόντων ἐ-*

τόν. Πῶς ἡ ψυχὴ χάνει τὴν συνήθη της [πνευματική] κατάστασι κατὰ τὴν περίοδο τῆς ἐλεύσεώς του καὶ ἀπεκδύεται τὸν φόβο τοῦ Κυρίου καὶ τὴν εὐλάβεια καὶ τὴν ἁμαρτία δὲν τὴν λογαριάζει γιὰ ἁμαρτία, καὶ τὴν ἀνομία δὲν τὴν ἀναγνωρίζει σὰν ἀνομία. Τόσο τὴν κόλασι, ὅσο καὶ τὴν αἰώνιο καταδίκη, ὡς λόγο δίχως περιεχόμενο [τόν] μνημονεύει. Καὶ περιγελᾶ πραγματικὰ τὸν καταφλέγοντα κλονισμό [τῆς αἰωνίου κολάσεως]. Καὶ ναὶ μὲν ὁμολογεῖ δῆθεν τὸν Θεό, τὴν δὲ ἐντολὴ Ἐκείνου δὲν γνωρίζει. Χτυπᾶς στὰ στήθη, ὅταν αὐτὴ κινῆται πρὸς τὴν ἁμαρτία καὶ αὐτὴ δὲν αἰσθάνεται. Διαλέγεται [μιλᾶ] ἀπὸ τὶς [θεῖες] Γραφὲς καὶ ὁλόκληρη ἔχει πωρωθῆ καὶ δὲν ἀκούει. Τῆς παρουσιάζεις τὸ ὄνειδος ἐκ μέρους τῶν ἀνθρώπων καὶ δέν [τό] ὑπολογίζει, τὴν καταισχύνη ἀπὸ τοὺς ἀνθρώπους καὶ αὐτὴ δὲν ἀκούει, ὅπως ὁ χοῖρος, ὅταν ἀποκοιμήθηκε καὶ ἔκοψε τὸν φράχτη πέρα ὡς πέρα. Αὐτὸν δὲ τὸν δαίμονα, τὸν ἐπιφέρουν λογισμοὶ κενοδοξίας ποὺ ἔχουν χρονίσει. Τοῦ ὁποίου, ἐὰν δὲν περικόπτοντο ἐκεῖνες οἱ ἡμέρες, δὲν θὰ ἦταν δυνατὸν νὰ σωθῇ κανεὶς ἄνθρωπος. Διότι εἶναι ἀπὸ ἐκείνους, ποὺ σπανίως πλησιά-

στὶ τοῖς ἀδελφοῖς. Καὶ ἡ αἰτία πρόδηλος. Ἐπὶ γὰρ συμφοραῖς ἑτέρων, καὶ ἐν νόσοις πιεζομένων, ἢ ἐν φυλακαῖς δυστυχούντων ἢ αἰφνιδίῳ περιπιπτόντων θανάτῳ, φυγαδεύεται οὗτος· τῆς ψυχῆς κατὰ μικρὸν κατανυσσομένης, καὶ εἰς συμπάθειαν ἐρχομένης, διαλυομένου τοῦ ἐκ δαιμονίου συνισταμένου πωρώματος. Ὧν ἡμεῖς ἀποροῦμεν διὰ τὴν ἐρημίαν καὶ τὴν σπάνιν τῶν παρ' ἡμῖν ἀσθενούντων. Τοῦτον τὸν δαίμονα μάλιστα φυγαδεύων ὁ Κύριος, ἐν τοῖς Εὐαγγελίοις προσέταξεν ἀσθενοῦντας ὁρᾷν καὶ τοὺς ἐν φυλακῇ ἐπισκέπτεσθαι. Ἀσθενὴς γὰρ ἤμην φησί, καὶ ἤλθετε πρός με[23]. Πλὴν τοῦτο ἰστέον· εἴτις τῶν ἀναχωρούντων περιπεσὼν τούτῳ τῷ δαίμονι, λογισμοὺς οὐκ ἔλαβε πορνικούς, ἢ τὸν οἶκον ἀπὸ ἀκηδίας οὐ καταλέλοιπεν, οὗτος ὑπομονὴν καὶ σωφροσύνην ἀπ' οὐρανῶν ὑπεδέξατο κατελθοῦσαν, καὶ μακάριος τῆς τοιαύτης ἀπαθείας ἐστίν. Ὅσοι δὲ τῶν ἐπαγγελομένων θεοσέβειαν[24] ἀσκεῖν, κοσμικοῖς συναυλίζεσθαι προαιροῦνται,

ζουν τοὺς ἀδελφούς. Καὶ ἡ αἰτία εἶναι ὁλοφάνερη. Διότι στὶς συμφορὲς ἄλλων καὶ ἐκείνων, ποὺ ὑποφέρουν ἀπὸ ἀσθένειες ἢ δυστυχοῦν στὶς φυλακὲς ἢ πεθαίνουν αἰφνιδίως, αὐτός [ὁ δαίμονας τῆς ἀναισθησίας] ἐξορίζεται, ἐπειδὴ κατανύσσεται λίγο ἡ ψυχὴ καὶ ἔρχεται σὲ συμπάθεια, καὶ διαλύεται ἡ πώρωσι, ποὺ ἔγινε ἀπὸ τὸν δαίμονα. Αὐτὰ ἐμεῖς τὰ στερούμεθα ἐξ αἰτίας τῆς ἐρήμου, [ὅπου ἀσκούμεθα] καὶ τῆς σπανιότητος [τῆς παρουσίας] ἀνάμεσά μας ἐκείνων, ποὺ ἀσθενοῦν. Αὐτὸν τὸν δαίμονα μάλιστα διώχνοντας μακριὰ ὁ Κύριος στὰ Εὐαγγέλια, προσέταξε νὰ κοιτᾶμε ἐκείνους, ποὺ ἀσθενοῦν καὶ νὰ ἐπισκεπτώμεθα ἐκείνους, ποὺ βρίσκονται στὴν φυλακή. Διότι ἤμουν ἀσθενής, εἶπε, καὶ ἤρθατε σ' ἐμένα. Ὅμως καὶ αὐτὸ πρέπει νὰ γίνῃ γνωστό: Ἐὰν κάποιος ἀπὸ τοὺς ἀναχωρητάς [μοναχούς], ἂν καὶ περιέπεσε σ' αὐτὸν τὸν δαίμονα, δὲν δέχθηκε λογισμοὺς πορνικοὺς ἢ δὲν ἐγκατέλειψε τὸ κελλί του ἐξ αἰτίας τῆς ἀκηδίας, αὐτὸς ὑποδέχθηκε τὴν ὑπομονὴ καὶ τὴν σωφροσύνην, ποὺ κατέβηκε ἀπὸ τοὺς οὐρανοὺς καὶ εἶναι μακάριος ἕνεκα μιᾶς τέτοιου εἴδους ἀπαθείας. Ὅσοι δὲ ἀπὸ ἐκείνους, ποὺ ἔχουν ὑποσχεθῆ νὰ ἀσκοῦν θεοσέβεια, προτιμοῦν νὰ συναναστρέφωνται μὲ κοσμικούς, ἂς

φυλασσέσθωσαν τοῦτον τὸν δαίμονα. Ἐγὼ γὰρ περὶ αὐτοῦ πλέον λέγειν, ἢ γράφειν, καὶ τοὺς ἀνθρώπους αἰσχύνομαι.

φυλάγουν τὸν ἑαυτό τους ἀπ᾽ αὐτὸν τὸν δαίμονα. Ἐγὼ βέβαια νὰ πῶ ἢ νὰ γράψω περισσότερο σχετικὰ μ᾽ αὐτὸν καὶ τοὺς ἀνθρώπους ντρέπομαι.

ΠΕΡΙ ΔΑΙΜΟΝΟΣ ΤΗΣ ΛΥΠΗΣ

ια΄. Πάντες οἱ δαίμονες, φιλήδονον διδάσκουσι τὴν ψυχήν, μόνος δὲ ὁ τῆς λύπης δαίμων, τοῦτο πράττειν οὐ καταδέχεται· ἀλλὰ τῶν εἰσελθόντων τοὺς λογισμοὺς διαφθείρει, πᾶσαν ἡδονὴν τῆς ψυχῆς περικόπτων, καὶ ξηραίνων διὰ τῆς λύπης, εἴπερ ἀνδρὸς λυπηροῦ ξηραίνεται τὰ ὀστᾶ[25]*. Καὶ μετρίως μὲν πολεμῶν, δόκιμον τὸν ἀναχωρητὴν ἀπεργάζεται. Πείθει γὰρ μηδὲν τῶν τοῦ κόσμου τούτου προσίεσθαι, καὶ πᾶσαν ἡδονὴν περιΐστασθαι. Πλεῖον δὲ προσκαρτερῶν, γεννᾷ λογισμούς, ὑπεξάγειν τὴν ψυχὴν συμβουλεύοντας, ἢ φεύγειν τὸν τόπον μακρὰν ἀναγκάζοντας. Ὅπερ λελόγισταί ποτε, καὶ πέπονθεν ὁ ἅγιος Ἰώβ, ὑπὸ τούτου παρενοχλούμενος. Εἴθε γὰρ ἐδυνάμην φησίν, ἐμαυτὸν χει-*

11. Ὅλοι οἱ δαίμονες διδάσκουν τὴν ψυχή [νὰ εἶναι] φιλήδονος, μόνον δὲ ὁ δαίμονας τῆς λύπης δὲν ἀνέχεται νά [τό] κάνῃ αὐτό. Ἀλλὰ χαλᾶ τοὺς λογισμοὺς ἐκείνων, στοὺς ὁποίους εἰσέρχεται, ἀποκόπτοντας κάθε χαρὰ τῆς ψυχῆς καὶ ξηραίνοντας μὲ τὴν λύπη, ἐφ᾽ ὅσον τοῦ λυπημένου ἀνθρώπου ἀποξηραίνονται τὰ ὀστᾶ. Καὶ ἐὰν μέν [ὁ δαίμονας] τὸν πολεμᾷ ἤπια, καθιστᾶ τὸν ἀναχωρητή [μοναχό] δόκιμο. Διότι τὸν πείθει νὰ μὴν δέχεται κανένα ἀπὸ τά [πράγματα] αὐτοῦ τοῦ κόσμου καὶ νὰ ἀποφεύγῃ κάθε ἡδονή. Ὅταν ὅμως ἐμμένῃ περισσότερο γεννᾶ λογισμούς, οἱ ὁποῖοι [τόν] συμβουλεύουν νὰ βγάλῃ κρυφὰ τὴν ψυχή του [δηλαδὴ νὰ αὐτοκτονήσῃ] ἢ πού [τόν] ἐξαναγκάζουν νὰ φύγῃ μακριὰ ἀπὸ τὸν τόπο [του], τὸ ὁποῖο πραγματικὰ εἶχε σκεφθῆ κάποτε καὶ εἶχε πάθει ὁ ἅγιος Ἰώβ, ὅταν παρενοχλήθηκε ἀπ᾽ αὐτόν [τὸν δαίμονα]. Διότι λέγει: «Μακάρι νὰ μποροῦσα νὰ σκότωνα τὸν

ρώσασθαι, ἢ δεηθείς γε ἑτέρου, καὶ ποιῆσαι μοι τοῦτο[26]*. Τούτου τοῦ δαίμονος σύμβολόν ἐστι ἡ ἔχιδνα τὸ θηρίον· ἧς ἡ φύσις φιλανθρώπως διδομένη, τοὺς τῶν ἄλλων θηρίων ἰοὺς διαφθείρει· ἀκρατῶς δὲ λαμβανομένη, καὶ αὐτὸ διαφθείρει τὸ ζῶον. Τούτῳ τῷ δαιμονίῳ παραδέδωκεν ὁ Παῦλος τὸν ἐν Κορίνθῳ παρανομήσαντα· διὸ καὶ γράφει πάλιν σπουδαίως, κυρώσατε, λέγων τοῖς Κορινθίοις, εἰς αὐτὸν ἀγάπην· μήπως, τῇ περισσοτέρᾳ λύπῃ, καταποθῇ ὁ τοιοῦτος*[27]*. Ἀλλ᾽ οἶδε τοῦτο θλῖβον τοὺς ἀνθρώπους τὸ πνεῦμα, καὶ μετανοίας ἀγαθῆς πρόξενον γίνεσθαι. Ὅθεν καὶ ὁ ἅγιος Ἰωάννης ὁ Βαπτιστής, τοὺς ὑπὸ τούτου κεντουμένους τοῦ πνεύματος καὶ προσφεύγοντας τῷ Θεῷ, γεννήματα ἐχιδνῶν ἐκάλει λέγων· τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς; Ποιήσατε οὖν καρπὸν ἄξιον τῆς μετανοίας, καὶ μὴ δόξητε λέγειν ἐν ἑαυτοῖς, πατέρα ἔχομεν τὸν Ἀβραάμ*[28]*. Πλὴν πᾶς ὁ τὸν Ἀβραὰμ μιμησάμενος, καὶ ἐξελθὼν ἐκ τῆς γῆς αὐ-*

ἑαυτό μου ἢ τουλάχιστον νὰ παρακαλοῦσα κάποιον ἄλλον καὶ νὰ μοῦ τὸ ἔκανε αὐτό». Αὐτοῦ τοῦ δαίμονος σύμβολο εἶναι τὸ θηρίο, ἡ ὀχιά, τῆς ὁποίας τὸ ἔμφυτο ἰδίωμα [τοῦ δηλητηρίου], ὅταν παρασχεθῇ μὲ τρόπο φιλάνθρωπο [σὲ σωστὴ ἀναλογία] καταστρέφει τὰ δηλητήρια τῶν ἄλλων θηρίων. Ὅταν ὅμως λαμβάνεται χωρὶς μέτρο, ἀφανίζει καὶ αὐτὴ τὴν ζωντανὴ ὕπαρξι, [ποὺ τὸ ἔλαβε]. Σ᾽ αὐτὸ τὸ δαιμόνιο εἶχε παραδώσει ὁ Παῦλος ἐκεῖνον ποὺ ἐνήργησε ἄνομα στὴν Κόρινθο. Γι᾽ αὐτὸ καὶ γράφει ἐκ νέου, μὲ φροντίδα, λέγοντας στοὺς Κορινθίους: «Ἐκπληρώσατε σ᾽ αὐτὸν τὴν ἀγάπη, μήπως στὴν κατάστασι ποὺ βρίσκεται ἀφανιστῇ ἀπὸ τὴν περισσὴ λύπη». Ἀλλὰ γνωρίζει αὐτὸ τὸ πνεῦμα νὰ γίνεται καὶ πρόξενος ἀγαθῆς μετανοίας, ὅταν θλίβῃ τοὺς ἀνθρώπους. Κατὰ τοῦτο καὶ ὁ Ἅγιος Ἰωάννης ὁ Βαπτιστής, ἐκείνους οἱ ὁποῖοι ἐπειράζοντο ἀπὸ αὐτὸ τὸ πνεῦμα καὶ προσέφευγαν στὸν Θεό, [τούς] ὀνόμαζε γεννήματα ἐχιδνῶν, λέγοντάς [τους]: «Ποιὸς σᾶς ὑπέδειξε, νὰ ἐκφύγετε ἀπὸ τὴν μελλοντικὴ ὀργή; Ποιήσατε λοιπὸν καρποὺς ἀντάξιους τῆς μετανοίας καὶ μὴν σκεφθῆτε νὰ πῆτε μέσα σας, ὅτι ἔχουμε πατέρα τὸν Ἀβραάμ». Ὅμως καθένας, ποὺ μιμεῖται τὸν Ἀβραὰμ καὶ ἐξέρχεται ἀπὸ τὸν τόπο του καὶ ἀ-

τοῦ, καὶ ἐκ τῆς συγγενείας[29]*, αὐτὸς καὶ τούτου τοῦ δαίμονος γέγονεν ἰσχυρότερος.*

ιβ΄. Εἴτις θυμοῦ κεκράτηκεν, οὗτος δαιμόνων κεκράτηκεν. Εἰδέ τις τούτῳ δεδούλωται, οὗτος τοῦ μοναδικοῦ βίου ἐστὶν ἀλλότριος, καὶ ξένος τῶν ὁδῶν τοῦ Σωτῆρος ἡμῶν, εἴπερ αὐτὸς ὁ Κύριος λέγεται διδάσκειν τοὺς πραεῖς τὰς ὁδοὺς αὐτοῦ[30]*. Διὸ καὶ δυσθήρατος γίνεται ἀναχωρούντων ὁ νοῦς, εἰς τὸ τῆς πρᾳότητος καταφεύγων πεδίον. Οὐδὲ μίαν γὰρ σχεδὸν τῶν ἀρετῶν δεδοίκασιν οἱ δαίμονες, ὡς πρᾳΰτητα. Ταύτην Μωυσῆς ὁ μέγας ἐκεῖνος ἐκέκτητο, πρᾳῢς παρὰ πάντας τοὺς ἀνθρώπους κληθείς*[31]*. Καὶ ὁ ἅγιος Δαβίδ, ἀξίαν τῆς τοῦ Θεοῦ μνήμης ἀπεφήνατο εἶναι· μνήσθητι λέγων τοῦ Δαβὶδ, καὶ πάσης τῆς πρᾳότητος αὐτοῦ*[32]*. Ἀλλὰ καὶ ὁ Σωτὴρ ἡμῶν, μιμητὰς ἡμᾶς γενέσθαι τῆς ἐκείνου πρᾳότητος ἐκέλευσε· μάθετε ἀπ᾽ ἐμοῦ λέγων, ὅτι πρᾷός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν*[33]*.*

πὸ τὴν οἰκογένειά του, αὐτὸς καὶ αὐτοῦ τοῦ δαίμονος ἔχει γίνει ἰσχυρότερος.

12. Ἐὰν κάποιος ἔχῃ ὑπερισχύσει τοῦ θυμοῦ, αὐτὸς ἔχει ὑπερισχύσει τῶν δαιμόνων. Ἐὰν ὅμως σ᾽ αὐτὸν ἔχῃ κανεὶς ὑποδουλωθῆ, αὐτὸς εἶναι ἄσχετος μὲ τὴν μοναδικὴ πολιτεία [τὸν μοναχισμό] καὶ ξένος ἀπὸ τὶς ὁδοὺς τοῦ Σωτῆρα μας, ἐφ᾽ ὅσον ὁ ἴδιος ὁ Κύριος, λέγεται [στὴν Ἁγία Γραφή], ὅτι διδάσκει στοὺς πραεῖς τὶς ὁδούς Του. Γι᾽ αὐτὸ καὶ ὁ νοῦς τῶν ἀναχωρητῶν [μοναχῶν] δύσκολα πλήττεται, ὅταν καταφεύγῃ στὴν περιοχὴ τῆς πραότητας. Διότι σχεδὸν καμία ἀπὸ τὶς ἀρετὲς δὲν ἔχουν φοβηθῆ οἱ δαίμονες, ὅπως τὴν πραότητα. Αὐτήν, ἐκεῖνος ὁ μέγας Μωυσῆς, τὴν εἶχε ἀποκτήσει, ὀνομασθείς [χάριν αὐτῆς] πρᾶος περισσότερο ἀπ᾽ ὅλους τοὺς ἀνθρώπους. Καὶ ὁ Ἅγιος Δαυῒδ διεκήρυξε, ὅτι [ἡ πραότητα] εἶναι ἄξια τῆς μνήμης τοῦ Θεοῦ, λέγοντας: «Θυμήσου [Κύριε] τὸν Δαυῒδ καὶ ὅλη του τὴν πραότητα». Ἀλλὰ καὶ ὁ Σωτήρας μας, μᾶς πρόσταξε νὰ γίνουμε μιμητὲς τῆς πραότητος Ἐκείνου, λέγοντας: «Μάθετε ἀπὸ ἐμένα, ὅτι εἶμαι πρᾶος καὶ ταπεινὸς ὡς πρὸς τὴν καρδία καὶ θὰ βρῆτε ἀνάπαυσι στὶς ψυχές σας».

Εἰδέ τις βρωμάτων καὶ πομάτων μὲν ἀπέχοιτο, θυμὸν δὲ πονηροῖς λογισμοῖς ἐρεθίζει, οὗτος ἔοικε ποντοπορούσῃ νηΐ, καὶ ἐχούσῃ δαίμονα κυβερνήτην. Διὸ προσεκτέον, ὅσῃ δύναμις, τῷ ἡμετέρῳ κυνί, καὶ διδακτέον, τοὺς λύκους μόνον αὐτὸν διαφθείρειν, καὶ μὴ τὰ πρόβατα κατεσθίειν, πᾶσαν ἐνδεικνύμενον πρᾳότητα, πρὸς πάντας ἀνθρώπους.

Ἐὰν ὅμως κάποιος ἀπέχῃ μὲν ἀπὸ φαγητὰ καὶ ποτά, ἀλλὰ ἐξεγείρῃ τὸν θυμὸ μὲ πονηροὺς λογισμούς, αὐτὸς μοιάζει μὲ πλοῖο, ποὺ ταξιδεύει μέσα στὸ πέλαγος καὶ ἔχει γιὰ κυβερνήτη δαίμονα. Γι᾽ αὐτὸ μὲ κάθε δύναμι πρέπει νὰ προσέξουμε τὸν δικό μας σκύλο καὶ πρέπει νὰ τὸν διδάξουμε νὰ ἀφανίζῃ μόνον τοὺς λύκους καὶ νὰ μὴν κατατρώγῃ τὰ πρόβατα, δείχνοντας πραότητα πρὸς ὅλους τοὺς ἀνθρώπους.

ΠΕΡΙ ΚΕΝΟΔΟΞΙΑΣ

ιγ΄. Μόνος τῶν λογισμῶν, ὁ τῆς κενοδοξίας ἐστὶ πολύυλος, καὶ ὅλην σχεδὸν περιλαμβάνων τὴν οἰκουμένην, καὶ πᾶσι τοῖς δαίμοσιν ὑπανοίγων τὰς θύρας, ὥς περ τις προδότης γενόμενος πονηρὸς πόλεώς τινος. Διὸ καὶ πάνυ ταπεινοῖ τοῦ ἀναχωροῦντος τὸν νοῦν, πολλῶν λόγων, καὶ πραγμάτων αὐτὸν πληρῶν, καὶ τὰς προσευχὰς αὐτοῦ λυμαινόμενος, δι᾽ ὧν πάντα τὰ τῆς ψυχῆς αὐτοῦ τραύματα θεραπεύειν σπουδάζει. Τοῦτον τὸν λογισμὸν συναύξουσιν ἡττηθέντες πάντες οἱ δαίμονες, καὶ πάλιν δι᾽ αὐτοῦ πάντες εἰς τὰς ψυ-

13. Ἀπ᾽ ὅλους τοὺς λογισμούς, μόνον ὁ [λογισμός] τῆς κενοδοξίας εἶναι πολυδιάστατος καὶ ἀγκαλιάζει ὅλη σχεδὸν τὴν οἰκουμένη καὶ ἀνοίγει κρυφὰ τὶς πόρτες σὲ ὅλους τοὺς δαίμονες, ὅπως ἀκριβῶς κάποιος, ποὺ ἔγινε πονηρὸς προδότης κάποιας πόλεως. Γι᾽ αὐτὸ καὶ πάρα πολὺ ἐξουθενώνει τὸν νοῦ τοῦ ἀναχωρητοῦ [μοναχοῦ], γεμίζοντάς τον μὲ πολλὰ λόγια καὶ πράγματα καὶ κατ᾽ αὐτὸν τὸν τρόπο καταστρέφοντας τὶς προσευχές του, μὲ τὶς ὁποῖες φροντίζει νὰ θεραπεύσῃ ὅλα τὰ τραύματα τῆς ψυχῆς του. Αὐτὸν τὸν λογισμό, ὅλοι οἱ δαίμονες μαζί, ὅταν ἡττηθοῦν, [τόν] αὐξάνουν καὶ πάλι μέσῳ αὐτοῦ βρίσκουν εἴσο-

χὰς λαμβάνουσι εἴσοδον· ποιοῦντες οὕτως τὰ ἔσχατα, χείρονα τῶν πρώτων[34]*. Ἐκ τούτου γεννᾶται τοῦ λογισμοῦ καὶ ὁ τῆς ὑπερηφανίας· ὁ τὸ σφράγισμα τῆς ὁμοιώσεως, καὶ τὸν στέφανον τοῦ κάλλους, ἀπ᾽ οὐρανῶν εἰς τὴν γῆν κατασείσας. Ἀλλ᾽ ἀποπήδησον ἐκ τούτου, καὶ μὴ χρονίσῃς, ἵνα μὴ προδῶμεν ἄλλοις τὴν ζωὴν ἡμῶν, καὶ τὸν ἡμέτερον βίον ἀνελεήμοσι*[35]*. Τοῦτον δὲ τὸν δαίμονα φυγαδεύει ἐκτενὴς προσευχή, καὶ τὸ μηδὲν ἑκόντα ποιεῖν, ἢ λέγειν, τῶν συντελούντων πρὸς τὴν ἐπάρατον κενοδοξίαν.*

ιδʹ. Ὅτε ὀλίγης ἀπαθείας τῶν ἀναχωρούντων ὁ νοῦς ἐπιλάβηται, τότε κενοδοξίας ἵππον κτησάμενος, εὐθὺς ἐλαύνει κατὰ τὰς πόλεις, ἄκρατον ἐμφορούμενος ἐκ τῆς δόξης τὸν ἔπαινον· ᾧ κατ᾽ οἰκονομίαν τὸ πνεῦμα τῆς πορνείας ὑπαντιάσαν, καὶ εἰς ἕνα τῶν συφεῶν τοῦτον ἀποκλεῖσαν, παιδεύει αὐτὸν μηκέτι πρὸ τῆς τελείας ὑγείας καταλιμπάνειν τὴν κλίνην, μηδὲ τοὺς ἀτάκτους

δο στὶς ψυχές, κάνοντας μ᾽ αὐτὸν τὸν τρόπο τὴν τελευταία [κατάστασι] χειρότερη ἀπὸ τὴν πρώτη. Ἀπ᾽ αὐτὸν τὸν λογισμὸ γεννιέται καὶ ὁ [λογισμός] τῆς ὑπερηφανίας, ὁ ὁποῖος [στὴν περίπτωσι τοῦ διαβόλου] τὸ σφράγισμα τῆς ὁμοιώσεως [μὲ τὸν Θεό] καὶ τὸ στεφάνι τῆς ὡραιότητος, ἀπὸ τοὺς οὐρανοὺς κατέρριψε στὴν γῆ. Ἀλλὰ ἀποτινάξου ἀπ᾽ αὐτὸν καὶ μὴν χρονοτριβῇς, γιὰ νὰ μὴν προδώσουμε τὴν ζωή μας στοὺς ἀντιπάλους καὶ τὴν δική μας πολιτεία στοὺς ἀνελεήμονες [δαίμονες]. Αὐτὸν ὅμως τὸν δαίμονα [τῆς ὑπερηφανίας] τὸν ἐξορίζει ἡ ἐκτενὴς προσευχὴ καὶ τὸ νὰ μὴν κάνῃς ἢ νὰ λὲς ἑκουσίως τίποτα ἀπὸ ἐκεῖνα, ποὺ συντελοῦν στὴν καταραμένη κενοδοξία.

14. Ὅταν ὁ νοῦς ἐκείνων ποὺ ἀναχωροῦν [ἀπὸ τὸν κόσμο, τῶν μοναχῶν δηλαδή] ἐπιτύχῃ ὀλίγη ἀπάθεια, τότε, ἀφοῦ ἀποκτήσῃ τὸν ἵππο τῆς κενοδοξίας εὐθὺς τρέχει στὶς πόλεις, κυριευμένος ἀπὸ τὸν ὑπερβολικὸ ἔπαινο, ποὺ προέρχεται ἀπὸ τὴν δόξα. Αὐτόν [τὸν νοῦ], ἀφοῦ προϋπάντησε κατ᾽ οἰκονομία τὸ πνεῦμα τῆς πορνείας καὶ ἀφοῦ τὸν ἐνέκλεισε σ᾽ ἕνα ἀπὸ τὰ χοιροστάσια, τὸν παιδαγωγεῖ ποτὲ πλέον νὰ μὴν ἐγκαταλείπῃ τὸ κρεββάτι [τοῦ ἀσθενοῦς] πρὶν τὴν πλήρη ἀποκατάστασι τῆς ὑγείας του [πρὸ τοῦ νὰ ἀποκτήσῃ τελεία ἀπάθεια], οὔτε νὰ μιμῆται ἐκείνους ἀπὸ τοὺς

τῶν ἀῤῥώστων μιμεῖσθαι· οἵ τινες ἔτι λείψανα τῆς ἀσθενείας ἐν ἑαυτοῖς περιφέροντες, ὁδοῖς ἑαυτούς, καὶ λουτροῖς ἀκαίρως ἐπιδιδόασι, καὶ τοῖς ἐξ ὑποστροφῆς νοσήμασι περιπίπτουσι. Διόπερ καθεζόμενοι, πρόσχωμεν ἐν ἑαυτοῖς μᾶλλον, ὡς προκόπτοντες μὲν ἐν ἀρετῇ, δυσκίνητοι πρὸς κακίαν γινώμεθα· ἀνακινούμενοι δὲ ἐν τῇ γνώσει, ποικίλων προσλαμβάνωμεν πλῆθος θεωρημάτων· ὑψούμενοι δὲ πάλιν, φανερώτερον τὸ τοῦ Σωτῆρος ἡμῶν ἐποπτεύωμεν φῶς.

ιε΄. Πάσας μὲν τὰς κακουργίας τῶν δαιμόνων, γράφειν οὐ δύναμαι· καὶ τὰς κακομηχανίας αὐτῶν καταλέγειν αἰσχύνομαι, δεδοικὼς τῶν ἐντευξομένων τοὺς ἁπλουστέρους. Πλὴν δὲ τοῦ πνεύματος τῆς πορνείας, ἄκουε πανουργίας. Ὅταν τις τοῦ ἐπιθυμητικοῦ μέρους κτήσηται τὴν ἀπάθειαν, καὶ οἱ αἰσχροὶ λογισμοὶ ὑπόψυχροι γένωνται, τοτηνικαῦτα εἰσάγει ἄνδρας τε, καὶ γυναῖκας παίζοντας μετ᾽ ἀλλήλων, καὶ αἰσχρῶν πραγμάτων, καὶ σχημάτων, τὸν ἀναχωρητὴν κα-

ἀρρώστους, ποὺ εἶναι ἀπείθαρχοι, οἱ ὁποῖοι ἐνῶ κουβαλοῦν πάνω τους κατάλοιπα ἀπὸ τὴν ἀσθένεια παραδίδουν τοὺς ἑαυτούς τους ἄκαιρα σὲ ὁδοιπορίες καὶ λουτρὰ καί [πάλι] παθαίνουν τὶς ἀσθένειες ἀπὸ ὑποτροπή. Γιὰ τοῦτο, ἀφοῦ μείνουμε [στὸ κελλί μας], νὰ ἔχουμε στραμμένη τὴν προσοχή μας μᾶλλον στοὺς ἑαυτούς μας, ὥστε, προκόπτοντας στὴν ἀρετή, νὰ γίνουμε δυσκίνητοι, ὡς πρὸς τὴν κακία. Ἀφοῦ δὲ ἀναζωογονηθοῦμε μέσῳ τῆς γνώσεως [τῶν θείων], ἀκόμη περισσότερο νὰ λαμβάνωμε πλῆθος ἀπὸ ποικίλες θεωρίες [Θεοῦ], καὶ καθὼς πάλι ἐξυψωνόμεθα, θεωροῦμε [μέσα μας] πιὸ καθαρά, τὸ φῶς τοῦ Σωτῆρος μας.

15. Δὲν μπορῶ βέβαια νὰ γράψω ὅλες τὶς κακουργίες τῶν δαιμόνων καὶ ντρέπομαι νὰ καταγράψω τὶς ραδιουργίες τους, φοβούμενος [γιά] τοὺς πιὸ ἀθώους ἀπὸ τοὺς ἀναγνῶστες. Ὡς ἐξαίρεσι ὅμως, ἄκουσε πανουργία τοῦ πνεύματος τῆς πορνείας. Ὅταν κάποιος [ἀγωνιστής] ἀποκτήσῃ τὴν ἀπάθεια τοῦ ἐπιθυμητικοῦ μέρους [τῆς ψυχῆς] καὶ οἱ αἰσχροὶ λογισμοὶ γίνονται λίγο ψυχροί, τό [πνεῦμα τῆς πορνείας] κατ' αὐτὴ τὴν ὥρα βάζει [στὴν φαντασία] ἄνδρες καὶ μαζὶ γυναῖκες νὰ παίζουν μεταξύ τους καὶ καθιστᾶ τὸν ἀναχωρητή [μοναχό] θεατὴ αἰσχρῶν πραγμάτων καὶ

θίστησι θεατήν. Ἀλλ' οὗτος ὁ πειρασμὸς οὐκ ἔστι τῶν χρονιζόντων. Προσευχὴ γὰρ σύντονος, καὶ δίαιτα στενωτάτη, μετ' ἀγρυπνίας καὶ γυμνασίας θεωρημάτων πνευματικῶν, ὥς περ νέφος αὐτὸν ἄνυδρον ἀπελαύνει. Ἔστι δὲ ὅτε καὶ τῶν σαρκῶν ἐφάπτεται, πρὸς τὴν ἄλογον πύρωσιν αὐτὰς ἐκμοχλεύων, καὶ ἄλλα δὲ μυρία προσμηχανᾶται ὁ πονηρὸς οὗτος· ἅπερ οὐκ ἀναγκαῖον δημοσιεῦσαι, καὶ παραδοῦναι γραφῇ. Συμβάλλεται καὶ πρὸς τοὺς λογισμοὺς τοὺς τοιούτους, καὶ ζέσις θυμοῦ κατὰ τοῦ δαίμονος κινηθεῖσα· ὅν περ θυμὸν μάλιστα δέδοικεν ἐπὶ τοῖς λογισμοῖς ταρασσόμενον, καὶ διαφθείροντα αὐτοῦ τὰ νοήματα. Καὶ τοῦτό ἐστι τό, ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε[36]· χρήσιμον φάρμακον ἐν τοῖς πειρασμοῖς τῇ ψυχῇ προσαγόμενον. Μιμεῖται δὲ καὶ ὁ τῆς ὀργῆς τοῦτον τὸν δαίμονα, καὶ πλάττει καὶ αὐτός τινας τῶν γεγενηκότων, ἢ φίλων, ἢ συγγενῶν, ὑβριζομένους ὑπὸ ἀναξίων· καὶ τοῦ ἀναχωροῦν-

καταστάσεων. Ἀλλὰ αὐτὸς ὁ πειρασμὸς δὲν εἶναι ἀπὸ ἐκείνους ποὺ διαρκοῦν γιὰ καιρό. Διότι ἡ συντονισμένη [ἀδιάλειπτη] προσευχὴ καὶ ἡ αὐστηρότατη νηστεία μαζὶ μὲ ἀγρυπνία καὶ ἄσκησι σὲ πνευματικὲς θεωρίες, τὸν ἐκδιώκει, ὡσὰν νέφος ἄνυδρο. Συμβαίνει δὲ κάποτε καὶ ἀγγίζει τὰ μέλη τοῦ σώματος γιὰ νὰ τὰ ἀνακινήσῃ πρὸς παράλογη πύρωσι καὶ ἄλλες ἐξάλλου χίλιες [ραδιουργίες] ἀκόμη μηχανεύεται αὐτὸς ὁ πονηρός [δαίμονας], τὰ ὁποῖα βέβαια δὲν [εἶναι] ἀναγκαῖο νὰ τὰ δημοσιεύσω καὶ νὰ τὰ γράψω. Μὲ αὐτοῦ ἐπίσης τοῦ εἴδους τοὺς λογισμοὺς συγκρούεται καὶ ὁ ἐν βρασμῷ θυμός, ποὺ κινεῖται ἐναντίον τοῦ δαίμονος. Αὐτὸν ἀκριβῶς τὸν θυμό, πάρα πολὺ φοβᾶται πάνω στοὺς λογισμούς, ἐπειδὴ διαταράσσει καὶ καταστρέφει τὰ δικά του νοήματα. Καὶ αὐτὸ εἶναι [ἔτσι δηλαδὴ ἑρμηνεύεται] τό «νὰ ὀργίζεσθε καὶ νὰ μὴν ἁμαρτάνετε», ἐπειδὴ [ὁ θυμός], ὅταν λαμβάνεται στὴν ψυχὴ ὡς ἐφόδιο στοὺς πειρασμοὺς [γίνεται] τὸ κατάλληλο φάρμακο. Μιμεῖται δὲ αὐτὸν τὸν δαίμονα καὶ ὁ [δαίμονας] τῆς ὀργῆς καὶ πλάθει καὶ αὐτὸς [φαντασίες], ὅτι κάποιοι ἀπὸ τοὺς γονεῖς ἢ τοὺς φίλους ἢ τοὺς συγγενεῖς, ὑβρίζονται ἀπὸ ἀναξίους [ἀνθρώπους] καὶ ὑποκι-

τος κινεῖ τὸν θυμόν, φθέγξασθαί τι πονηρόν, ἢ ποιῆσαι, πρὸς τοὺς φαινομένους κατὰ διάνοιαν. Οἷς προσέχειν ἀναγκαῖον, καὶ ταχέως ἐξαρπάζειν ἀπὸ τοιούτων εἰδώλων τὴν διάνοιαν· ἵνα μὴ χρονίσασα ἐν αὐτοῖς, γένηται κατὰ τὸν καιρὸν τῆς προσευχῆς, δαλὸς καπνιζόμενος. Τούτοις δὲ τοῖς πειρασμοῖς οἱ θυμώδεις περιπίπτουσι μάλιστα, καὶ ῥᾳδίως πρὸς τὰς ὁρμὰς ἐξαπτόμενοι· οἵ τινες μακράν εἰσι καθαρᾶς προσευχῆς, καὶ τῆς γνώσεως τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

ις'. Τὰ νοήματα τοῦ αἰῶνος τούτου, ὁ Κύριος, καθάπερ πρόβατα, τῷ ἀγαθῷ ποιμένι τῷ ἀνθρώπῳ παρέδωκε· καὶ γέγραπται, παντὶ ἀνθρώπῳ τὸ νόημα ἔδωκεν ἐν καρδίᾳ αὐτοῦ[37]*, συζεύξας αὐτῷ ἐπιθυμίαν, καὶ ὀργὴν πρὸς βοήθειαν· ἵνα, διὰ μὲν τοῦ θυμοῦ, φυγαδεύῃ τὰ τῶν λύκων νοήματα· διὰ δὲ τῆς ἐπιθυμίας στέργῃ τὰ πρόβατα, καὶ ὑπὸ τῶν ὑετῶν καὶ ἀνέμων πολλάκις βαλλόμενος. Ἔδωκε πρὸς τούτοις καὶ νόμον, ὅπως ποιμαίνῃ τὰ πρό-*

νεῖ τὸν θυμὸ τοῦ ἀναχωρητή [μοναχοῦ], οὕτως ὥστε νὰ πῇ ἢ νὰ κάνῃ κάτι κακὸ ἐναντίον ἐκείνων, ποὺ παρουσιάστηκαν στὴν διάνοιά του. Σ' αὐτά [εἶναι] ἀναγκαῖο νὰ προσέχουμε καὶ γρήγορα νὰ ἐλευθερώνουμε τὴν διάνοια ἀπὸ τέτοιες φανταστικὲς εἰκόνες, γιὰ νὰ μὴν γίνῃ κατὰ τὴν ὥρα τῆς προσευχῆς [ὁ νοῦς] σβησμένος δαυλὸς ποὺ καπνίζεται [καὶ μαυρίζει], ἐπειδὴ χρόνισε μέσα σ' αὐτές [τὶς φανταστικὲς εἰκόνες, ποὺ προκάλεσε ὁ δαίμονας τῆς ὀργῆς]. Σ' αὐτοὺς δὲ τοὺς πειρασμοὺς πέφτουν οἱ ὀξύθυμοι, ποὺ ἐξάπτονται ὑπερβολικὰ καὶ εὔκολα ἀπὸ τὰ πάθη, οἱ ὁποῖοι εἶναι μακριὰ ἀπὸ τὴν καθαρὰ προσευχὴ καὶ τὴν γνῶσι τοῦ Σωτῆρος μας Ἰησοῦ Χριστοῦ.

16. Τὰ νοήματα αὐτοῦ τοῦ αἰῶνος, ὁ Κύριος, ἀκριβῶς σὰν πρόβατα, [τά] παρέδωσε στὸν ἀγαθὸ ποιμένα, τὸν ἄνθρωπο. Καὶ ἔχει γραφῆ: «σὲ κάθε ἄνθρωπο ἔδωσε τὴν νόησι μέσα στὴν καρδία του», ἀφοῦ συνέζευξε μ' αὐτὸν τὴν ἐπιθυμία καὶ τὴν ὀργὴ γιὰ βοήθεια, ὥστε, μέσῳ μὲν τοῦ θυμοῦ νὰ ἀποδιώκῃ τὰ νοήματα τῶν λύκων, μέσῳ δὲ τῆς ἐπιθυμίας νὰ ἀγαπᾷ τὰ πρόβατα καὶ ἂν ἀκόμα πολλὲς φορὲς χτυπιέται ἀπὸ τὶς βροχὲς καὶ τοὺς ἀνέμους. Ἐπὶ πλέον ἔδωσε καὶ νόμο, πῶς νὰ ποιμαίνῃ τὰ πρό-

βατα· καὶ τόπον χλόης, καὶ ὕδωρ ἀναπαύσεως[38]*, καὶ ψαλτήριον, καὶ κιθάραν, καὶ ῥάβδον, καὶ βακτηρίαν· ἵνα ἐκ ταύτης τῆς ποίμνης, καὶ τραφῇ, καὶ ἐνδύσηται, καὶ χόρτον ὡρινόν [recte: ὀρεινόν] συναγάγῃ· τίς γάρ, φησί· ποιμαίνει ποίμνην, καὶ ἐκ τοῦ γάλακτος αὐτῆς οὐκ ἐσθίει;*[39]*Δεῖ οὖν τὸν ἀναχωροῦντα, φυλάττειν νύκτωρ καὶ μεθ' ἡμέραν τοῦτο τὸ ποίμνιον· μήτι τῶν γεννημάτων γένηται θηριάλωτον, ἢ λησταῖς περιπέσῃ. Εἰδὲ ἄρα τι τοιοῦτον συμβαίνῃ κατὰ τὴν νάπην, εὐθὺς ἐξαρπάζειν ἐκ τοῦ στόματος τοῦ λέοντος, καὶ τῆς ἄρκτου*[40]*. Γίνεται δὲ τὸ νόημα τὸ περὶ τοῦ ἀδελφοῦ θηριάλωτον, εἰ μετὰ μίσους νέμοιτο ἐν ἡμῖν· καὶ τὸ περὶ τῆς γυναικός, εἰ μετὰ αἰσχρᾶς ἐπιθυμίας στρέφοιτο ἐν ἡμῖν· καὶ τὸν τοῦ ἀργύρου καὶ χρυσοῦ, εἰ μετὰ πλεονεξίας αὐλίζοιτο· καὶ τὰ νοήματα τῶν ἁγίων χαρισμάτων, εἰ μετὰ κενοδοξίας κατὰ διάνοιαν βόσκοιτο. Καὶ ἐπὶ τῶν ἄλλων δὲ νοημάτων ὡσαύτως συμ-*

βατα. Καὶ τόπο χλόης καὶ ὕδωρ ἀναπαύσεως καὶ ἅρπα καὶ κιθάρα καὶ ῥάβδο καὶ μπαστούνι, γιὰ νὰ τραφῇ ἀπὸ αὐτὴ τὴν ποίμνη καὶ νὰ ντυθῇ καὶ νὰ συλλέξῃ χορτάρι τοῦ βουνοῦ. Διότι λέγει: «Ποιὸς ποιμαίνει κοπάδι μὲ πρόβατα καὶ δὲν τρώει ἀπὸ τὸ γάλα τους;» Πρέπει λοιπὸν ὁ ἀναχωρητὴς νὰ φυλάττῃ νύχτα καὶ ἡμέρα αὐτὸ τὸ κοπάδι, μήπως κάποιο ἀπὸ τὰ μικρὰ πρόβατα, ποὺ μόλις γεννήθηκαν τὸ ἁρπάξῃ κάποιο θηρίο ἢ πέσῃ σὲ ληστές. Ἐὰν δὲ κάτι τέτοιο τυχὸν συμβῇ μέσα στὴν κοιλάδα, ἀμέσως νὰ τὸ ἁρπάζῃ ἀπὸ τὸ στόμα τοῦ λέοντος καὶ τῆς ἀρκούδας. Γίνεται δὲ ὁ λογισμὸς σχετικὰ μὲ τὸν ἀδελφὸ τροφὴ τῶν θηρίων, ἐὰν τρέφεται μέσα μας μὲ μῖσος. Καὶ τὸν [λογισμό] σχετικὰ μὲ τὴν γυναῖκα, [τὸν συλλαμβάνουν ἄγρια θηρία], ἐὰν περιστρέφεται μέσα μας μὲ αἰσχρὴ ἐπιθυμία. Καί [τὸν λογισμό] γιὰ τὰ χρήματα καὶ τὸ χρυσάφι, ἐὰν παραμένῃ [μέσα μας] μαζὶ μὲ πλεονεξία. Καὶ τοὺς λογισμούς, τοὺς σχετικοὺς μὲ τὰ ἅγια χαρίσματα, ἐὰν στὴν διάνοιά [μας] τρέφωνται μὲ κενοδοξία. Καὶ σχετικὰ μὲ τὰ ἄλλα νοήματα [λογισμούς] τὸ ἴδιο θὰ

βήσεται, κλεπτομένων τοῖς πάθεσιν. Οὐ μόνον δὲ ἐν τῇ ἡμέρᾳ δεῖ ταῦτα τηρεῖν, ἀλλὰ καὶ νύκτωρ ἀγρυπνοῦντα φυλάττειν· συμβαίνει γὰρ καὶ φανταζόμενον, αἰσχρῶς καὶ πονηρῶς, ἀπολέσαι τὸ ἴδιον. Καὶ τοῦτό ἐστι τὸ ὑπὸ τοῦ Ἁγίου Ἰακὼβ λεγόμενον· οὐκ ἐνήνοχά σοι πρόβατον θηριάλωτον· ἐγὼ ἀπετίννυον κλέμματα ἡμέρας, καὶ κλέμματα νυκτός· καὶ ἐγενόμην συγκαιόμενος τῷ καύματι τῆς ἡμέρας, καὶ τῷ παγετῷ τῆς νυκτός· καὶ ἀφίστατο ὁ ὕπνος ἀπὸ τῶν ὀφθαλμῶν μου[41]*. Εἰδέ τις ἐκ τοῦ καμάτου ἀκηδία ἡμῖν προσγένοιτο, μικρὸν ἀναδραμόντες ἐπὶ τὴν τῆς γνώσεως πέτραν, τῷ ψαλτηρίῳ προσομιλήσωμεν, πλήσσοντες διὰ τῶν ἀρετῶν τῆς γνώσεως τὰς χορδάς· βοσκήσωμεν δὲ πάλιν καὶ ὑπὸ τὸ Σίναιον ὄρος τὰ πρόβατα, ἵνα ὁ Θεὸς τῶν πατέρων ἡμῶν καὶ ἡμᾶς ἐκ τῆς βάτου καλέσῃ*[42]*, καὶ τοὺς λόγους τῶν σημείων, καὶ τῶν τεράτων ἡμῖν χαρίσηται.*

ιζʹ. Φύσιν μὲν λογικὴν ὑπὸ κακίας θανατωθεῖσαν, ἐγείρει Χριστός, διὰ τῆς θεωρί-

συμβῇ, ὅταν κλέπτωνται ἀπὸ τὰ πάθη. Δὲν πρέπει δὲ νὰ διαφυλάττῃ αὐτὰ μόνον κατὰ τὴν διάρκεια τῆς ἡμέρας, ἀλλὰ νά [τά] διαφυλάττῃ μένοντας ἄγρυπνος καὶ κατὰ τὴν διάρκεια τῆς νύκτας. Διότι συμβαίνει τὸ ἴδιο [πρόβατο] νὰ τὸ χάσῃς καὶ ὅταν φαντάζεσαι αἰσχρὰ καὶ πονηρά. Καὶ αὐτὸ εἶναι ἐκεῖνο τὸ ὁποῖο λέγει ὁ Ἅγιος Ἰακώβ: «Δὲν σοῦ ἔχω φέρει πρόβατο σκοτωμένο ἀπὸ τὰ θηρία. Ἐγὼ ξεπλήρωνα τὶς κλοπὲς τῆς ἡμέρας καὶ τὶς κλοπὲς τῆς νύκτας. Καὶ κατακαιόμουν ἀπὸ τὸν καύσωνα τῆς ἡμέρας καὶ ἀπὸ τὸν παγετὸ τῆς νύκτας. Καὶ ἀπομακρυνόταν ὁ ὕπνος ἀπὸ τὰ μάτια μου». Καὶ ἐὰν μᾶς συνέβαινε κάποια ἀκηδία ἐξ αἰτίας τοῦ κόπου, ἀφοῦ ἀνέλθουμε γιὰ λίγο πάνω στὴν πέτρα τῆς γνώσεως [τοῦ Θεοῦ], ἂς ψυχαγωγηθοῦμε παίζοντας μὲ τὴν ἅρπα, κρούοντας μὲ τὶς ἀρετές, τῆς γνώσεως τὶς χορδές. Ἂς βοσκήσουμε δὲ πάλι καὶ κάτω ἀπὸ τὸ ὄρος Σινᾶ τὰ πρόβατα, γιὰ νὰ καλέσῃ ὁ Θεὸς τῶν πατέρων μας καὶ ἐμᾶς μέσα ἀπὸ τὴν βάτο καὶ νὰ μᾶς χαρίσῃ τοὺς λόγους τῶν συμβόλων καὶ τῶν θαυμαστῶν φαινομένων.

17. Τὴν λογικὴ μὲν φύσι, ἡ ὁποία θανατώθηκε ἀπὸ τὴν κακία, [τήν] ἀνασταίνει ὁ Χριστός, μέσῳ τῆς

ας πάντων τῶν αἰώνων. Ὁ δὲ τούτου Πατήρ, τὴν ἀποθανοῦσαν ψυχὴν τὸν θάνατον τοῦ Χριστοῦ, ἐγείρει διὰ τῆς γνώσεως τῆς ἑαυτοῦ. Καὶ τοῦτό ἐστι τὸ ὑπὸ τοῦ Παύλου λεγόμενον, τό, εἰ συναπεθάνομεν τῷ Χριστῷ, πιστεύομεν ὅτι καὶ συζήσομεν αὐτῷ[43].

ιη΄. Ὅταν ὁ νοῦς τὸν παλαιὸν ἄνθρωπον ἀποδυσάμενος, τὸν ἐκ τῆς χάριτος ἐνδύσηται, τότε καὶ τὴν ἑαυτοῦ κατάστασιν ὄψεται κατὰ τὸν καιρὸν τῆς προσευχῆς, σαπφείρῳ ἢ οὐρανίῳ χρώματι παρεμφερῆ· ἥν τινα καὶ τόπον Θεοῦ ἡ Γραφὴ ὀνομάζει, ὑπὸ τῶν πρεσβυτέρων ὀφθέντα ἐπὶ τοῦ ὄρους Σινᾶ[44].

ιθ΄. Τῶν ἀκαθάρτων δαιμόνων, οἱ μὲν τὸν ἄνθρωπον ὡς ἄνθρωπον ἐκπειράζουσιν· οἱ δὲ τὸν ἄνθρωπον, ὡς ζῷον ἄλογον ἐκταράσσουσι. Καὶ οἱ μὲν πρῶτοι παραβαλόντες, κενοδοξίας, ἢ ὑπερηφανίας, ἢ φθόνου, ἢ κατηγορίας ἡμῖν ἐμβάλλουσι νοήματα· ἅπερ οὐδενὸς ἅπτεται τῶν ἀλόγων· οἱ δὲ δεύτεροι προ-

θεωρίας τῆς αἰωνιότητος. Ὁ δὲ Πατέρας Αὐτοῦ [τοῦ Χριστοῦ], τὴν ψυχή, ἡ ὁποία πέθανε μὲ τὸν θάνατο τοῦ Χριστοῦ, [τήν] ἀνασταίνει μέσῳ τῆς δικῆς Του γνώσεως. Καὶ αὐτὸ εἶναι ἐκεῖνο, τὸ ὁποῖο λέγει ὁ Παῦλος, τό «ἐὰν πεθάνουμε μαζὶ μὲ τὸν Χριστὸ πιστεύουμε, ὅτι καὶ θὰ ζήσωμε μαζί του».

18. Ὅταν ὁ νοῦς, ἀφοῦ ἐκδυθῇ τὸν παλαιὸ ἄνθρωπο, ἐνδυθῇ τὸν ἐκ τῆς Χάριτος [νέο ἄνθρωπο], τότε θὰ δῇ καὶ τὴν κατάστασι τοῦ ἑαυτοῦ του κατὰ τὸν καιρὸ τῆς προσευχῆς νὰ εἶναι παρόμοια μὲ τὸ χρῶμα τοῦ ζαφείρου ἢ τοῦ οὐρανοῦ, τὴν ὁποία καὶ ἡ Γραφὴ ὀνομάζει τόπο Θεοῦ, ἐκεῖνον ποὺ εἶδαν οἱ πρεσβύτεροι πάνω στὸ ὄρος Σινᾶ.

19. Ἀπὸ τοὺς ἀκάθαρτους δαίμονες, ἄλλοι μὲν πειράζουν τὸν ἄνθρωπο, ὡς ἄνθρωπο, ἄλλοι δέ [τόν] διεγείρουν, ὡς ἄλογο ζῶο. Καὶ οἱ μὲν πρῶτοι, ἀφοῦ [μᾶς] πλησιάσουν, μᾶς ὑποβάλλουν λογισμοὺς κενοδοξίας ἢ ὑπερηφανίας ἢ φθόνου ἢ κατηγορίας, ἀπὸ τοὺς ὁποίους βέβαια [λογισμούς] κανένα ἀπὸ τὰ ἄλογα [ζῶα] [ποτέ] δὲν ἐπηρεάζεται. Οἱ δὲ δεύτεροι, ὅταν μᾶς προ-

σεγγίζοντες, θυμόν, ἢ ἐπιθυμίαν, παρὰ φύσιν κινοῦσι. Ταῦτα γάρ, πάθη κοινὰ ἡμῶν καὶ τῶν ἀλόγων ἐστίν, ὑπὸ τῆς λογικῆς καλυπτόμενα φύσεως. Διὸ λέγει τὸ Πνεῦμα τὸ Ἅγιον, πρὸς μὲν τοῖς ἀνθρώποις συμβαίνοντας λογισμούς· ἐγὼ εἶπα, θεοί ἐστε, καὶ υἱοὶ ὑψίστου πάντες· ὑμεῖς δὲ ὡς ἄνθρωποι ἀποθνῄσκετε, καὶ ὡς εἷς τῶν ἀρχόντων πίπτετε[45]*. Πρὸς δὲ τοὺς κινουμένους ἀλόγως, τί φησι; Μὴ γίνεσθε ὡς ἵππος καὶ ἡμίονος, οἷς οὐκ ἔστι σύνεσις· ἐν κημῷ καὶ χαλινῷ τὰς σιαγόνας αὐτῶν ἄγξαις, τῶν μὴ ἐγγιζόντων πρὸς σέ*[46]*. Εἰ δὲ ψυχὴ ἡ ἁμαρτάνουσα, αὕτη ἀποθανεῖται*[47]*· πρόδηλον, ὅτι οἱ μὲν ἄνθρωποι, ὡς ἄνθρωποι ἀποθνῄσκουσι, καὶ ὑπὸ ἀνθρώπων θάπτονται· οἱ δὲ ἄλογοι θανατούμενοι, ἤτοι πίπτοντες, ὑπὸ γυπῶν ἢ κοράκων βρωθήσονται· ὧν οἱ νεοσσοί, οἱ μὲν ἐπικαλοῦνται τὸν Κύριον*[48]*, οἱ δὲ φύρονται ἐν τῷ αἵματι*[49]*. Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω.*

κ΄. Ὅταν τῶν ἐχθρῶν τρώσῃ σέ τις παραβάλλων, καὶ

σεγγίζουν, διεγείρουν τὸν θυμὸ ἢ τὴν παρὰ φύσι ἐπιθυμία. Αὐτὰ τὰ πάθη ὑπάρχουν ἀπὸ κοινοῦ σὲ μᾶς καὶ στὰ ἄλογα ζῶα, ποὺ κρύβονται κάτω ἀπὸ τὴν λογική [μας] φύσι. Γι᾽ αὐτὸ λέγει τὸ Ἅγιο Πνεῦμα σχετικὰ μὲν μὲ τοὺς λογισμούς, ποὺ ἁρμόζουν στοὺς ἀνθρώπους: «Ἐγὼ εἶπα, εἶστε ὅλοι θεοὶ καὶ υἱοὶ τοῦ Ὑψίστου. Ἐσεῖς δὲ πεθαίνετε σὰν ἄνθρωποι καὶ πέφτετε σὰν ἕνας ἀπὸ τοὺς ἄρχοντες, [τοὺς δαίμονες]». Σχετικὰ ὅμως μέ [τοὺς λογισμούς], ποὺ κινοῦνται χωρὶς λογική, τί λέγει; «Μὴν γίνεσθε σὰν τὸ ἄλογο καὶ τὸν ἡμίονο, στὰ ὁποῖα δὲν ὑπάρχει φρόνησι. Ἂς συσφίξῃς τὶς σιαγόνες τους μὲ φίμωτρο καὶ χαλινάρι, ἐκείνων, ποὺ δὲν πλησιάζουν σὲ Σένα». Ἐὰν δὲ ἡ ψυχή, ἡ ὁποία ἁμαρτάνει, ἀφ᾽ ἑαυτῆς ἀποθάνῃ, [εἶναι] ὁλοφάνερο, ὅτι οἱ μὲν ἄνθρωποι πεθαίνουν σὰν ἄνθρωποι καὶ θάπτονται ἀπὸ ἀνθρώπους. Οἱ δὲ ἄλογοι [λογισμοί], ὅταν θανατώνονται, δηλαδὴ ὅταν πέφτουν κάτω ἀπὸ γύπες καὶ κοράκια θὰ φαγωθοῦν, [δηλαδὴ ἀπὸ ὑψιπετεῖς λογισμούς], τὰ νεογέννητα πουλιὰ τῶν ὁποίων, ἄλλα μὲν ἐπικαλοῦνται τὸν Κύριο [διὰ τῆς προσευχῆς], ἄλλα δὲ ἀναμειγνύονται μὲ τὸ αἷμα [διὰ τῆς μυστηριακῆς ζωῆς][α΄]. Αὐτὸς ποὺ ἔχει αὐτιά, ἂς ἀκούσῃ.

20. Ὅταν κάποιος ἀπὸ τοὺς ἐχθρούς, ἀφοῦ [σέ] πλησιάσῃ, σὲ πληγώσῃ καὶ

βούλει τὴν ῥομφαίαν αὐτοῦ στρέψαι, κατὰ τὸ γεγραμμένον, ἐπὶ τὴν καρδίαν αὐτοῦ, ποίησον οὕτως ὡς λέγομεν. Δίελε κατὰ σαυτόν, τὸν ὑπ᾽ αὐτοῦ βληθέντα λογισμόν, ὅς τίς ποτέ ἐστι, καὶ ἐκ πόσων πραγμάτων συνέστηκε, καὶ ποῖον τοῦτό ἐστι μάλιστα τὸ θλῖβον τὸν νοῦν. Ὃ δὲ λέγω, τοιοῦτόν ἐστιν. Ἔστω πεμφθεὶς ὑπ᾽ αὐτοῦ ὁ τῆς φιλαργυρίας λογισμός· τοῦτον δίελε εἴς τε τὸν ὑποδεξάμενον αὐτὸν νοῦν, καὶ εἰς τὸ νόημα τοῦ χρυσοῦ, καὶ αὐτὸν τὸν χρυσόν, καὶ εἰς τὸ φιλάργυρον πάθος. Λοιπὸν ἐρώτα· τί τούτων ἐστὶν ἁμαρτία; Πότερον ὁ νοῦς; Καὶ πῶς ἐστιν εἰκὼν τοῦ Θεοῦ; Ἀλλὰ τὸ νόημα τοῦ χρυσοῦ; Καὶ τοῦτο τίς ἂν εἴποι, νοῦν ἔχων, ποτέ; Ἀλλ᾽ αὐτὸς ὁ χρυσός ἐστιν ἁμαρτία; Καὶ τίνος χάριν γεγένηται; Ἕπεται τοίνυν τῆς ἁμαρτίας εἶναι τὸ αἴτιον τὸ τέταρτον· ὅπερ οὐκ ἔστι πρᾶγμα ὑφεστὼς κατ᾽ οὐσίαν, οὐδὲ νόημα πράγματος, ἀλλ᾽ ἡδονή τις μισάνθρωπος ἐκ τοῦ αὐτεξουσίου τικτομένη, καὶ κα-

θέλῃς σύμφωνα μ᾽ ἐκεῖνο, ποὺ ἔχει γραφῆ, νὰ ἐπιστρέψῃς τὸ ξίφος του μέσα στὴν καρδία του, πρᾶξε ἔτσι ὅπως σοῦ λέμε. Ἑρμήνευσε στὸν ἑαυτό σου, τὸν λογισμό, ποὺ σοῦ ὑπεβλήθη ἀπ᾽ αὐτόν [τὸν διάβολο δηλαδή]. Ποιὸς ἐπιτέλους εἶναι καὶ ἀπὸ πόσα πράγματα ἔχει συσταθῆ καὶ ποιὸ εἶναι αὐτό, τὸ ὁποῖο περισσότερο θλίβει τὸν νοῦ. Δηλαδὴ ἐκεῖνο ποὺ λέγω, εἶναι τὸ ἑξῆς. Ἂς εἶναι [παραδείγματος χάριν], ἐκεῖνος ποὺ ἐξακοντίστηκε ἀπ᾽ αὐτόν [τὸν διάβολο δηλαδή], ὁ λογισμὸς τῆς φιλαργυρίας. Διαχώρισε αὐτόν: στὸ νοῦ, ὁ ὁποῖος καὶ τὸν ὑποδέχτηκε καὶ στὸν στοχασμὸ τοῦ χρυσοῦ καὶ στὸν ἴδιο τὸν χρυσὸ καὶ στὸ φιλάργυρο πάθος. Ἔπειτα ρώτησε. Ποιὸ ἀπὸ αὐτὰ εἶναι ἁμαρτία; Ποιό; Ὁ νοῦς; Καί [τότε], ποιὸ ἀπὸ τὰ δύο εἶναι εἰκόνα τοῦ Θεοῦ; Ἀλλὰ μήπως ὁ συλλογισμὸς τοῦ χρυσοῦ; Καὶ ἐὰν κανεὶς ἔχῃ νοῦ, θὰ μποροῦσε νὰ τὸ πῆ αὐτὸ ποτέ; Εἶναι λοιπὸν ἁμαρτία ὁ ἴδιος ὁ χρυσός; Καί [τότε] γιὰ χάρι ποιοῦ [γιὰ ποιὸ λόγο] ἔχει δημιουργηθῆ; Γίνεται ἑπομένως κατανοητό, ὅτι τὸ αἴτιο τῆς ἁμαρτίας εἶναι τὸ τέταρτο, τὸ ὁποῖο ἀσφαλῶς δὲν εἶναι πρᾶγμα, ποὺ ἔχει ὑπόστασι ὡς πρὸς τὴν οὐσία του, οὔτε σκέψις πράγματος ἀλλὰ κάποια μισάνθρωπη ἡδονή, ἡ ὁποία γεννιέται ἀπὸ τὸ αὐτεξούσιο καὶ ἀναγ-

κῶς κεχρῆσθαι τοῖς τοῦ Θεοῦ κτίσμασι τὸν νοῦν ἀναγκάζουσα· ἥνπερ ἡδονὴν περιτέμνειν, ὁ τοῦ Θεοῦ νόμος πεπίστευται. Καὶ ταῦτά σου διερευνωμένου, φθαρήσεται μὲν ὁ λογισμός, εἰς τὴν ἰδίαν ἀναλυόμενος θεωρίαν· φεύξεται δὲ ἀπὸ σοῦ τὸ δαιμόνιον, τῆς διανοίας σου ὑπὸ ταύτης τῆς γνώσεως, εἰς ὕψος ἀρθείσης. Εἰ δὲ μὴ βούλει χρήσασθαι κατ᾽ ἐκείνου, τῇ ἐκείνου ῥομφαίᾳ, ἐπιποθεῖς δέ, πρῶτον διὰ τῆς σῆς σφενδόνης τοῦτον χειρώσασθαι, ἔκβαλε καὶ σὺ λίθον ἐκ τοῦ ποιμενικοῦ σου καδίου, καὶ τούτου ζήτει τὴν θεωρίαν· πῶς ἄγγελοι μὲν καὶ δαίμονες τῷ ἡμετέρῳ παραβάλλουσι κόσμῳ, ἡμεῖς δὲ τοῖς αὐτῶν κόσμοις οὐ παραβάλλομεν· οὐδὲ γὰρ ἀγγέλους Θεῷ πλεῖον συνάπτειν δυνάμεθα, οὐδὲ δαίμονας μᾶλλον ἀκαθάρτους ποιεῖν προαιρούμεθα· καὶ πῶς ἑωσφόρος ὁ πρωὶ ἀνατέλλων εἰς γῆν κατερρίφθη[50]*, καὶ ἥγηται μὲν τὴν θάλασσαν, ὥσπερ ἐξάλειπτρον, τὸν δὲ τάρταρον τῆς ἀβύσσου, ὥσπερ αἰχμάλωτον· ἀναζεῖ δὲ*

κάζει τὸν νοῦ νὰ χρησιμοποιῇ κακῶς, τὰ δημιουργήματα τοῦ Θεοῦ, τὴν ὁποία βέβαια ἡδονὴ πιστεύεται [ὑπάρχει πεποίθησι], ὅτι ὁ νόμος τοῦ Θεοῦ τὴν ἀποκόπτει. Καὶ ἀφοῦ διερευνήσῃς αὐτά, θὰ φθαρῇ μὲν ὁ λογισμός σου ἐπανερχόμενος στὴν ἴδια θεωρία, ἀλλὰ θὰ φύγῃ ἀπὸ σένα τὸ δαιμόνιο, ἐπειδὴ ἀνῆλθε ψηλὰ ἡ διάνοιά σου ἐξ αἰτίας αὐτῆς τῆς γνώσεως. Ἐὰν ὅμως δὲν θέλῃς νὰ ἐπιτεθῇς ἐναντίον ἐκείνου, μὲ ἐκείνου τὸ ξίφος, ἀλλὰ ἔχεις πόθο μὲ τὴν δική σου σφενδόνη ἀπὸ τὴν ἀρχή, νὰ τὸν ἐξουσιάσῃς, [τότε] βγάλε καὶ ἐσὺ πέτρα ἀπὸ τὸν μικρὸ ποιμενικό σου κάδο καὶ ἐπιζήτησε αὐτὴν ἐδῶ τὴν θεωρία: Πῶς οἱ ἄγγελοι μὲν καὶ οἱ δαίμονες πλησιάζουν τὸν δικό μας κόσμο, ἐμεῖς ὅμως τοὺς δικούς τους κόσμους δὲν τοὺς πλησιάζουμε. Οὔτε βέβαια μποροῦμε νὰ ἑνώσουμε τοὺς ἀγγέλους [ἀκόμη] περισσότερο μὲ τὸν Θεό, οὔτε ἐπιχειροῦμε νὰ κάνουμε τοὺς δαίμονες περισσότερο ἀκαθάρτους. Καὶ πῶς ὁ ἑωσφόρος, ποὺ ἀνατέλλει τὸ πρωΐ, κατακρημνίστηκε καὶ νομίζει τὴν μὲν θάλασσα, σὰν ἕνα μικρὸ δοχεῖο, [ποὺ μπορεῖ νὰ τὸ κρατᾷ στὰ χέρια του], τὸ δὲ βάθος τῆς ἀβύσσου [τὸ νομίζει] σὰν αἰχμάλωτό [του]. Ἀναβράζει δὲ

τὴν ἄβυσσον ὥσπερ χαλκεῖον[51]· πάντας ἐκταράσσων ὑπὸ τῆς κακίας αὐτοῦ, καὶ πάντων ἄρχειν βουλόμενος. Τούτων γὰρ τῶν πραγμάτων ἡ θεωρία, πάνυ τιτρώσκει τὸν δαίμονα, καὶ πᾶσαν αὐτοῦ τὴν παρεμβολὴν φυγαδεύει. Ἀλλὰ ταῦτα μέν, ἐπὶ τῶν ἠρέμα κεκαθαρμένων συμβαίνει, καὶ βλεπόντων ποσῶς τοὺς λόγους τῶν γεγονότων· οἱ δὲ ἀκάθαρτοι, τὴν θεωρίαν τούτων οὐκ ἴσασιν· οὐδὲ καὶ μαθόντες παρ᾽ ἑτέρων κατεπᾴδοιεν ἀκουσθήσονται, πολλοῦ κονιορτοῦ καὶ θορύβου διὰ τὰ πάθη συνισταμένου κατὰ τὸν πόλεμον. Δεῖ γὰρ πάντως τὴν παρεμβολὴν τῶν ἀλλοφύλων ἠρεμῆσαι, ἵνα μόνος ὁ Γολιὰθ ἀπαντήσῃ τῷ ἡμετέρῳ Δαβίδ[52]. Ὡσαύτως δὲ καὶ τῇ διαιρέσει τοῦ πολέμου, καὶ τῷ εἴδει χρησώμεθα, καὶ ἐπὶ πάντων τῶν ἀκαθάρτων λογισμῶν.

κα΄. Ὅταν τινὲς τῶν ἀκαθάρτων λογισμῶν ταχέως φυγαδευθῶσι, ζητήσωμεν τὴν αἰτίαν, πόθεν τοῦτο συμβέβηκε; Πότερον διὰ τὴν σπάνιν

τὴν ἄβυσσο σὰν καζάνι, ταράζοντας ὅλους δυνατὰ ἀπὸ τὴν κακία του καὶ ἐπιθυμώντας νὰ ἐξουσιάζῃ τοὺς πάντες καὶ τὰ πάντα. Ἡ θεωρία αὐτῶν βέβαια τῶν πραγμάτων πάρα πολὺ τραυματίζει τὸν διάβολο καὶ ἐκδιώκει ὅλη τὴν δική του παράταξι [τῶν δαιμόνων]. Ἀλλὰ αὐτὰ μὲν συμβαίνουν σ᾽ ἐκείνους, οἱ ὁποῖοι σιγά-σιγὰ ἔχουν καθαρθῆ καὶ βλέπουν σὲ κάποιο μέτρο, τοὺς λόγους, ὅσων ἔχουν γίνει. Οἱ δὲ ἀκάθαρτοι δὲν γνωρίζουν τὴν θεωρία αὐτῶν [τῶν πραγμάτων], οὔτε πρόκειται νά [τήν] ἀντιληφθοῦν, [ἀκόμα] καὶ ἐὰν διδαχθοῦν ἀπό ἄλλους νά [τήν] ἐπαναλαμβάνουν ἀδιαλείπτως, ἐπειδὴ κατὰ τὴν διάρκεια τοῦ πολέμου γίνεται πολλὴ σκόνη καὶ θόρυβος ἐξ αἰτίας τῶν παθῶν. Διότι πρέπει ἐξάπαντος ἡ παράταξι τῶν ἐχθρῶν [δαιμόνων] νὰ ἠρεμήσῃ, γιὰ νὰ συναντήσῃ μόνος ὁ Γολιὰθ τὸν δικό μας Δαυΐδ. Κατὰ τὸν ἴδιο δὲ τρόπο θὰ μεταχειριστοῦμε καὶ τὴν ἀνάλυσι τοῦ πολέμου καὶ τὴν μέθοδό [του] καὶ στίς [περιπτώσεις] ὅλων τῶν ἀκαθάρτων λογισμῶν.

21. Ὅταν κάποιοι ἀπὸ τοὺς ἀκάθαρτους λογισμοὺς γρήγορα ἐκδιωχθοῦν νὰ ἀναζητήσωμε τὴν αἰτία. Γιὰ ποιὸ λόγο συνέβη αὐτό; Γιὰ ποιὸν ἀπὸ τοὺς δύο λόγους· ἐξ αἰτίας τῆς ἐλλείψεως

τοῦ πράγματος, τὸ δυσπόριστον εἶναι τὴν ὕλην, ἢ διὰ τὴν προσοῦσαν ἡμῖν ἀπάθειαν, οὐκ ἴσχυσε καθ' ἡμῶν ὁ ἐχθρός· οἷον, εἴτις ἀναχωρούντων ἐνθυμηθῇ πόλεως πνευματικὴν κυβέρνησιν πιστευθῆναι, οὐ χρονίζει τοῦτον τὸν λογισμὸν φανταζόμενος, καὶ γίνεται γνώριμος ἐκ τῶν προλελεγμένων. Εἰδέ τις πόλεως καὶ τῆς τυχούσης γένοιτο, καὶ ὁμοίως λογίζεται, οὗτος μακάριος τῆς ἀπαθείας ἐστίν. Ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων λογισμῶν, εὑρεθήσεται ὁ τοιοῦτος τρόπος ἐξεταζόμενος. Ταῦτα ἀναγκαῖον εἰδέναι, πρὸς τὴν ἡμετέραν προθυμίαν καὶ δύναμιν· ἵνα ἴδωμεν εἰ τὸν Ἰορδάνην ἐπεράσαμεν[53], καὶ ἐγγύς ἐσμεν τῶν φοινίκων, ἢ ἔτι ἐν τῇ ἐρήμῳ διάγομεν, καὶ ὑπό τῶν ἀλλοφύλων τυπτόμεθα. Πάνυ γὰρ ποικίλος μοι φαίνεται τῆς φιλαργυρίας ὁ δαίμων, καὶ πρὸς ἀπάτην ἀμήχανος. Ὃς πολλάκις στενωθεὶς ὑπὸ τῆς ἄκρας ἀποταγῆς, τὸν οἰκονόμον εὐθὺς καὶ φιλόπτωχον ὑποκρίνεται· καὶ τοὺς μηδέπω παρόντας ὑποδέχεται ξέ-

τοῦ πράγματος, τὸ ὅτι εἶναι [δηλαδὴ] δυσεύρετη ἡ πρώτη ὕλη ἢ ὁ ἐχθρὸς δὲν ἀπέκτησε ἰσχύ [στὴν ἐπιβουλή] ἐναντίον μας, ἐξ αἰτίας τῆς ἀπαθείας, ποὺ ὑπάρχει μέσα μας. Ὅπως [παραδείγματος χάριν], ἐὰν κάποιος ἀπὸ τοὺς ἀναχωρητάς [μοναχούς] ἔβαλε κατὰ νοῦν νὰ δεχθῇ τὴν πνευματικὴ διακυβέρνησι μιᾶς πόλης [τὴν ἐπισκοποίησι], δὲν χρονίζει φανταζόμενος τὸν λογισμὸ αὐτὸ καὶ γίνεται φανερός [ἀποδεικνύεται] σύμφωνα μ' αὐτά, ποὺ ἔχουν εἰπωθῇ προηγουμένως, [ὅτι ἐξ αἰτίας τῆς ἐλλείψεως τοῦ πράγματος ἀπέκρουσε τὸν λογισμό]. Ἐὰν ὅμως κάποιος ἔγινε [ἐπίσκοπος] πόλεως, ὅπου κι' ἂν αὐτὴ τυχὸν βρίσκεται καὶ συνεχίζει νὰ σκέπτεται κατὰ τὸν ἴδιο τρόπο [διώχνοντας τὸν λογισμό], αὐτός εἶναι μακάριος ἐξ αἰτίας τῆς ἀπαθείας [του]. Αὐτοῦ τοῦ εἴδους ὁ τρόπος, κάθε φορὰ ποὺ τὸν δοκιμάζουμε, ὅμοια ἐπίσης θὰ ἐπιτύχῃ [νὰ ἀνεύρῃ τὴν αἰτία τῆς ἐκδιώξεως τοῦ λογισμοῦ] καὶ στὶς περιπτώσεις τῶν ἄλλων λογισμῶν. Αὐτὰ εἶναι ἀναγκαῖο νὰ τὰ γνωρίζουμε μὲ σκοπό [τὴν ἐνίσχυσι] τῆς δικῆς μας προθυμίας καὶ δυνάμεως, γιὰ νὰ μάθουμε, ἐὰν περάσαμε τὸν Ἰορδάνη καὶ εἴμαστε κοντὰ στοὺς φοίνικες ἢ μένουμε στὴν ἔρημο καὶ δεχόμεθα χτυπήματα ἀπὸ τοὺς ἐχθρούς. Διότι πάρα πολὺ πανοῦργος μοῦ φαίνεται ὁ δαίμονας τῆς φιλαργυρίας καὶ στὴν ἐξαπάτησι δεινός, ὁ ὁποῖος συχνά, ὅταν περιοριστῇ ἀπὸ τὴν ἄκρα ἀπάρνησι [τῶν ἐγκοσμίων], ἀμέσως ὑποκρίνεται τὸν οἰκονόμο καὶ τὸν ἐλεήμονα πρὸς τοὺς πτωχοὺς καὶ βγαίνει νὰ ὑποδεχθῇ τοὺς ξένους κατὰ τὸν πλέον φιλόφρο-

νους γνησιώτερον, καὶ ἄλλοις λειπομένοις ἀποστέλλει διακονίαν· καὶ δεσμωτήρια πόλεως ἐπισκέπτεται, καὶ τοὺς πιπρασκομένους δῆθεν ἐξαγοράζει· γυναιξίν τε κολλᾶσθαι πλουσίαις, ὑποδείκνυσιν. Ἄλλοις πάλιν ὑποτάξασθαι νουθετεῖ, βαλάντιον ἁδρὸν κεκτημένοις. Καὶ οὕτως ἐξαπατήσας κατὰ μικρὸν τὴν ψυχήν, τοῖς τῆς φιλαργυρίας αὐτὴν λογισμοῖς περιβάλλει, καὶ τῷ τῆς κενοδοξίας παραδίδωσι δαίμονι. Ὃς πλῆθος εἰσάγει τῶν δοξαζόντων ἐπὶ ταῖς οἰκονομίαις ταύταις τὸν Κύριον, καί τινας κατ᾽ ὀλίγον περὶ Ἱερωσύνης συλλαλοῦντας ἀλλήλοις οἰκονομεῖ. Θάνατον δὲ τοῦ ὄντος προμαντεύεται ἱερέως, καὶ ὡς οὐκ ἂν ἐκφύγοι μυρία ποιήσας προτίθησι. Καὶ οὕτως ὁ ταλαίπωρος νοῦς ἐνδεθεὶς τούτοις τοῖς λογισμοῖς, τοῖς μὲν μὴ καταδεξαμένοις τῶν ἀνθρώπων, διαμάχεται· τοῖς δὲ καταδεξαμένοις, ἑτοίμως δῶρα χαρίζεται, καὶ τῆς εὐγνωμοσύνης αὐτοὺς ἀποδέχεται. Τινὰς δὲ στασιάζοντας, τοῖς

να τρόπο πρὶν ἀκόμα νὰ φθάσουν καὶ σὲ ἄλλους [ξένους], ποὺ μένουν πίσω ἀποστέλλει εὐλογία. Καὶ τὶς φυλακὲς τῆς πόλεως ἐπισκέπτεται καὶ ἐκείνους ποὺ πωλοῦνται ὡς δοῦλοι δῆθεν τοὺς ἐξαγοράζει. Ὑποδεικνύει [σὲ κάποιους] νὰ προσκολλῶνται καὶ σὲ γυναῖκες πλούσιες. Ἄλλους πάλι τοὺς συμβουλεύει νὰ ὑποταχθοῦν σὲ ὅσους ἔχουν γεμάτο πορτοφόλι. Καὶ κατ᾽ αὐτὸν τὸν τρόπο ἀφοῦ ἐξαπατήση σιγά-σιγὰ τὴν ψυχή, τὴν περικλείει μέσα στοὺς λογισμοὺς τῆς φιλαργυρίας καί [τήν] παραδίδει στὸν δαίμονα τῆς κενοδοξίας. Αὐτὸς παριστάνει [στὸν νοῦ] πλῆθος ἀπὸ ἐκείνους ποὺ δοξάζουν τὸν Κύριο ἐξ αἰτίας αὐτῶν τῶν οἰκονομικῶν χειρισμῶν καὶ κάποιους λίγο-λίγο ἐξευρίσκει νὰ μιλοῦν μεταξύ τους γιὰ τὴν Ἱερωσύνη. Προφητεύει δὲ τὸν θάνατο τοῦ πραγματικοῦ ἱερέα καὶ παρουσιάζει, ὅτι [αὐτός] δὲν μπορεῖ νὰ γλιτώση [ἀπὸ τὸν θάνατο] ἀκόμα κι᾽ ἂν μετέλθη μύριες ὅσες [μεθόδους]. Καὶ ἔτσι ὁ ταλαίπωρος νοῦς, δεμένος μ᾽ αὐτοὺς τοὺς λογισμούς, φιλονεικεῖ μὲν μὲ ὅσους ἀπὸ τοὺς ἀνθρώπους δέν [τόν] παραδέχονται, σ᾽ ἐκείνους ὅμως ποὺ τὸν παραδέχονται πρόθυμα προσφέρει δῶρα καὶ τοὺς δέχεται ἕνεκεν εὐγνωμοσύνης. Κάποιους δέ, οἱ ὁποῖοι ἐπαναστατοῦν, τοὺς

δικασταῖς παραδίδωσι, καὶ τῆς πόλεως ἐξορίζεσθαι παραγγέλλει. Τούτων δὲ λοιπὸν ἔνδον ὄντων τῶν λογισμῶν καὶ στρεφομένων, εὐθὺς ὁ τῆς ὑπερηφανίας ἐφίσταται δαίμων, ἀστραπὰς συνεχεῖς κατὰ τὸν ἀέρα τῆς κέλλης, καὶ δράκοντας πτερωτοὺς ἐπιπέμπων· καὶ τοτελευταῖον, στέρησιν φρενῶν ἐργαζόμενος. Ἀλλ᾽ ἡμεῖς, τούτοις τοῖς λογισμοῖς ἀπώλειαν ἐπευξάμενοι, μετ᾽ εὐχαριστίας τῇ πενίᾳ συζήσωμεν. Οὐδὲν γὰρ εἰσηνέγκαμεν εἰς τὸν κόσμον, δῆλον ὅτι οὔτε ἐξενεγκεῖν τι δυνάμεθα[54]. *Ἔχοντες δὲ διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα*[55]*· μεμνημένοι τοῦ Παύλου, ῥίζα πάντων τῶν κακῶν ἐστιν ἡ φιλαργυρία, λέγοντος*[56].

κβ'. Πάντες οἱ ἀκάθαρτοι λογισμοί, διὰ τὰ πάθη χρονίζοντες ἐν ἡμῖν, κατάγουσι τὸν νοῦν εἰς ὄλεθρον καὶ ἀπώλειαν. Ὥσπερ γὰρ τό νόημα τοῦ ἄρτου χρονίζει ἐν τῷ πεινῶντι, διὰ τὴν πεῖναν, καὶ τὸ νόημα τοῦ ὕδατος ἐν τῷ διψῶντι, διὰ τὴν δίψαν· οὕτω καὶ τὰ νοήματα τῶν χρη-

παραδίδει στοὺς δικαστὲς καὶ προτρέπει νὰ ἐξοριστοῦν ἀπὸ τὴν πόλι. Ὅταν δὲ ἤδη βρίσκωνται καὶ στριφογυρίζουν ἐντός [τοῦ ἀνθρώπου] αὐτοὶ οἱ λογισμοί, ἀμέσως παρίσταται ἐπιθετικὸς ὁ δαίμονας τῆς ὑπερηφανίας στέλνοντας ἐναντίον [τοῦ ἀνθρώπου] συνεχεῖς ἀστραπὲς στὸν ἀέρα τοῦ κελλιοῦ καὶ πτερωτοὺς δράκοντες καὶ τέλος ἐπιφέροντας τὴν ἀπώλεια τοῦ λογικοῦ. Ἀλλὰ ἐμεῖς προσευχόμενοι γιὰ τὴν ἀπώλεια αὐτῶν τῶν λογισμῶν, θὰ ζήσουμε μαζὶ μὲ τὴν πτωχεία μετ᾽ εὐχαριστίας [πρὸς τὸν Θεό]. Διότι τίποτα δὲν φέραμε μέσα στὸν κόσμο, [ἑπομένως γίνεται] φανερό, ὅτι οὔτε τίποτα μποροῦμε νά βγάλουμε ἔξω [ἀπὸ τὸν κόσμο]. Ἔχοντας δὲ τροφὲς καὶ σκεπάσματα, σ᾽ αὐτὰ θὰ ἀρκεστοῦμε, φέρνοντας στὴν μνήμη μας τὸν Παῦλο, ὁ ὁποῖος λέγει: «Ρίζα ὅλων τῶν κακῶν εἶναι ἡ φιλαργυρία».

22. Ὅλοι οἱ ἀκάθαρτοι λογισμοί, οἱ ὁποῖοι χρονίζουν μέσα μας ἐξ αἰτίας τῶν παθῶν, ὁδηγοῦν πρὸς τὰ κάτω τὸν νοῦ, στὸν ἀφανισμὸ καὶ τὴν ἀπώλεια. Διότι, ὅπως ἀκριβῶς ἡ σκέψι τοῦ ψωμιοῦ χρονίζει ἐξ αἰτίας τῆς πείνας, σ᾽ ἐκεῖνον ποὺ πεινᾶ καὶ ἡ σκέψι τοῦ νεροῦ ἐξ αἰτίας τῆς δίψας, σ᾽ ἐκεῖνον ποὺ διψᾶ, κατὰ τὸν ἴδιο τρόπο καὶ οἱ σκέψεις τῶν χρη-

μάτων, καὶ τῶν τικτομένων αἰσχρῶν λογισμῶν ἐκ τῶν βρωμάτων, χρονίζει, διὰ τὰ πάθη. Ἀλλὰ καὶ ἐπὶ τῶν τῆς κενοδοξίας λογισμῶν, καὶ ἐπὶ τῶν ἄλλων νοημάτων, ὁμοίως φανερωθήσεται. Οὐκ ἔστι δὲ νοῦν πνιγόμενον ὑπὸ τῶν τοιούτων νοημάτων, παραστῆναι Θεῷ, καὶ τὸν τῆς δικαιοσύνης ἀναδήσασθαι στέφανον. Ἐκ τούτων γὰρ τῶν λογισμῶν κατασπώμενος καὶ ὁ ἐν τοῖς Εὐαγγελίοις τρισάθλιος νοῦς ἐκεῖνος, τὸ τῆς γνώσεως τοῦ Θεοῦ ἄριστον παρῃτήσατο[57]*· καὶ πάλιν ὁ δεσμούμενος χεῖρας καὶ πόδας, καὶ εἰς τὸ ἐξώτερον σκότος βαλλόμενος*[58]*, ἐκ τούτων τῶν λογισμῶν εἶχε καθυφασμένον τὸ ἔνδυμα· ὅνπερ οὐκ ἄξιον τῶν τοιούτων γάμων ὁ καλέσας ἀπεφήνατο εἶναι. Διὸ ἔνδυμά ἐστι γαμικόν, ἀπάθεια ψυχῆς λογικῆς, κοσμικὰς ἀρνησαμένης ἐπιθυμίας. Τίς δὲ καὶ ἡ αἰτία τοῦ τὰ νοήματα τῶν αἰσθητῶν πραγμάτων χρονίζοντα, διαφθείρειν τὴν γνῶσιν, ἐν τοῖς περὶ Προσευχῆς Κεφαλαίοις ἐλέχθη.*

μάτων καὶ τῶν αἰσχρῶν λογισμῶν, οἱ ὁποῖες γεννῶνται ἀπὸ τὰ φαγητά, χρονίζουν ἐξ αἰτίας τῶν παθῶν. Ἀλλὰ καὶ σχετικὰ μὲ τοὺς λογισμοὺς τῆς κενοδοξίας καὶ τὶς ἄλλες σκέψεις, κατὰ τὸν ἴδιο τρόπο θὰ γίνῃ φανερό, [ὅτι χρονίζουν ἐξ αἰτίας τῶν παθῶν]. Δὲν εἶναι δέ [δυνατόν] νοῦς, ὁ ὁποῖος πνίγεται ἀπὸ τέτοιου εἴδους σκέψεις, νὰ παρασταθῇ ἐνώπιον τοῦ Θεοῦ καὶ νὰ στεφανωθῇ μὲ τὸν στέφανο τῆς δικαιοσύνης. Διότι καὶ ὁ τρισάθλιος ἐκεῖνος νοῦς [τοῦ Ἰούδα], πού [ἀναφέρεται] στὰ Εὐαγγέλια, ἐπειδὴ ἀπὸ αὐτοὺς τοὺς λογισμοὺς καταβροχθίσθηκε, καταφρόνησε τὸ δεῖπνο τῆς γνώσεως τοῦ Θεοῦ. Καὶ πάλι ἐκεῖνος, ὁ ὁποῖος δέθηκε στὰ χέρια καὶ τὰ πόδια καὶ ρίφθηκε στὸ ἐξώτερο σκότος, ἀπὸ αὐτοὺς τοὺς λογισμούς εἶχε ἐξ ὁλοκλήρου ὑφασμένο τὸ ἔνδυμα, τὸν ὁποῖο βέβαια, Ἐκεῖνος ποὺ προσκαλοῦσε ἔκρινε, ὅτι δὲν εἶναι ἄξιος αὐτῶν [τῶν θείων] γάμων. Γιὰ τοῦτο ἔνδυμα γάμου εἶναι ἡ ἀπάθεια τῆς λογικῆς ψυχῆς, ποὺ ἀρνεῖται τὶς κοσμικὲς ἐπιθυμίες. Ποιὰ δέ [εἶναι] ἡ αἰτία τοῦ ἀφανισμοῦ τῆς γνώσεως, ὅταν χρονίζουν [στὸν νοῦ] οἱ σκέψεις τῶν αἰσθητῶν πραγμάτων, [αὐτό] εἰπώθηκε στὰ Κεφάλαια περὶ Προσευχῆς.

κγ΄. Τῶν ἀντικειμένων δαιμόνων τῇ πρακτικῇ τρεῖς εἰσι πρωτοστάται· οἷς ἕπεται πᾶσα ἡ παρεμβολὴ τῶν ἀλλοφύλων· οἵτινες πρῶτοι κατὰ τὸν πόλεμον ἵστανται, καὶ τὰς ψυχὰς διὰ τῶν ἀκαθάρτων λογισμῶν ἐκκαλοῦνται πρὸς τὴν κακίαν. Οἱ τὰς τῆς γαστριμαργίας πεπιστευμένοι ὀρέξεις, οἱ τὴν φιλαργυρίαν ἡμῖν ὑποβάλλοντες, καὶ οἱ πρὸς τήν τῶν ἀνθρώπων δόξαν ἡμᾶς ἐκκαλούμενοι. Ἐπιθυμῶν οὖν καθαρᾶς προσευχῆς, διατήρησον θυμόν· καὶ ἀγαπῶν τὴν σωφροσύνην, κράτησον γαστρός· καὶ μὴ δῷς ἄρτον σῇ κοιλίᾳ εἰς κόρον, καὶ ὕδατι ἔκθλιβε αὐτήν. Ἀγρύπνει ἐν προσευχῇ, καὶ μνησικακίαν μακρὰν ποίησον ἀπὸ σοῦ. Λόγοι Πνεύματος Ἁγίου μὴ ἐκλιπέτωσάν σε, καὶ θύρας γράφων [recte: Γραφῶν] κροῦε χερσὶν ἀρετῶν. Τότε ἀνατελεῖ σοι καρδίας ἀπάθεια, καὶ νοῦν ἀστεροειδῆ ὄψει ἐν προσευχῇ.

23. Ἀπὸ τοὺς δαίμονες, οἱ ὁποῖοι ἐναντιώνονται στὴν ἀσκητικὴ πρακτική, τρεῖς εἶναι οἱ ἐπὶ κεφαλῆς, αὐτοὶ τοὺς ὁποίους ἀκολουθεῖ ὁλόκληρη ἡ παράταξι τῶν ἐχθρῶν, οἱ ὁποῖοι πρῶτοι αὐτοὶ τάσσονται στὸν πόλεμο καὶ τὶς ψυχὲς μέσῳ τῶν ἀκαθάρτων λογισμῶν παρακινοῦν πρὸς τὴν κακία. [Εἶναι:] ἐκεῖνοι ποὺ ἔχουν γίνει πιστοὶ στὶς ὀρέξεις τῆς γαστριμαργίας, ἐκεῖνοι, ποὺ μᾶς ὑποβάλλουν τὴν φιλαργυρία καὶ ὅσοι μᾶς προσκαλοῦν γιὰ τὴν δόξα τῶν ἀνθρώπων. Ἐὰν λοιπὸν ἐπιθυμῇς καθαρὰ προσευχὴ κράτησε τὸν ἑαυτό σου μακριὰ ἀπὸ τὸν θυμό. Καὶ ἐὰν ἀγαπᾷς τὴν σωφροσύνη, κυβέρνησε τὸ στομάχι σου καὶ μὴν δώσῃς στὴν κοιλία σου [τόσο] ψωμί, ὥστε [νὰ φθάσῃ] στὸ χορτασμὸ καὶ ὡς πρὸς τὸ νερὸ στέρησέ την. Νὰ ἀγρυπνῇς στὴν προσευχὴ καὶ θέσε τὴν μνησικακία μακριὰ ἀπὸ σένα. Οἱ λόγοι τοῦ Ἁγίου Πνεύματος νὰ μὴν σὲ ἐγκαταλείψουν καὶ κροῦε τὶς πόρτες τῶν Γραφῶν μὲ τὰ χέρια τῶν ἀρετῶν. Τότε θὰ ἀνατείλῃ σὲ σένα ἡ ἀπάθεια τῆς καρδίας καὶ θὰ δῇς μέσα στὴν προσευχὴ τὸν νοῦ [σου, λαμπρό] σὰν ἄστρο .

ΣΗΜΕΙΩΣΕΙΣ - ΣΧΟΛΙΑ


ΠΑΡΑΠΟΜΠΕΣ

ΣΕ ΧΩΡΙΑ ΤΗΣ ΑΓΙΑΣ ΓΡΑΦΗΣ

[1] Παροιμ. 10, 4.
[2] Ματθ. 4, 1-10.
[3] Ματθ. 6, 1-18.
[4] Κολασσ. 3, 10,11.
[5] Ψαλμ. 36, 8.
[6] Ἐκκλησ. 11, 10.
[7] Α' Τιμόθ. 2, 8.
[8] Δευτερ. 32, 33.
[9] Ματθ. 6, 25,31,32.
[10] Ματθ. 10, 29.
[11] Πρβ. Ἰω. 5, 13.
[12] Β' Κορ. 11, 27.
[13] Β' Τιμόθ. 4, 8.
[14] Α' Κορ. 9, 24.
[15] Φιλιππ. 3, 14.
[16] Ἐφεσ. 6, 12.
[17] Ματθ. 6, 21.
[18] Βλ. Ἐξ. 24, 22-39.
[19] Δανιὴλ 5, 2,3.
[20] Λουκ. 24, 32.
[21] Ψαλμ. 138, 22.
[22] Πρβ. Ματθ. 24, 22.
[23] Ματθ. 25, 36.
[24] Πρβ. Α' Τιμόθ. 2, 10.
[25] Παροιμ. 17, 22.
[26] Ἰὼβ 30, 24.
[27] Β' Κορ. 2, 7.
[28] Ματθ. 3, 8.
[29] Πρβ. Γεν. 12, 1.
[30] Ψαλμ. 24, 9.
[31] Ἀριθμ. 12, 3.
[32] Ψαλμ. 131, 1.
[33] Ματθ. 11, 29.
[34] Πρβ. Ματθ. 12, 45.
[35] Πρβ. Παροιμ. 5, 9.
[36] Ψαλμ. 4, 5.
[37] Πρβ. Ἑβρ. 10, 16.
[38] Ψαλμ. 22, 2.
[39] Α' Κορ. 9, 7.
[40] Πρβ. Α' Βασ. 17, 35.
[41] Γένεσ. 31, 39.
[42] Ἐξ. κεφ. 3 κ.ἑ.
[43] Β' Τιμόθ. 2, 11.
[44] Ἐξ. 24, 10.
[45] Ψαλμ. 81, 6.
[46] Ψαλμ. 31, 9.
[47] Ἰεζεκ. 18, 4.
[48] Ψαλμ. 146, 9.
[49] Ἰὼβ 39, 30.
[50] Πρβ. Ἡσ. 14, 12.
[51] Ἰὼβ 31, 23.
[52] Πρβ. Α' Βασ. κεφ. 17.
[53] Πρβ. Ἰησ. Ναυῆ κεφ. 3, κ.ἑ.
[54] Α' Τιμόθ. 6, 7.
[55] Α' Τιμόθ. 6, 8.
[56] Α' Τιμόθ. 6, 10.
[57] Πρβ. Λουκ. 14, 18.
[58] Ματθ. 22, 13.

ΣΗΜΕΙΩΣΕΙΣ

[α'] Πρβ. ΣΗΜΕΙΩΣΙ : [α'], σ. 178 παρόντος τόμου.



3

ΕΚ ΤΩΝ ΝΗΠΤΙΚΩΝ ΚΕΦΑΛΑΙΩΝ

α'. Οὕτω δεῖ ἀεὶ ἔχειν τὸν μοναχόν, ὡς αὔριον τεθνηξόμενον· καὶ οὕτω πάλιν τῷ σώματι κεχρῆσθαι, ὡς ἐν πολλοῖς ἔτεσι ζησόμενον. Τὸ μὲν γάρ, τοὺς τῆς ἀκηδίας περικόπτει λογισμούς, καὶ σπουδαιότερον εἶναι παρασκευάζει τὸν μοναχόν· τὸ δέ, σῷον διαφυλάττει τὸ σῶμα, καὶ ἴσην συντηρεῖ τὴν ἐγκράτειαν.

β'. Ὁ γνώσεως ἐφαψάμενος, καὶ τὴν ἐκ ταύτης καρπούμενος ἡδονήν, οὐκ ἔτι τῷ τῆς κενοδοξίας πεισθήσεται δαίμονι, πάσας αὐτῷ τὰς ἡδονὰς τοῦ κόσμου προσάγοντι. Τί γὰρ ἂν καὶ ὑπόσχοιτο μεῖζον πνευματικῆς θεωρίας; Ἐν ὅσῳ δέ ἐσμεν γνώσεως ἄγευστοι, τὴν πρακτικὴν προθύμως κατεργαζώμεθα· τὸν σκοπὸν ἡμῶν δεικνύντες τῷ Θεῷ, ὅτι πάντα πράττομεν, τῆς αὐτοῦ γνώσεως ἕνεκα.

1. Σ' αὐτὴ τὴν κατάστασι πρέπει νὰ εἶναι πάντοτε ὁ μοναχός, σὰν νὰ πρόκειται αὔριο νὰ πεθάνῃ. Καὶ πάλι, μὲ τέτοιο τρόπο [πρέπει] νὰ συμπεριφέρεται στὸ σῶμα του, σὰν νὰ πρόκειται νὰ ζήσῃ πολλὰ χρόνια. Διότι ἡ μέν [πρώτη κατάστασι] ἀποκόπτει τοὺς λογισμοὺς τῆς ἀκηδίας καὶ κάνει τὸν μοναχὸ νὰ εἶναι ἐπιμελέστερος. Ἡ δέ [δεύτερη] διαφυλάσσει ὑγιὲς τὸ σῶμα καὶ ἐξασφαλίζει ἐν μέτρῳ τὴν ἐγκράτεια.

2. Ἐκεῖνος, ποὺ ἄγγιξε τὴν γνῶσι καὶ ἀπὸ αὐτὴν ἀπήλαυσε ὡς καρπὸ τὴν ἡδονή, δὲν θὰ πιστεύσῃ πλέον στὸν δαίμονα τῆς κενοδοξίας, ἀκόμα κι' ἂν τοῦ προσφέρῃ ὅλες τὶς ἡδονὲς τοῦ κόσμου. Διότι καὶ τί μεγαλύτερο τῆς πνευματικῆς θεωρίας, ἤθελε ὑποσχεθῇ; Ἐν ὅσῳ ὅμως εἴμαστε ἄγευστοι τῆς γνώσεως, ἀσκούμεθα πρόθυμα στὴν πρακτικὴ ἐργασία, ἐπιδεικνύοντας στὸν Θεὸ τὸν σκοπό μας, ὅτι κάνουμε τὰ πάντα γιὰ χάρι τῆς γνώσεως Αὐτοῦ.

γ'. Ἀναγκαῖον καὶ τὰς ὁδοὺς τῶν προοδευσάντων μοναχῶν ἐκθέσθαι, καὶ πρὸς αὐτὰς κατορθοῦσθαι. Πολλὰ γάρ ἐστιν ὑπ' αὐτῶν πραχθέντα τε, καὶ ῥηθέντα καλῶς. Ἐν οἷς καὶ τοῦτό φησί τις αὐτῶν, ὅτι τὴν ξηροτέραν καὶ μὴ ἀνώμαλον δίαιταν, ἀγάπῃ συζευχθεῖσαν, θᾶττον εἰσάγειν τὸν μοναχόν, εἰς τὸν τῆς ἀπαθείας λιμένα.


δ'. Παρέβαλλον κατὰ σταθηρὰν μεσημβρίαν τῷ Ἁγίῳ Μακαρίῳ, καὶ λίαν ὑπὸ τῆς δίψης φλεγόμενος, ᾔτουν ὕδωρ πιεῖν. Ὁ δέ, φησίν· ἀρκέσθητι τῇ σκιᾷ· πολλοὶ γὰρ ὁδοιποροῦντες νυνί, καὶ πλέοντες, καὶ ταύτης ἐστέρηνται. Εἶτα λογισμοῖς πρὸς αὐτὸν περὶ ἐγκρατείας ἐγγυμνάζοντος, θάρσει, φησίν, ὦ τέκνον· ἐγὼ γὰρ ἐν ὅλοις εἴκοσιν ἔτεσιν, οὔτε ἄρτου, οὔτε ὕδατος, οὔτε ὕπνου κόρον εἴληφα. Ἀλλὰ τὸν μὲν ἄρτον μου ἤσθιον ἐν σταθμῷ, καὶ τὸ ὕδωρ ἔπινον μέτρῳ, τοῖς δὲ τοίχοις μικρὸν παρακλίνας, ὀλίγον τι μέρος ἀφήρπαζον ὕπνου.

3. Ἀναγκαῖο [εἶναι] νὰ ἐκθέσωμε καὶ τοὺς τρόπους τῶν μοναχῶν ἐκείνων, ποὺ προόδευσαν καὶ νὰ ἀποφασίσουμε νὰ ἐνεργήσουμε σύμφωνα μ' αὐτούς. Διότι πολλὰ εἶναι ἐκεῖνα, τὰ ὁποῖα καὶ κατορθώθηκαν καὶ ἐλέχθησαν καλῶς ἀπὸ αὐτούς. Ἀνάμεσα σ' αὐτὰ καὶ αὐτὸ εἶπε κάποιος ἀπ' αὐτούς, ὅτι ἡ λιτότερη δίαιτα, [ποὺ δὲν εἶναι] ἀκανόνιστη, ὅταν συνδεθῇ μὲ τὴν ἀγάπη, [κατορθώνει] γρηγορώτερα νὰ ὁδηγήσῃ τὸν μοναχὸ μέσα στὸ λιμάνι τῆς ἀπαθείας.

4. Πῆγα στὸν Ἅγιο Μακάριο ἕνα καταμεσήμερο, καὶ ἐπειδὴ πολὺ φλεγόμουν ἀπὸ τὴν δίψα, ζήτησα νὰ πιῶ νερό. Καὶ ἐκεῖνος, εἶπε: «ἀρκέσου στὴ σκιά, διότι πολλοὶ αὐτὴ ἀκριβῶς τὴν ὥρα, καθὼς ὁδοιποροῦν καὶ πλέουν στεροῦνται καί [τὴν σκιά] αὐτή». Ὕστερα, ἐνῶ μὲ παιδαγωγοῦσε σχετικὰ μὲ λογισμοὺς περὶ ἐγκρατείας [ποὺ κατέθεσα] σ' αὐτόν [μοῦ], εἶπε: «Ἔχε θάρρος, παιδί μου. Ἐγὼ πράγματι σὲ ὅλα τὰ εἴκοσι χρόνια [τῆς ἀσκήσεώς μου], δὲν χόρτασα οὔτε τὸ νερό, οὔτε τὸ ψωμί, οὔτε τὸν ὕπνο. Ἀλλὰ τὸ μὲν ψωμί μου τὸ ἔτρωγα μὲ τὸ ζύγι καὶ τὸ νερὸ μὲ τὸ μέτρο, στοὺς δὲ τοίχους καθὼς ἔγερνα λίγο στὸ πλάϊ, ἅρπαζα ἕνα μικρὸ μερίδιο ὕπνου».

ε΄. Νοῦν μὲν πλανώμενον ἵστησιν, ἀνάγνωσις, καὶ ἀγρυπνία, καὶ προσευχή. Ἐπιθυμίαν δὲ φλεγομένην μαραίνει, πεῖνα, καὶ κόπος, καὶ ἀναχώρησις. Θυμὸν δὲ καταπαύει κυκώμενον, ψαλμῳδία, καὶ μακροθυμία, καὶ ἔλεος. Τὰ γὰρ ἄμετρα, καὶ ἄκαιρα, ὀλιγοχρόνια· βλαβερὰ μᾶλλον, καὶ οὐκ ὠφέλιμα.

5. Τὸν μὲν μετεωριζόμενο νοῦ, τὸν κρατᾶ σταθερὸ ἡ ἀνάγνωσι καὶ ἡ ἀγρυπνία καὶ ἡ προσευχή. Τὴν δὲ ἐπιθυμία, ὅταν εἶναι ἀναμμένη, [τήν] σβήνει ἡ πεῖνα καὶ ὁ κόπος καὶ ἡ ἀναχώρησι. Τὸν θυμὸ ἐκεῖνον δέ, ποὺ εἶναι γεμᾶτος σύγχυσι καὶ ταραχή, [τὸν σβήνει] ἡ ψαλμωδία καὶ ἡ μακροθυμία καὶ τὸ ἔλεος. Διότι τὰ ἄμετρα καὶ τὰ ἄκαιρα [εἶναι] ὀλιγοχρόνια. [Εἶναι] μᾶλλον βλαβερὰ καὶ δέν [εἶναι] ὠφέλιμα.



ΑΓΙΟΣ ΚΑΣΣΙΑΝΟΣ Ο ΡΩΜΑΙΟΣ

οὗ ἡ μνήμη ἐν μηνὶ Φεβρουαρίῳ κθ′

ΣΥΝΤΟΜΟΣ ΒΙΟΓΡΑΦΙΑ ΚΑΙ ΛΟΓΟΙ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΚΑΣΣΙΑΝΟΥ ΤΟΥ ΡΩΜΑΙΟΥ

ΣΥΝΤΟΜΟΣ ΒΙΟΓΡΑΦΙΑ

Ὁ Ὅσιος Πατὴρ ἡμῶν Κασσιανὸς ὁ Ρωμαῖος, ἔζη ἐπὶ τῆς Βασιλείας Θεοδοσίου τοῦ μικροῦ, περὶ τὸ τετρακοσιοστὸν τριακοστὸν πρῶτον ἔτος ἀπὸ Χριστοῦ. Τῶν δὲ φιλοπονηθέντων αὐτῷ λόγων, ὁ περὶ τῶν ὀκτὼ λογισμῶν, καὶ ὁ περὶ διακρίσεως ὧδε ἐτέθησαν, ὡς παντοδαπῆς ὠφελείας καὶ χάριτος ἀποστάζοντες. Μέμνηται δὲ τούτων καὶ ὁ σοφώτατος Φώτιος, αὐταῖς λέξεσι φάσκων, ἀναγνώσει ρνζ΄. σελίδι 265. καὶ 266. Καὶ ὁ δεύτερος δὲ τῷ αὐτῷ (Κάστορι δηλαδὴ) προσπεφωνημένος ἐστί, περὶ τῶν ὀκτὼ δὲ λογισμῶν τὴν ἐπιγραφὴν φέρει, εἰς γαστριμαργίαν, πορνείαν, φιλαργυρίαν, ὀργήν, λύπην, καὶ ἀκηδίαν, κενοδοξίαν τε, καὶ ὑπερηφανίαν ἐξάπτει. Χρήσιμα δέ, εἴ περ τι ἄλλο, τὰ λόγια ταῦτα τοῖς αἱρουμένοις τὸν ἀ-


Ὁ Ὅσιος πατέρας μας, Κασσιανὸς ὁ Ρωμαῖος, ἔζησε ἐπὶ τῆς Βασιλείας Θεοδοσίου τοῦ μικροῦ, γύρω στὸ 431μ.Χ.. Ἀπὸ δὲ τοὺς λόγους, ποὺ ἐκπονήθηκαν ἀπ᾽ αὐτόν, συγκαταλέχθηκαν ἐδῶ, ὁ περὶ τῶν ὀκτὼ λογισμῶν καὶ ὁ περὶ διακρίσεως, ἐπειδὴ ἀποστάζουν ποικίλη ὠφέλεια καὶ χάρι. Λέγοντας ἐξάλλου τὶς ἴδιες λέξεις, τοὺς ἀναφέρει καὶ ὁ σοφώτατος Φώτιος, στὴν ἀνάγνωσι 147, στὴ σελίδα 265 καὶ 266. Καὶ ὁ δεύτερος [λόγος], (δηλαδή, πρὸς τὸν Κάστορα), ἀπὸ τὸν ἴδιο [τὸν Φώτιο] ἔχει ὀνομαστῆ, καὶ φέρει τὸν τίτλο: περὶ τῶν ὀκτὼ λογισμῶν. Συνάπτει στὴν γαστριμαργία, τὴν πορνεία, τὴν φιλαργυρία, τὴν ὀργή, τὴν λύπη καὶ τὴν ἀκηδία. [Εἶναι] δὲ τὰ λόγια αὐτὰ χρήσιμα, περισσότερο ἀπὸ ὅ,τι ἄλλο, γιὰ ἐκείνους ποὺ διάλεξαν νὰ ἀναλάβουν τὸν ἀσκη-

σκητικὸν ἀναδέχεσθαι ἀγῶνα... καὶ τρίτον δ' ἐπὶ τούτοις λογίδιον συνανεγνώσθη.-.. διδάσκει δὲ τί τέ ἐστι διάκρισις, καὶ ὅτι μείζων αὕτη τῶν ἄλλων ἀρετῶν, καὶ ὅθεν τίκτεται, καὶ ὡς τὸ πλέον τῆς ἄνωθέν ἐστι δωρεᾶς, καὶ τὰ ἑξῆς.

Τούτου δὲ καὶ ἡ Ἐκκλησία κατὰ τὴν κθ'. τοῦ Φεβρουαρίου Μηνὸς μνημονεύουσα, τιμαῖς τε, καὶ ἐγκωμίοις καταγεραίρει.

τικὸ ἀγῶνα... Κοντὰ δὲ σ' αὐτὰ καὶ ὁ τρίτος μικρὸς λόγος μαζὶ διαβάστηκε... Διδάσκει δὲ καὶ τί εἶναι ἡ διάκρισι καὶ ὅτι [εἶναι] μεγαλύτερη αὐτὴ ἀπὸ τὶς ἄλλες ἀρετές, καὶ πῶς γεννιέται καὶ ὅτι εἶναι τὸ περισσότερο τῆς ἀπὸ Θεοῦ δωρεᾶς.

Καὶ ἡ Ἐκκλησία δέ, ἐπιτελώντας τὴν μνήμη Αὐτοῦ [τοῦ Ἁγίου Πατρός] κατὰ τὴν 29η τοῦ μηνὸς Φεβρουαρίου, [τοῦ] προσφέρει ἐξέχουσα τὴν τιμή.



ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΚΑΣΣΙΑΝΟΥ ΤΟΥ ΡΩΜΑΙΟΥ

ΛΟΓΟΙ

I

ΠΡΟΣ ΚΑΣΤΟΡΑ ΕΠΙΣΚΟΠΟΝ

ΠΕΡΙ ΤΩΝ ΟΚΤΩ ΤΗΣ ΚΑΚΙΑΣ ΛΟΓΙΣΜΩΝ

Πρώτην [recte: Πρῶτον] τὸν περὶ διατυπώσεως Κοινοβίων συντάξαντες λόγον, πάλιν ἐπὶ τοῦ παρόντος ταῖς ὑμετέραις εὐχαῖς θαῤῥήσαντες, ἐπεχειρήσαμεν γράψαι περὶ τῶν ὀκτὼ τῆς κακίας λογισμῶν· γαστριμαργίας φημί, καὶ πορνείας, φιλαργυρίας, ὀργῆς, λύπης, ἀκηδίας, κενοδοξίας, καὶ ὑπερηφανίας.

Ἀφοῦ κατὰ πρῶτον συντάξαμε τὸν λόγο σχετικὰ μὲ τὸν κανονισμὸ τῶν κοινοβίων, πάλι σ᾽ αὐτὸ ἐδῶ [τὸ κείμενο], λαβόντες τὸ θάρρος ἀπὸ τὶς δικές σας εὐχές, ἐπιχειρήσαμε νὰ γράψουμε σχετικὰ μὲ τοὺς ὀκτὼ λογισμοὺς τῆς κακίας: γιὰ τὴν γαστριμαργία, βέβαια λέγω καὶ τὴν πορνεία, τὴν φιλαργυρία, τὴν ὀργή, τὴν λύπη, τὴν ἀκηδία, τὴν κενοδοξία καὶ τὴν ὑπερηφάνια.

ΠΕΡΙ ΕΓΚΡΑΤΕΙΑΣ ΓΑΣΤΡΟΣ

Προηγουμένως τοίνυν, περὶ ἐγκρατείας γαστρὸς ἡμῖν [recte: ὑμῖν] λεχθήσεται, τῆς ἀντικειμένης τῇ γαστριμαργίᾳ· τοῦ τε τρόπου τῶν νηστειῶν, καὶ τῆς ποιότητος, καὶ ποσότητος τῶν βρωμάτων. Καὶ ταῦτα οὐκ ἀφ᾽ ἑαυτῶν ἐροῦμεν, ἀλλ᾽ ἅπερ παρειλή-

Κατ᾽ ἀρχὰς λοιπὸν θὰ γίνῃ λόγος σ᾽ ἐσᾶς σχετικὰ μὲ τὴν ἐγκράτεια τῆς γαστέρας, ἡ ὁποία ἐναντιώνεται στὴν γαστριμαργία, καὶ τοῦ τρόπου τῶν νηστειῶν καὶ τῆς ποιότητος καὶ ποσότητος τῶν φαγητῶν. Καὶ αὐτὰ δὲν θὰ τὰ ποῦμε ἀπὸ μόνοι μας, ἀλλά [θὰ ποῦμε] ἐκεῖνα ἀκριβῶς, τὰ ὁποῖα ἔχουμε

φαμεν παρὰ τῶν Ἁγίων Πατέρων. Ἐκεῖνοι τοίνυν, οὐχ ἕνα κανόνα νηστείας, οὐδὲ ἕνα τρόπον τῆς βρωμάτων μεταλήψεως, οὐδὲ τὸ αὐτὸ μέτρον παραδεδώκασι· διὰ τὸ μὴ πάντας τὴν αὐτὴν ἔχειν ἰσχὺν ἢ δι᾽ ἡλικίαν, ἢ δι᾽ ἀσθένειαν, ἢ διὰ ἕξιν ἀστειοτέραν σώματος. Ἕνα δὲ πᾶσι σκοπὸν παραδεδώκασι, φεύγειν τὴν πλησμονήν, καὶ ἀποστρέφεσθαι τὴν χορτασίαν τῆς γαστρός. Τὴν δὲ καθημερινὴν νηστείαν, ἐδοκίμασαν ὠφελιμωτέραν εἶναι, καὶ συμβαλλομένην πρὸς καθαρότητα, τῆς ἐν τρισίν, ἢ τέσσαρσιν, ἢ ἕως ἑβδομάδος τεταμένης νηστείας. Καὶ γάρ φησι, τὸν ἀμέτρως ἐκτεινόμενον τὴν νηστείαν, ὑπὲρ μέτρον πολλάκις κεχρῆσθαι τῆς τροφῆς. Ὡς ἐκ τούτου ποτὲ μὲν τῇ ὑπερβολῇ τῆς ἀσιτίας, ἀτονεῖν τὸ σῶμα, καὶ πρὸς τὰς πνευματικὰς λειτουργίας, ὀκνηρότερον γίνεσθαι· ποτὲ δὲ τῷ πλήθει τῶν τροφῶν καταβαρυνόμενον, ἀκηδίαν καὶ χαύνωσιν ἐμποιεῖν τῇ ψυχῇ. Καὶ πάλιν, οὐ πᾶσιν ἁρμόδιον εἶναι ἐδοκίμασαν τὴν τῶν λαχάνων μετά-

παραλάβει ἀπὸ τοὺς Ἁγίους Πατέρες. Ἐκεῖνοι λοιπόν, δὲν ἔχουν παραδώσει ἕναν κανόνα νηστείας, οὔτε ἕναν τρόπο λήψεως τῶν φαγητῶν, οὔτε τὸ ἴδιο μέτρο λόγῳ τοῦ ὅτι δὲν ἔχουν ὅλοι τὴν ἴδια δύναμι ἢ ἕνεκα τῆς ἡλικίας ἢ τῆς ἀσθενείας ἢ ἐξ αἰτίας τῆς συνήθειας τοῦ σώματος [σὲ δίαιτα] περισσότερο σύμφωνης μὲ τὰ ἤθη τῶν πόλεων. Ἔχουν ὅμως παραδώσει σὲ ὅλους ἕναν σκοπό, νὰ ἀποφεύγουμε τὴν ἀφθονία καὶ νὰ ἀποστρεφώμεθα τὸν χορτασμὸ τῆς κοιλίας. Δοκίμασαν δὲ ὅτι εἶναι πιὸ ὠφέλιμη καὶ ὅτι συντελεῖ στὴν καθαρότητα ἡ καθημερινὴ λῆψι τροφῆς μὲ ἐγκράτεια σὲ σχέσι μὲ τὴν παρατεταμένη νηστεία γιὰ τρεῖς ἢ τέσσερις [ἡμέρες] ἢ γιὰ μία ἑβδομάδα. Καὶ διότι λέγει, ὅτι ἐκεῖνος ποὺ παρατείνει χωρὶς μέτρο τὴν νηστεία, πολλὲς φορὲς χρησιμοποιεῖ ὑπέρμετρα τὴν τροφή. Ἐπομένως βάσει αὐτοῦ [λέγω], ὅτι πότε μὲν ἀτονεῖ τὸ σῶμα ἐξ αἰτίας τῆς ὑπερβολικῆς ἀσιτίας καὶ γίνεται πιὸ ὀκνηρὸ στὰ πνευματικὰ ἔργα, πότε δὲ καταφορτωμένο ἀπὸ τὸ πλῆθος τῶν τροφῶν προξενεῖ στὴν ψυχὴ ἀκηδία καὶ χαύνωσι. Καὶ ἐξ ἄλλου, δοκίμασαν ὅτι δὲν εἶναι σὲ ὅλους κατάλληλη ἡ διατροφὴ

ληψιν, οὐδὲ τὴν τῶν ὀσπρίων, οὐδὲ πάντας δύνασθαι τῇ τοῦ ξηροῦ ἄρτου κεχρῆσθαι τροφῇ. Καὶ ἄλλον μὲν εἶπον δύο λίτρας ἐσθίοντα ἄρτου, ἀκμὴν πεινᾷν· ἄλλον δὲ ἐσθίοντα λίτραν, ἢ ἓξ οὐγγίας, χορτάζεσθαι. Πᾶσιν οὖν, ὡς προείρηται, ἕνα ὅρον ἐγκρατείας παραδεδώκασι, τὸ μὴ ἀπατᾶσθαι χορτασίᾳ κοιλίας[1]*· μηδὲ ἐξέλκεσθαι τῇ τοῦ λάρυγγος ἡδονῇ. Οὐδὲ γὰρ ἡ διαφορὰ ποιότητος τῶν βρωμάτων μόνον, ἀλλὰ καὶ ἡ ποσότης τοῦ πλήθους, τὰ πεπυρωμένα βέλη τῆς πορνείας εἴωθεν ἀνάπτειν. Οἵας γὰρ δήποτε τροφῆς πληρουμένη γαστήρ, ἀσωτίας σπέρμα τίκτει. Καὶ πάλιν οὐ μόνον ἡ κραιπάλη τοῦ οἴνου τὴν διάνοιαν μεθύσκειν εἴωθεν, ἀλλὰ καὶ πλησμονὴ ὕδατος, καὶ πασῶν τροφῶν ὑπερβολή, κεκαρωμένην, καὶ νυστάζουσαν αὐτὴν ἀποτελεῖ. Τοῖς Σοδομίταις, οὐκ οἴνου καὶ διαφόρων βρωμάτων κραιπάλη, καταστροφῆς γέγονεν αἰτία, ἀλλ' ἄρτου πλησμονὴν κατὰ τὸν Προφήτην*[2]*. Ἡ ἀσθένεια τοῦ σώματος,πρὸς τὴν καθαρότητα τῆς καρδίας, οὐκ*

μὲ λαχανικά, οὔτε μὲ ὄσπρια, οὔτε ὅλοι μποροῦν νὰ ἔχουν ὡς διατροφή [τους] [μόνο] ξερὸ ψωμί. Καὶ εἶπαν, ὅτι ἄλλος μέν, ὅταν τρώῃ δύο λίτρες ψωμί, ἀκόμα πεινᾶ. Ἄλλος δέ, ὅταν τρώῃ μία λίτρα ἢ ἕξι [μόνο] οὐγγιές, χορταίνει. Σὲ ὅλους, λοιπόν, ὅπως εἰπώθηκε προηγουμένως, ἔχουν παραδώσει ἕναν ὅρο ἐγκρατείας, τὸ νὰ μὴν ἐξαπατῶνται ἀπὸ τὸν χορτασμὸ τῆς κοιλίας, οὔτε νὰ παρασύρωνται ἀπὸ τὴν ἡδονὴ τοῦ λάρυγγα. Διότι συνηθίζει νὰ φλογίζῃ τὰ πυρακτωμένα βέλη τῆς πορνείας, ὄχι μόνο ἡ διαφορὰ ποιότητος τῶν φαγητῶν, ἀλλὰ καὶ ἡ ποσότητα τοῦ πλήθους τῶν [τροφῶν]. Γιατὶ μὲ ὁποιαδήποτε τροφὴ κι ἂν γεμίσῃ τὸ στομάχι, γεννᾶ τὸ σπέρμα τῆς ἀσωτίας. Ἀφ' ἑτέρου δέ, ὄχι μόνο ἡ ζάλη ἀπὸ τὸ κρασὶ συνηθίζει νὰ μεθᾷ τὴν διάνοια, ἀλλὰ καὶ ἡ ἀφθονία τοῦ νεροῦ καὶ ὅλων τῶν τροφῶν ἡ ὑπερβολὴ τὴν φέρνει σὲ κατάσταση ληθάργου καὶ ὑπνηλίας. Στοὺς Σοδομίτες ἔγινε αἰτία τῆς καταστροφῆς, ὄχι ἡ ζάλη ἀπὸ τὸ κρασὶ καὶ τὰ διάφορα φαγητὰ ἀλλά, σύμφωνα μὲ τὸν Προφήτη, ἡ ἀφθονία τοῦ ψωμιοῦ. Ἡ ἀσθένεια τοῦ σώματος δὲν ἀντιστρατεύε-

ἀντίκειται, ὅταν παράσχωμεν τῷ σώματι ἃ ἡ ἀσθένεια ἀπαιτεῖ, οὐχ ἅπερ ἡ ἡδονὴ θέλει. Τῶν βρωμάτων ἡ χρῆσις, ὅσον ὑπουργῆσαι πρὸς τὸ ζῆν παραλαμβάνεται, οὐχ ὅσον δουλεῦσαι ταῖς ὁρμαῖς τῆς ἐπιθυμίας. Ἡ σύμμετρος, καὶ μετὰ λόγου τῶν τροφῶν μετάληψις, τῆς ὑγείας μεταλαμβάνει τοῦ σώματος, οὐ τὴν ἁγιωσύνην ἀφαιρεῖται. Ὅρος ἐγκρατείας καὶ κανὼν παραδεδομένος παρὰ τῶν Πατέρων ἀκριβής, οὗτός ἐστι, τὸν μεταλαμβάνοντά τινος τροφῆς, ἔτι τῆς ὀρέξεως ἐγκειμένης, ταύτης ἀπέχεσθαι, καὶ μὴ ἀναμένειν τὸν κόρον. Καὶ ὁ Ἀπόστολος δὲ εἰπών, τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας[3]*, οὐ τὴν ἀναγκαίαν τῆς ζωῆς κυβέρνησιν ἐκώλυσεν, ἀλλὰ τὴν φιλήδονον ἐπιμέλειαν ἀπηγόρευσεν. Ἄλλως τε πρὸς καθαρότητα τελείαν τῆς ψυχῆς, μόνη ἡ ἀποχὴ τῶν βρωμάτων οὐκ ἰσχύει, εἰμὴ καὶ αἱ λοιπαὶ ἀρεταὶ συνδράμωσιν. Τοιγαροῦν ἡ ταπείνωσις, διὰ τῆς ὑπακοῆς τοῦ ἔργου, καὶ τῆς τοῦ σώματος καταπονήσεως, μεγάλα ἡμῖν συμ-*

ται τὴν καθαρότητα τῆς καρδίας, ὅταν προσφέρουμε στὸ σῶμα, ὅσα ἡ ἀσθένεια ἀπαιτεῖ καὶ ὄχι βέβαια, ὅσα ἡ ἡδονὴ θέλει. Ἡ χρῆσι τῶν φαγητῶν γίνεται ἀποδεκτὴ τόσο, ὅσο νὰ διακονῆ [τὴν ἀνάγκη] γιὰ νὰ ζήσουμε, ὄχι τόσο ὥστε νὰ ὑπηρετῆ τὶς ὁρμὲς τῆς ἐπιθυμίας. Ἡ σύμμετρη καὶ μὲ φρόνησι μετάληψι τῶν τροφῶν ἔχει ὡς συνέπεια τὴν ὑγεία τοῦ σώματος, χωρὶς νὰ ἀποστερῆ τὴν ἁγιωσύνη. Ὅρος ἐγκρατείας καὶ ἀκριβὴς κανόνας, ὁ ὁποῖος ἔχει παραδοθῆ ἀπὸ τοὺς Πατέρες, εἶναι ὁ ἑξῆς: ὅτι [δηλαδή] ἐκεῖνος, ποὺ παίρνει νὰ φάη κάποια τροφή, ἐνῶ ἀπαιτεῖ φορτικῶς ἀκόμη ἡ ὄρεξι, νὰ κρατῆ τὸν ἑαυτό του μακριὰ ἀπὸ αὐτὴν καὶ νὰ μὴν περιμένῃ τὸν χορτασμό. Καὶ ὁ Ἀπόστολος ἐξάλλου, ὅταν ἔλεγε: «μὴν ἐνεργῆτε τὴν φροντίδα τοῦ σώματος μὲ σκοπὸ τὶς ἐπιθυμίες», δὲν ἐμπόδισε τὴν ἀναγκαία διαχείρισι τῶν πρὸς τὸ ζῆν μέσων, ἀλλὰ ἀπαγόρευσε τὴν φιλήδονη ἐπιμέλεια. Ἄλλωστε, γιὰ τὴν τελεία καθαρότητα τῆς ψυχῆς δὲν ἀρκεῖ μόνη ἡ ἀποχὴ ἀπὸ τὰ φαγητά, ἐὰν δὲν συντρέξουν καὶ οἱ ὑπόλοιπες ἀρετές. Συνεπῶς, ἡ ταπείνωσι [ἡ ὁποία ἐπιτυγχάνεται] μέσῳ τῆς ὑπακοῆς χάριν τῆς ὁποίας γίνεται ἡ ἐργασία [μας] καὶ [μέσῳ] τῆς καταπονήσεως τοῦ σώματος, μᾶς παρέ-

βάλλεται. Ἡ ἀποχὴ τῆς φιλαργυρίας, οὐ μόνον τὸ μὴ ἔχειν χρήματα, ἀλλὰ καὶ τὸ μὴ ἐπιθυμεῖν κεκτῆσθαι, πρὸς καθαρότητα ψυχῆς ὁδηγεῖ. Τῆς ὀργῆς ἡ ἀποχή, τῆς λύπης, τῆς κενοδοξίας, τῆς ὑπερηφανίας· ταῦτα πάντα, τὴν καθολικὴν τῆς ψυχῆς καθαρότητα ἀπεργάζεται. Τὴν δὲ διὰ σωφροσύνης μερικὴν τῆς ψυχῆς καθαρότητα, ἐξαιρέτως ἐγκράτεια καὶ νηστεία κατορθοῖ. Ἀδύνατον γὰρ τὸν τὴν γαστέρα κεκορεσμένον, πολεμῆσαι τῷ πνεύματι τῆς πορνείας κατὰ διάνοιαν. Τοιγαροῦν πρῶτος ἡμῖν ἔστω ἀγὼν τοῦ κρατεῖν γαστρός, καὶ δουλαγωγεῖν τὸ σῶμα· οὐ μόνον διὰ νηστείας, ἀλλὰ καὶ δι᾿ ἀγρυπνίας, καὶ πόνου, καὶ ἀναγνώσεων, καὶ τοῦ συνάγειν τὴν καρδίαν εἰς τὸν φόβον τῆς γεέννης, καὶ τὸν πόθον τῆς βασιλείας τῶν Οὐρανῶν.

χει μεγάλα [ἀγαθά]. Ἡ ἀποχὴ ἀπὸ τὴν φιλαργυρία, [δηλαδή] ὄχι μόνο τὸ νὰ μὴν ἔχῃς χρήματα, ἀλλὰ καὶ τὸ νὰ μὴν ἐπιθυμῇς νὰ ἀποκτήσῃς, ὁδηγεῖ στὴν καθαρότητα τῆς ψυχῆς. Ἡ ἀποχὴ ἀπὸ τὴν ὀργή, τὴν λύπη, τὴν κενοδοξία, τὴν ὑπερηφάνια, ὅλα αὐτὰ προξενοῦν τὴν ὁλοκληρωτικὴ καθαρότητα τῆς ψυχῆς. Τὴν δὲ μέσῳ τῆς σωφροσύνης μερικὴ καθαρότητα τῆς ψυχῆς, ἰδιαιτέρως [τήν] κατορθώνει ἡ ἐγκράτεια καὶ ἡ νηστεία. Διότι εἶναι ἀδύνατον ἐκεῖνος, ποὺ ἔχει γεμάτο τὸ στομάχι του, νὰ πολεμήσῃ μὲ τὸ πνεῦμα τῆς πορνείας, στὸ ἐπίπεδο τῆς σκέψεώς του. Ἑπομένως πρῶτος ἀγώνας ἂς εἶναι σὲ μᾶς τὸ νὰ συγκρατοῦμε τὴν γαστέρα καὶ νὰ δουλαγωγοῦμε τὸ σῶμα, ὄχι μόνο μέσῳ τῆς νηστείας, ἀλλὰ καὶ μὲ ἀγρυπνία καὶ κόπο καὶ ἀναγνώσεις καὶ μὲ τὸ νὰ συγκεντρώνουμε τὴν καρδία στὸν φόβο τῆς γεέννης καὶ στὸν πόθο τῆς βασιλείας τῶν Οὐρανῶν.

ΠΕΡΙ ΤΟΥ ΠΝΕΥΜΑΤΟΣ ΤΗΣ ΠΟΡΝΕΙΑΣ ΚΑΙ ΤΗΣ ΕΠΙΘΥΜΙΑΣ ΤΗΣ ΣΑΡΚΟΣ

Δεύτερος ἡμῖν ἐστιν ἀγὼν κατὰ τοῦ πνεύματος τῆς

Δεύτερος εἶναι σ᾿ ἐμᾶς ὁ ἀγώνας ἐναντίον τοῦ πνεύματος

πορνείας, καὶ τῆς ἐπιθυμίας τῆς σαρκός· ἥτις ἐπιθυμία, ἀπὸ πρώτης ἡλικίας ἄρχεται παρενοχλεῖν τῷ ἀνθρώπῳ. Μέγας οὗτος ἀγὼν καὶ χαλεπός, καὶ διπλῆν ἔχων τὴν πάλην. Διότι τῶν ἄλλων ἐλαττωμάτων ἐν τῇ ψυχῇ μόνον ἐχόντων τὴν μάχην, οὗτος διπλοῦς καθέστηκεν, ἐν ψυχῇ καὶ σώματι συνιστάμενος· καὶ τούτου χάριν, διπλῆν τὴν πάλην ἀναδέξασθαι χρή. Οὐδὲ γὰρ ἱκανὴ ὑπάρχει μόνη ἡ σωματικὴ νηστεία, πρὸς κτῆσιν τῆς τελείας σωφροσύνης, καὶ ἀληθοῦς ἁγνείας, εἰμὴ καὶ καρδίας γένηται συντριμμός, καὶ εὐχὴ πρὸς τὸν Θεὸν ἐκτενής, καὶ πυκνὴ τῶν Γραφῶν μελέτη, καὶ κάματος, καὶ ἐργόχειρον· ἅπερ δύνανται τὰς ἀστάτους τῆς ψυχῆς ὁρμὰς ἀναστέλλειν, καὶ ἐκ τῶν αἰσχρῶν φαντασιῶν ἀνακαλεῖσθαι ταύτην. Πρὸ δὲ πάντων συμβάλλεται ταπείνωσις ψυχῆς· ἧς χωρίς, οὐδὲ πορνείας, οὐδὲ τῶν ἄλλων δυνήσεταί τις περιγενέσθαι. Προηγουμένως τοίνυν χρὴ πάσῃ φυλακῇ τηρεῖν τὴν καρδίαν ἀπὸ ῥυπαρῶν λογισμῶν[4]*. Ἐκ*

τῆς πορνείας καὶ τῆς ἐπιθυμίας τῆς σάρκας, ἡ ὁποία ἐπιθυμία ἀρχίζει νὰ παρενοχλῇ τὸν ἄνθρωπο ἀπὸ τὴν πρώτη περίοδο τῆς ζωῆς του. Μεγάλος αὐτὸς ὁ ἀγώνας καὶ δύσκολος καὶ τὸ πάλεμά [του] εἶναι διπλό. Διότι ἀπὸ τὰ ἄλλα ἐλαττώματα, τὰ ὁποῖα ἔχουν τὸν πόλεμο μόνο μέσα στὴν ψυχή, αὐτός [ὁ ἀγώνας], ἐπειδὴ διεξάγεται μέσα στὴν ψυχὴ καί [μέσα] στὸ σῶμα, καθίσταται διπλός. Καὶ ἐξ αἰτίας αὐτοῦ, πρέπει νὰ ἐπωμισθοῦμε διπλὸ τὸ πάλεμα [καὶ ὡς πρὸς τὸ σῶμα καὶ ὡς πρὸς τὴν ψυχή]. Διότι καὶ μόνη ἡ σωματικὴ νηστεία δὲν εἶναι ἀρκετὴ γιὰ τὴν ἀπόκτησι τῆς τελείας σωφροσύνης καὶ τῆς ἀληθινῆς ἁγνότητος, ἐὰν δὲν γίνῃ καὶ συντριμμὸς τῆς καρδίας καὶ ἐκτενὴς προσευχὴ πρὸς τὸν Θεὸ καὶ συχνὴ μελέτη τῶν Γραφῶν καὶ κόπος καὶ ἐργόχειρο, τὰ ὁποῖα πράγματι μποροῦν νὰ σταματήσουν τὶς εὐμετάβλητες παρορμήσεις τῆς ψυχῆς καὶ νὰ τὴν ἀνακαλέσουν ἀπὸ τὶς αἰσχρὲς φαντασίες. Περισσότερο ὅμως ἀπ᾽ ὅλα βοηθάει ἡ ταπείνωσι τῆς ψυχῆς, χωρὶς τὴν ὁποία δὲν θὰ μπορέσῃ κανεὶς νὰ ὑπερνικήσῃ οὔτε τὴν πορνεία, οὔτε [κάποιο] ἀπὸ τὰ ἄλλα [πάθη]. Κατ᾽ ἀρχὰς λοιπὸν πρέπει [κανείς] νὰ φυλάττῃ τὴν καρδία [του] μὲ κάθε ἐπαγρύπνησι ἀπὸ ρυπαροὺς λογισμούς. Διότι ἀπ᾽

ταύτης γὰρ προέρχονται, κατὰ τὴν τοῦ Κυρίου φωνήν, διαλογισμοὶ πονηροί, φόνοι, μοιχεῖαι, πορνεῖαι, καὶ τὰ λοιπά[5]. *Καὶ γὰρ καὶ ἡ νηστεία, οὐ μόνον πρὸς κακουχίαν σώματος ἡμῖν προστέτακται, ἀλλὰ καὶ πρὸς νῆψιν τοῦ νοός· ἵνα μὴ τῷ πλήθει τῶν βρωμάτων σκοτωθεῖσα, ἀδυνατήσῃ πρὸς τὴν τῶν λογισμῶν παραφυλακήν. Χρὴ τοίνυν μὴ μόνον ἐν τῇ σωματικῇ νηστείᾳ τὴν πᾶσαν σπουδὴν ἐπιδείκνυσθαι, ἀλλὰ καὶ ἐν τῇ προσοχῇ τῶν λογισμῶν, καὶ ἐν τῇ πνευματικῇ μελέτῃ· ὧν χωρίς, ἀδύνατον πρὸς τὸ ὕψος τῆς ἀληθοῦς ἁγνείας, καὶ καθαρότητος ἀνελθεῖν. Προσήκει οὖν ἡμᾶς καθαρίζειν πρότερον, κατὰ τὴν τοῦ Κυρίου φωνήν, τὸ ἔνδον τοῦ ποτηρίου καὶ τῆς παροψίδος, ἵνα γένηται καὶ τὸ ἔξωθεν καθαρόν*[6]. *Διὰ δὴ τοῦτο εἴ ἐστιν ἡμῖν σπουδή, κατὰ τὸν Ἀπόστολον, νομίμως ἀθλῆσαι, καὶ στεφανωθῆναι*[7], *νικήσαντας τὸ ἀκάθαρτον πνεῦμα τῆς πορνείας, μὴ τῇ ἡμετέρᾳ δυνάμει, καὶ τῇ ἀσκήσει θαῤῥήσωμεν, ἀλλὰ τῇ βοηθείᾳ τοῦ Δεσπότου ἡμῶν Θεοῦ. Οὐ*

αὐτὴν [τὴν καρδία] ἐξέρχονται, σύμφωνα μὲ τὴν φωνὴ τοῦ Κυρίου, πονηροὶ διαλογισμοί, φόνοι, μοιχεῖες, πορνεῖες καὶ τὰ ὑπόλοιπα [κακά]. Καὶ βέβαια καὶ ἡ νηστεία ἔχει παραδοθῆ ὡς ἐντολὴ σ᾽ ἐμᾶς, μὲ σκοπὸ ὄχι μόνο τὴν κακοπάθεια τοῦ σώματος, ἀλλὰ καὶ τὴν νῆψι τοῦ νοῦ, ὥστε νὰ μὴν ἀδυνατίσῃ [ἡ καρδία] στὴν φρούρησι τῶν λογισμῶν, ἐπειδὴ σκοτίσθηκε ἀπὸ τὸ πλῆθος τῶν φαγητῶν. Πρέπει λοιπὸν νὰ μὴν ἐπιδεικνύουμε ζῆλο μόνο στὴν σωματικὴ νηστεία ἀλλὰ καὶ στὴν προσοχὴ τῶν λογισμῶν καὶ στὴν πνευματικὴ μελέτη, χωρὶς τὶς ὁποῖες [εἶναι] ἀδύνατον νὰ ἀνέλθουμε στὸ ὕψος τῆς ἀληθινῆς ἁγνότητος καὶ καθαρότητος. Πρέπει λοιπὸν ἐμεῖς νὰ καθαρίσουμε προηγουμένως, σύμφωνα μὲ τὴν ἐντολὴ τοῦ Κυρίου, τὸ ἐσωτερικὸ τοῦ ποτηρίου καὶ τοῦ πιάτου, γιὰ νὰ γίνῃ καὶ τὸ ἐξωτερικό [τους μέρος] καθαρό. Γι᾽ αὐτὸ λοιπόν, ἐὰν ὑπάρχῃ σ᾽ ἐμᾶς ἡ προθυμία, σύμφωνα μὲ τὸν Ἀπόστολο, νὰ ἀγωνιστοῦμε κατὰ τὶς ἐπιταγὲς τοῦ νόμου καὶ νὰ στεφανωθοῦμε, ἀφοῦ [πρῶτα] νικήσουμε τὸ ἀκάθαρτο πνεῦμα τῆς πορνείας, ἂς μὴν ἀναθαρρήσουμε στὴν δική μας δύναμι καὶ ἄσκησι, ἀλλὰ στὴν βοήθεια τοῦ Κυρίου μας, τοῦ Θεοῦ. Διότι

παύεται γὰρ ὁ ἄνθρωπος πολεμούμενος ὑπὸ τοῦ πνεύματος τούτου, ἕως οὗ ἐν ἀληθείᾳ πιστεύσῃ, ὅτι οὐκ ἰδίᾳ σπουδῇ, οὐδὲ ἰδίῳ καμάτῳ, ἀλλὰ τῇ τοῦ Θεοῦ σκέπῃ καὶ βοηθείᾳ ἀπαλάττεται ταύτης τῆς νόσου, καὶ εἰς τὸ ὕψος τῆς ἁγνείας ἀνέρχεται· καὶ ὑπὲρ φύσιν ἐστὶ τὸ πρᾶγμα· καὶ τρόπον τινὰ ἔξω τοῦ σώματος γίνεται, ὁ τοὺς ἐρεθισμοὺς τῆς σαρκός, καὶ τὰς ἡδονὰς ταύτης καταπατήσας. Καὶ τούτου χάριν, ἀδύνατόν ἐστιν ἄνθρωπον (ἵνα οὕτως εἴπω) τοῖς ἰδίοις πτεροῖς πρὸς τὸ ὑψηλὸν τοῦτο, καὶ οὐράνιον βραβεῖον τῆς ἁγιωσύνης ἀναπτῆναι, καὶ μιμητὴν Ἀγγέλων γενέσθαι, εἰ μήπου ἡ χάρις τοῦ Θεοῦ, τοῦτον ἀπὸ τῆς γῆς καὶ τοῦ βορβόρου ἀναγάγῃ. Οὐδεμιᾷ γὰρ ἄλλῃ ἀρετῇ μᾶλλον οἱ σαρκὶ συνδεδεμένοι ἄνθρωποι τοῖς πνευματικοῖς ἀγγέλοις ἐξομοιοῦνται, ὡς τῇ τῆς σωφροσύνης. Διὰ ταύτης γὰρ ἔτι ἐν τῇ γῇ ὄντες, καὶ διάγοντες, ἔχουσι, κατὰ τὸν Ἀπόστολον, ἐν οὐρανοῖς τὸ πολίτευμα[8]. Δεῖγμα δὲ τοῦ τὴν ἀρετὴν ταύ-

δὲν παύει ὁ ἄνθρωπος νὰ πολεμῆται ἀπὸ αὐτὸ τὸ πνεῦμα, μέχρις ὅτου νὰ πιστεύσῃ ἀληθινά, ὅτι ὄχι διὰ τῆς δικῆς του ἐπιμελείας, οὔτε διὰ τοῦ δικοῦ του κόπου [ἀγῶνος], ἀλλὰ ἐξ αἰτίας τῆς προστασίας καὶ τῆς βοηθείας τοῦ Θεοῦ, ἀπαλλάσσεται ἀπὸ τὴν ἀσθένεια αὐτὴ καὶ ἀνέρχεται στὸ ὕψος τῆς ἁγνότητος. Καὶ μᾶλλον ἡ περίπτωσι εἶναι ὑπὲρ φύσιν. Καὶ κατὰ κάποιο τρόπο καθίσταται ἐκτὸς τοῦ σώματος, ἐκεῖνος ποὺ καταπάτησε τοὺς ἐρεθισμοὺς τῆς σάρκας καὶ τὶς ἡδονές της. Καὶ ἕνεκα αὐτοῦ, εἶναι ἀδύνατον ἄνθρωπος (γιὰ νά [τό] πῶ ἔτσι) μὲ τὰ δικά του φτερὰ πρὸς αὐτὸ τὸ ὑψηλὸ καὶ οὐράνιο βραβεῖο τῆς ἁγιότητος νὰ ἀνυψωθῇ καὶ νὰ γίνῃ μιμητὴς τῶν Ἀγγέλων, ἐὰν τυχὸν ἡ Χάρις τοῦ Θεοῦ δὲν τὸν ἀνυψώσῃ ἀπὸ τὴν γῆ καὶ τὸν βοῦρκο. Διότι μὲ καμία ἄλλη ἀρετὴ δὲν ἐξομοιώνονται περισσότερο οἱ ἄνθρωποι, ποὺ εἶναι συνδεδεμένοι μὲ τὴν σάρκα, μὲ τοὺς νοεροὺς ἀγγέλους, ὅσο μὲ τήν [ἀρετή] τῆς σωφροσύνης. Διότι διὰ μέσου αὐτῆς [τῆς σωφροσύνης δηλαδή], ἐνῶ βρίσκονται καὶ διαβιοῦν ἀκόμα στὴ γῆ, ἔχουν, σύμφωνα μὲ τὸν Ἀπόστολο, τὸ πολίτευμά [τους] στοὺς οὐρανούς. Δεῖγμα δὲ τοῦ ὅτι ἐμεῖς ἀποκτή-

την τελείως κεκτῆσθαι ἡμᾶς, τὸ μηδεμιᾷ εἰκόνι αἰσχρᾶς φαντασίας ἐν τοῖς ὕπνοις τὴν ψυχὴν προσέχειν[α]. *Εἰ γὰρ καὶ μὴ λογίζεται ἁμαρτία ἡ τοιαύτη κίνησις, ὅμως τεκμήριον ὑπάρχει τοῦ νοσεῖν τὴν ψυχήν, καὶ μὴ τοῦ πάθους ἀπηλλάχθαι. Καὶ τούτου χάριν, τὰς συμβαινούσας ἡμῖν ἐν τοῖς ὕπνοις αἰσχρὰς φαντασίας, ἔλεγχον εἶναι τῆς προλαβούσης ῥαθυμίας, καὶ τῆς ἐν ἡμῖν ἀσθενείας πιστεύειν ὀφείλομεν· τὴν ἐν τοῖς ἀποκρύφοις τῆς ψυχῆς κεκρυμμένην νόσον, φανεροποιούσης τῆς συμβαινούσης ῥεύσεως ἐν τῇ τοῦ ὕπνου ἀνέσει. Διὸ καὶ ὁ ἰατρὸς τῶν ψυχῶν ἡμῶν, ἐν τοῖς ἀποκρύφοις τῆς ψυχῆς τὸ φάρμακον ἐναπέθετο, ἔνθα καὶ τὰς αἰτίας τῆς νόσου ἐγίνωσκε· φάσκων· ὅτι ὁ ἐμβλέψας γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ*[9]*· οὐ τοσοῦτον τοὺς περιέργους, καὶ πορνικοὺς ὀφθαλμοὺς διορθούμενος, ὅσον τὴν ἔνδον ἐνιδρυμένην ψυχήν, ἥτις τοῖς ἐπ᾽ ἀγαθῷ παρὰ τῷ Θεῷ δοθεῖσιν ὀφθαλμοῖς, κακῶς κέχρη-*

σαμε πλήρως αὐτὴ τὴν ἀρετή, [εἶναι] τὸ ὅτι ἡ ψυχὴ στὴν διάρκεια τοῦ ὕπνου δὲν προσηλώνεται σὲ καμιὰ εἰκόνα αἰσχρῆς φαντασίας. Διότι ἂν καὶ δὲν ὑπολογίζεται σὰν ἁμαρτία ἡ κίνησι αὐτοῦ τοῦ εἴδους, ὅμως εἶναι ἀπόδειξι τοῦ ὅτι ἡ ψυχὴ νοσεῖ καὶ ὅτι δὲν ἔχει ἀπαλλαγῆ ἀπὸ τὸ πάθος. Καὶ ἐξ αἰτίας αὐτοῦ, ὀφείλουμε νὰ πιστεύουμε ὅτι, ἐκεῖνες οἱ αἰσχρὲς φαντασίες, οἱ ὁποῖες μᾶς συμβαίνουν κατὰ τὴν διάρκεια τοῦ ὕπνου, εἶναι ἀπόδειξι τῆς ραθυμίας πού [μᾶς] ἔχει προηγουμένως κυριεύσει καὶ τῆς ἀσθένειας [ποὺ βρίσκεται] μέσα μας, καθὼς ἡ ἀσθένεια ποὺ κρύβεται στὰ ἀπόκρυφα μέρη τῆς ψυχῆς, γίνεται φανερὴ ἀπὸ τὴν ρεῦσι ποὺ συμβαίνει μέσα στὴν κατάστασι τῆς ἀνέσεώς τοῦ ὕπνου. Γι᾽ αὐτὸ καὶ ὁ Ἰατρὸς τῶν ψυχῶν μας ἐναπέθεσε τὸ φάρμακο στὰ ἀπόκρυφα μέρη τῆς ψυχῆς, ἐκεῖ ὅπου γνώριζε [ὅτι βρίσκονται] καὶ οἱ αἰτίες τῆς ἀσθενείας, λέγοντας, ὅτι ἐκεῖνος ποὺ κοίταξε κατὰ πρόσωπο γυναῖκα μὲ πονηρὴ ἐπιθυμία, ἤδη ἐμοίχευσε μ᾽ αὐτὴν μέσα στὴν καρδία του, διορθώνοντας, ὄχι τόσο τὰ περίεργα καὶ πορνικὰ μάτια, ὅσο τὴν ψυχή, ποὺ κτίσθηκε μέσα [στὸν ἄνθρωπο ἀπὸ τὸν Θεό], ἡ ὁποία τὰ μάτια, ποὺ δόθηκαν ἀπὸ τὸν Θεὸ γιὰ τὸ ἀγαθό, [τά] ἔχει χρησιμοποι-

ται. Τούτου χάριν καὶ ἡ σοφὴ Παροιμία, οὐ λέγει, πάσῃ φυλακῇ τήρει σοὺς ὀφθαλμούς, ἀλλά, πάσῃ φυλακῇ τήρει σὴν καρδίαν[10]*· ἐκείνῃ μάλιστα ἐπιτιθεῖσα τὴν ἰατρείαν τῆς φυλακῆς, τῇ κεχρημένῃ εἰς ὃ βούλεται τοῖς ὀφθαλμοῖς. Τοιγαροῦν αὕτη ἔστω τῆς καρδίας*[β] *ἡμῶν προφυλακή· ἵνα ὅταν τῇ ἡμετέρᾳ διανοίᾳ μνήμη γένηται γυναικός, ἀναδοθεῖσα διὰ τῆς διαβολικῆς κακουργίας, εἰ τύχοι μητρός, ἢ ἀδελφῆς, ἢ ἄλλων τινῶν γυναικῶν εὐλαβῶν, ταχέως ταύτην ἐκ τῆς ἡμετέρας καρδίας ἐκβάλωμεν· ἵνα μὴ ἐπιπολὺ διατριβόντων ἡμῶν ἐν ταύτῃ τῇ μνήμῃ, ὁ τῶν κακῶν ἀπατεὼν ἐκ τούτων τῶν προσώπων κατακυλίσῃ, καὶ κατακρημνίσῃ τὴν διάνοιαν εἰς αἰσχρὰς καὶ ἐπιβλαβεῖς ἐνθυμήσεις. Καθὼς καὶ ἡ παρὰ Θεοῦ πρὸς τὸν πρωτόπλαστον δοθεῖσα ἐντολὴ κελεύει, τηρεῖν τὴν κεφαλὴν τοῦ ὄφεως*[11]*· τουτέστι τῶν βλαβερῶν λογισμῶν τὰς ἀρχάς, δι᾽ ὧν ἕρπειν εἰς τὰς ἡμετέρας ψυχὰς ἐπιχειρεῖ· ἵνα μὴ τῇ τῆς κεφαλῆς παραδοχῇ,*

ήσει κακῶς. Γι᾽ αὐτὸν τὸν λόγο καὶ ἡ σοφὴ Παροιμία δὲν λέγει: «Φύλαξε τὰ μάτια σου μὲ κάθε προσοχή». Ἀλλά [λέγει]: «Μὲ κάθε προσοχή, φύλαξε τὴν καρδία σου», ἐπιθέτοντας μάλιστα τὴν θεραπεία τῆς προσοχῆς σ᾽ ἐκείνη [τὴν ψυχή], ἡ ὁποία χρησιμοποιεῖ τὰ μάτια σὲ ὅ,τι ἐπιθυμεῖ. Ἑπομένως αὐτὴ νὰ εἶναι ἡ προφύλαξι τῆς καρδίας μας, ὥστε, ὅταν ἐμφανισθῇ στὴν διάνοιά μας μνήμη γυναίκας, ἡ ὁποία ἀνεφύη διὰ τῆς ραδιουργίας τοῦ διαβόλου, ἐὰν ἴσως τύχῃ [μνήμη] τῆς μητέρας ἢ τῆς ἀδελφῆς [μας] ἢ κάποιων ἄλλων εὐλαβῶν γυναικῶν, ἀμέσως νὰ τὴν ἐκδιώξουμε ἀπὸ τὴν καρδία μας, γιὰ νὰ μὴν ρίξῃ πρὸς τὰ κάτω καὶ κατακρημνίσῃ, ἐκεῖνος ποὺ ἐξαπατᾶ πρὸς τὰ κακά, τὴν διάνοιά [μας] σὲ αἰσχρὲς καὶ ἐπιβλαβεῖς ἐνθυμήσεις, [χρησιμοποιώντας] αὐτὰ τὰ πρόσωπα, ἐπειδὴ ἐμεῖς γιὰ πολλὴ ὥρα χρονοτριβοῦμε σ᾽ αὐτὴ τὴν μνήμη. Καθόσον καὶ ἡ ἐντολή, ποὺ δόθηκε στὸν πρωτόπλαστο ἀπὸ τὸν Θεό, προστάζει νὰ συντρίβουμε τὴν κεφαλὴ τοῦ φιδιοῦ, δηλαδὴ τὶς ἀπαρχὲς τῶν βλαβερῶν λογισμῶν, διὰ τῶν ὁποίων ἐπιχειρεῖ νὰ ἕρπῃ μέσα στὶς δικές μας ψυχές, γιὰ νὰ μὴν ἀποδεχτοῦμε, μὲ τὴν ἀποδοχὴ τῆς κε-

ἥτις ἐστὶν ἡ προσβολὴ τοῦ λογισμοῦ, τὸ λοιπὸν τοῦ ὄφεως σῶμα, τουτέστι τῆς ἡδονῆς τὴν συγκατάθεσιν παραδεξώμεθα. Καὶ ἐκ τούτου λοιπὸν ἐπὶ τὴν ἀθέμιτον πρᾶξιν κατενέγκῃ τὴν διάνοιαν. Ἀλλὰ προσήκει, κατὰ τὸ γεγραμμένον, εἰς τὰς πρωΐας ἀποκτείνειν πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς[12]*, τουτέστι τῷ φωτὶ τῆς γνώσεως διακρίνειν, καὶ ἐξολοθρεύειν τοὺς ἁμαρτωλοὺς λογισμοὺς ἐκ τῆς γῆς, ἥτις ἐστὶν ἡ καρδία ἡμῶν, κατὰ τὴν τοῦ Κυρίου διδασκαλίαν· καὶ ὡς ἔτι νήπιοί εἰσιν οἱ υἱοὶ Βαβυλῶνος, οἱ πονηροὶ φημὶ λογισμοί, τούτους ἐδαφίζειν, καὶ συντρίβειν πρὸς τὴν πέτραν*[13]*, ἥτις ἐστὶν ὁ Χριστός. Ἐὰν γὰρ διὰ τῆς ἡμετέρας συγκαταθέσεως ἀνδρωθῶσιν, οὐκ ἂν δίχα μεγάλου στεναγμοῦ καὶ καμάτου νικηθήσονται. Πρὸς δὲ τοῖς εἰρημένοις ἀπὸ τῆς θείας Γραφῆς, καλόν ἐστιν καὶ λόγων Ἁγίων Πατέρων ἐπιμνησθῆναι. Εἴρηται τοίνυν τῷ Ἁγίῳ Βασιλείῳ Ἐπισκόπῳ Καισαρείας Καππαδοκίας· καὶ γυναῖκα ἀγνοῶ, καὶ παρθένος*

φαλῆς, ἡ ὁποία εἶναι ἡ προσβολὴ τοῦ λογισμοῦ, τὸ ὑπόλοιπο σῶμα τοῦ φιδιοῦ, δηλαδὴ τὴν συγκατάθεσι στὴν ἡδονή. Καὶ ἐξ αἰτίας αὐτοῦ [δηλαδὴ τῆς συγκαταθέσεως στὴν ἡδονή], κατακρημνίσῃ ἔπειτα τὴν διάνοια στὴν ἀθέμιτη πρᾶξι. Ἀλλὰ πρέπει, σύμφωνα μ᾽ ἐκεῖνο ποὺ ἔχει γραφῆ, νὰ θανατώνουμε μέχρι τὸ πρωΐ ὅλους τοὺς ἁμαρτωλοὺς τῆς γῆς, δηλαδὴ νὰ διακρίνουμε μὲ τὸ φῶς τῆς γνώσεως καὶ νὰ ἐξολοθρεύουμε τοὺς ἁμαρτωλοὺς λογισμοὺς ἀπὸ τὴν γῆ, ἡ ὁποία εἶναι ἡ καρδία μας, σύμφωνα μὲ τὴν διδασκαλία τοῦ Κυρίου. Καὶ ὅταν εἶναι ἀκόμα νεογέννητοι οἱ υἱοὶ τῆς Βαβυλῶνος, οἱ πονηροί, λέγω, λογισμοί, αὐτοὺς νὰ τοὺς ρίχνουμε στὴ γῆ καὶ νὰ τοὺς συντρίβουμε μὲ τὴν πέτρα, ἡ ὁποία εἶναι ὁ Χριστός. Διότι ἐὰν μὲ τὴν δική μας συγκατάθεσι γίνουν δυνατοί, δὲν θὰ μπορέσουν χωρὶς μεγάλο στεναγμὸ καὶ κόπο νὰ νικηθοῦν. Ἐκτὸς ὅμως ἀπὸ τοὺς λόγους, οἱ ὁποῖοι ἔχουν εἰπωθῆ ἀπὸ τὴν Ἁγία Γραφή, καλὸν εἶναι νὰ ἐπαναφέρουμε στὴν μνήμη μας καὶ τοὺς λόγους τῶν ἁγίων Πατέρων. Ἔχει εἰπωθῆ, λοιπόν, ἀπὸ τὸν Ἅγιο Βασίλειο, ἐπίσκοπο Καισαρείας τῆς Καππαδοκίας: «Καὶ γυναίκα δὲν γνωρίζω καὶ παρθένος δὲν

οὐκ εἰμί. Τοσοῦτον ἐγίνωσκε, μὴ ἐν τῇ σωματικῇ μόνον ἀποχῇ τῆς γυναικός, τὸ δῶρον τῆς παρθενίας κατορθοῦσθαι, ὅσον ἐν τῇ τῆς ψυχῆς ἁγιωσύνῃ, καὶ καθαρότητι, ἥτις φόβῳ Θεοῦ κατορθοῦσθαι πέφυκε. Λέγουσι δὲ καὶ τοῦτο οἱ Πατέρες, μὴ δύνασθαι ἡμᾶς τὴν ἀρετὴν τῆς ἁγνείας τελείως κτήσασθαι, εἰμὴ πρότερον ἀληθινὴν ταπεινοφροσύνην ἐν τῇ καρδίᾳ ἡμῶν κτησώμεθα· οὔτε γνώσεως ἀληθοῦς καταξιωθῆναι, ἐφ᾽ ὅσον ἐν τοῖς ἀποκρύφοις τῆς ψυχῆς τὸ πάθος τῆς πορνείας ἐγκαθέζεται. Ἵνα δὲ τὰ τοῦ κατορθώματος τῆς σωφροσύνης καὶ ἀπὸ τοῦ Ἀποστόλου δείξωμεν, μιᾶς αὐτοῦ ἐπιμνησθέντες λέξεως, καταπαύσωμεν τὸν λόγον. Εἰρήνην διώκετε μετὰ πάντων, καὶ τὸν ἁγιασμόν, οὗ χωρίς, οὐδεὶς ὄψεται τὸν Κύριον[14]. Ὅτι γὰρ περὶ τούτου λέγει, δῆλον ἐξ ὧν ἐπήγαγεν εἰπών· μηδεὶς πόρνος, ἢ βέβηλος, ὡς Ἠσαῦ[15]. Ὅσῳ τοίνυν οὐράνιον καὶ ἀγγελικὸν ὑπάρχει τὸ κατόρθωμα τῆς ἁγιωσύνης, τοσοῦτον βαρυτέραις τῶν ἀν-

εἶμαι». Τόσο πολὺ καλὰ γνώριζε, ὅτι τὸ χάρισμα τῆς παρθενίας δὲν κατορθώνεται μόνο μὲ τὴν σωματικὴ ἀποχὴ ἀπὸ γυναῖκα, ὅσο μὲ τὴν ἁγιότητα καὶ τὴν καθαρότητα τῆς ψυχῆς, ἡ ὁποία ἐκ φύσεως [φυσικῷ τῷ τρόπῳ] κατορθώνεται μὲ τὸν φόβο τοῦ Θεοῦ. Λένε δὲ καὶ αὐτὸ οἱ Πατέρες, ὅτι δὲν μποροῦμε ἐμεῖς ἀπολύτως νὰ ἀποκτήσουμε τὴν ἀρετὴ τῆς ἁγνότητος, ἐὰν προηγουμένως δὲν ἀποκτήσουμε ἀληθινὴ ταπεινοφροσύνη μέσα στὴν καρδία μας· οὔτε [μποροῦμε] νὰ γίνουμε ἄξιοι τῆς ἀληθινῆς γνώσεως, ἐφ᾽ ὅσον παραμένει μέσα στὰ ἀπόκρυφα τῆς ψυχῆς [μας] τὸ πάθος τῆς πορνείας. Γιὰ νὰ δείξουμε δὲ τά [σχετικά] μὲ τὸ κατόρθωμα τῆς σωφροσύνης καὶ ἀπὸ τὸν Ἀπόστολο, ξαναφέρνοντας στὴν μνήμη μας μία [μόνο] λέξι αὐτοῦ, θὰ τελειώσουμε τὸν λόγο: «Ἐπιδιώκετε τὴν εἰρήνη μὲ ὅλους καὶ τὸν ἁγιασμό, χωρὶς τὸν ὁποῖο, κανεὶς δὲν θὰ δῇ τὸν Κύριο». Ὅτι βέβαια μιλᾶ σχετικὰ μ᾽ αὐτό, [εἶναι] φανερὸ ἀπὸ ὅσα ἀνέφερε λέγοντας: «Κανένας πόρνος ἢ βέβηλος, ὅπως ὁ Ἠσαῦ». Ὅσο λοιπὸν εἶναι σὲ ἀξία οὐράνιο καὶ ἀγγελικὸ τὸ κατόρθωμα τῆς ἁγιότητος, τόσο περισσότερο πολεμεῖται μὲ σφο-

τιπάλων ἐπιβουλαῖς πολεμεῖται. Καὶ τούτου χάριν σπουδάζειν ὀφείλομεν, οὐ μόνον ἐγκράτειαν σώματος ἀσκεῖν, ἀλλὰ καὶ συντριβὴν καρδίας, καὶ πυκνὰς μετανοίας μετὰ στεναγμῶν· ὥστε τὴν κάμινον τῆς ἡμετέρας σαρκός, ἣν ὁ Βαβυλώνιος Βασιλεὺς τοῖς τῆς ἐπιθυμίας ἐρεθισμοῖς ἀνάπτει καθ' ἑκάστην, τῇ δρόσῳ τῆς παρουσίας τοῦ Ἁγίου Πνεύματος ἀποσβέσωμεν[16]. Πρὸς δὲ τούτοις μέγιστον ἡμῖν ὅπλον πρὸς τὸν πόλεμον καθέστηκεν, ἡ κατὰ Θεὸν ἀγρυπνία. Ὥς περ γὰρ ἡ παραφυλακὴ τῆς ἡμέρας, τὴν νυκτερινὴν παρασκευάζει ἁγιωσύνην, οὕτως ἡ νυκτερινή κατὰ Θεὸν ἀγρυπνία, τὴν ἡμερινὴν τῇ ψυχῇ προοδοποιεῖ καθαρότητα.

δρότερες ἐπιβουλὲς τῶν ἀντιπάλων [δαιμόνων]. Καὶ ἐξ αἰτίας αὐτοῦ ὀφείλουμε νὰ φροντίζουμε, ὄχι μόνο νὰ ἀσκοῦμε τὴν ἐγκράτεια τοῦ σώματος, ἀλλὰ καὶ τὴν συντριβὴ τῆς καρδίας καὶ πολλὲς μετάνοιες μὲ στεναγμούς, ὥστε τὸ καμίνι τῆς σάρκας μας, τὴν ὁποία ὁ βασιλέας τῆς Βαβυλῶνας καθημερινὰ φλογίζει μὲ τοὺς ἐρεθισμοὺς τῆς ἐπιθυμίας, νὰ τὸ σβήσουμε μὲ τὴν δροσιὰ τῆς παρουσίας τοῦ Ἁγίου Πνεύματος. Ἐκτὸς δὲ ἀπὸ αὐτά, πάρα πολὺ μεγάλο ὅπλο ἐναντίον τοῦ πολέμου εἶναι ἡ κατὰ Θεὸν ἀγρυπνία. Διότι ὅπως ἀκριβῶς ἡ ἄγρυπνη προσοχὴ τῆς ἡμέρας προετοιμάζει τὴν βραδινὴ ἁγιότητα, κατὰ τὸν ἴδιο τρόπο ἡ νυκτερινὴ κατὰ Θεὸν ἀγρυπνία προπορεύεται καὶ ἀνοίγει δρόμο στὴν ψυχὴ γιὰ τὴν καθαρότητα κατὰ τὴν διάρκεια τῆς ἡμέρας.

ΠΕΡΙ ΦΙΛΑΡΓΥΡΙΑΣ

Τρίτος ἡμῖν ἐστιν ἀγὼν κατὰ τοῦ πνεύματος τῆς φιλαργυρίας. Ξένος οὗτος, καὶ ἔξωθεν τῆς φύσεως γνωριζόμενος, ἐξ ἀπιστίας τὴν ἀφορμὴν τῷ μοναχῷ εὑρίσκων. Καὶ γὰρ τῶν ἄλλων παθῶν, θυμοῦ λέγω, καὶ ἐπιθυμίας

Τρίτος εἶναι σὲ μᾶς ὁ ἀγώνας ἐναντίον τοῦ πνεύματος τῆς φιλαργυρίας. Αὐτός [εἶναι] ὁ ἄγνωστος [ἀγώνας], ὁ ὁποῖος καὶ καθίσταται γνωστὸς ἐκτὸς τῆς φύσεως, ὅταν ἕνεκεν ἀπιστίας βρίσκῃ ἀφορμὴ στὸν μοναχό. Καὶ διότι οἱ ἐρεθισμοὶ τῶν ἄλλων παθῶν,

οἱ ἐρεθισμοί, ἐκ τοῦ σώματος δοκοῦσιν ἔχειν τὰς ἀφορμάς· καὶ τρόπον τινά, ὡς ἔμφυτα ἀπὸ γενέσεως ἔχοντα τὴν ἀρχήν· ὅθεν καὶ διὰ μακροῦ χρόνου νικῶνται· ἡ δὲ τῆς φιλαργυρίας νόσος ἔξωθεν ἐπερχομένη, εὐχερέστερον ἐκκόπτεσθαι δύναται, εἰ ἐπιμελείας τύχοι καὶ προσοχῆς. Ἀμεληθεῖσα δέ, ὀλεθριωτέρα τῶν ἄλλων παθῶν καὶ δυσαπόβλητος γίνεται. Ῥίζα γὰρ πάντων τῶν κακῶν ἐστιν, κατὰ τὸν Ἀπόστολον[17]*. Σκοπῶμεν δὲ οὕτως. Τοῦ σώματος αἱ φυσικαὶ κινήσεις, οὐ μόνον ἐν τοῖς παισὶ θεωροῦνται, ἐν οἷς οὔπω διάγνωσις ἀγαθοῦ τε καὶ κακοῦ τυγχάνει, ἀλλὰ καὶ ἐν τοῖς βραχυτάτοις καὶ γαλουχουμένοις νηπίοις, οἵ τινες μηδὲ ἴχνος ἡδονῆς ἐν ἑαυτοῖς ἔχοντες, φυσικὴν ὅμως ἐν τῇ σαρκὶ σημαίνουσι κίνησιν. Ὁμοίως καὶ τοῦ θυμοῦ τὸ κέντρον, ἐν τοῖς νηπίοις θεωρεῖται, ὅταν συγκινουμένους αὐτοὺς πρὸς τοὺς λελυπηκότας ὁρῶμεν. Καὶ ταῦτα λέγω, οὐ τὴν φύσιν κακίζων, ὡς ἁμαρτίας αἰτίαν· μὴ γένοιτο· ἀλλ᾽ ἵνα δείξω ὅτι θυμὸς μὲν καὶ*

τοῦ θυμοῦ, λέγω, καὶ τῆς ἐπιθυμίας, φαίνονται νὰ ἔχουν τὶς ἀφορμὲς ἀπὸ τὸ σῶμα καὶ κατὰ κάποιο τρόπο σάν [νὰ εἶναι] ἔμφυτα ἔχοντας τὴν ἀπαρχή [τους μέσα μας], [ἤδη] ἀπὸ τὴν γέννησί [μας]. Ἐπομένως σὲ διάστημα μακροῦ χρόνου, νικῶνται. Ἡ δὲ ἀσθένεια τῆς φιλαργυρίας, ἐπειδὴ ἐπέρχεται ἀπ᾽ ἔξω, [ἔξω ἀπὸ τὸ εἶναι μας, τὴ φύσι μας], μπορεῖ εὐκολώτερα νὰ ἀποκοπῇ, ἐὰν τύχῃ ἐπιμελείας καὶ προσοχῆς. Ὅταν ὅμως ἀμεληθῇ, γίνεται πιὸ ὀλέθρια ἀπὸ τὰ ἄλλα πάθη καὶ δύσκολα ἀποβάλλεται, διότι εἶναι ἡ ρίζα ὅλων τῶν κακῶν, σύμφωνα μὲ τὸν Ἀπόστολο. Ἂς σκεφθοῦμε δὲ μὲ τὸν ἑξῆς τρόπο: Οἱ φυσικὲς κινήσεις τοῦ σώματος παρατηροῦνται ὄχι μόνο στὰ παιδιά, στὰ ὁποῖα δὲν ἐπιτυγχάνεται ἀκόμη ἡ διάκρισι μεταξὺ τοῦ καλοῦ καὶ τοῦ κακοῦ, ἀλλὰ καὶ στὰ πλέον μικρὰ παιδιὰ καὶ στὰ βρέφη, ποὺ θηλάζουν, τὰ ὁποῖα δὲν ἔχουν μέσα τους ἴχνος ἡδονῆς, ἐντούτοις στὴν σάρκα τους παρουσιάζουν σημεῖα [φυσικῆς] κινήσεως. Ὅμοια καὶ τὸ κίνητρο τοῦ θυμοῦ παρατηρεῖται στὰ νήπια, ὅταν τὰ βλέπουμε νὰ συνταράσσωνται ἐναντίον ἐκείνων, πού [τά] ἔχουν λυπήσει. Καί [τά] λέγω αὐτά, ὄχι γιὰ νὰ κατηγορήσω τὴν φύσι ὡς αἰτία τῆς ἁμαρτίας. Ἐπ᾽ οὐδενὶ λόγῳ. Ἀλλὰ γιὰ νὰ δείξω, ὅτι ὁ θυμὸς μὲν καὶ ἡ

ἐπιθυμία, εἰ καὶ ἐπ᾽ ἀγαθῷ παρὰ τοῦ Δημιουργοῦ συνεζεύχθησαν τῷ ἀνθρώπῳ, ἀλλ᾽ οὖν γε δοκεῖ πως ἐκ τῶν φυσικῶν τοῦ σώματος, εἰς τὸ παρὰ φύσιν διὰ ῥαθυμίας ἐκπίπτειν. Καὶ γὰρ ἡ τοῦ σώματος κίνησις, πρὸς τεκνογονίαν, καὶ τὴν ἐκ διαδοχῆς τοῦ γένους διαμονήν, οὐ πρὸς πορνείαν ὑπὸ τοῦ Δημιουργοῦ ἐδόθη. Καὶ ἡ τοῦ θυμοῦ δὲ κίνησις, σωτηριωδῶς ἡμῖν ἐγκατέσπαρται, θυμοῦσθαι κατὰ τῆς κακίας, οὐ πρὸς τὸ ὁμόφυλον ἐκθηριοῦσθαι. Οὐ τοίνυν, εἰ καὶ κακῶς ταῦτα κεχρήμεθα, ἁμαρτωλὸς ἡ φύσις, ἢ τὸν Πλάστην αἰτιασώμεθα· ὥς περ οὐδὲ τὸν δεδωκότα σιδήριον πρὸς ἀναγκαίαν καὶ λυσιτελῆ χρείαν, εἰ ὁ δεξάμενος πρὸς φόνου ὑπηρεσίαν τούτῳ ἐχρήσατο. Ταῦτα δὲ εἰρήκαμεν, δεῖξαι βουλόμενοι, ὅτι τὸ τῆς φιλαργυρίας πάθος, οὐκ ἐκ τῶν φυσικῶν τὴν πρόφασιν ἔχει, ἀλλ᾽ ἐκ μόνης κακίστης, καὶ διεφθαρμένης προαιρέσεως. Αὕτη γὰρ ἡ νόσος, ὅταν χλιαρὰν καὶ ἄπιστον, ἐν ἀρχῇ τῆς ἀποταγῆς, εὕρῃ τὴν ψυχήν, δικαίας τινάς,

ἐπιθυμία, ἂν καὶ μὲ σκοπὸ τὸ ἀγαθὸ συνεδέθησαν ἀπὸ τὸν Δημιουργὸ μὲ τὸν ἄνθρωπο, ἀλλὰ ὅμως πράγματι φαίνεται, ὅτι κατὰ κάποιον τρόπο, ἐκπίπτουν ἀπὸ τὶς φυσικές [ἰδιότητες] τοῦ σώματος, [φθάνοντας] σέ [κατάστασι] ἐκτὸς τῆς φύσεως, ἐξ αἰτίας τῆς ραθυμίας. Διότι καὶ ἡ κίνησι τοῦ σώματος δόθηκε ἀπὸ τὸν Δημιουργό, μὲ σκοπὸ τὴν τεκνογονία καὶ τὴν διατήρησι τοῦ [ἀνθρωπίνου] γένους μέσῳ τῆς [γενεαλογικῆς] διαδοχῆς, ὄχι μὲ σκοπὸ τὴν πορνεία. Καὶ ἡ κίνησι τοῦ θυμοῦ ἔχει ἐγκατασπαρῆ μέσα μας γιὰ χάρι τῆς σωτηρίας μας, γιὰ νὰ θυμώνουμε ἐναντίον τῆς κακίας καὶ ὄχι γιὰ νὰ ἐξαγριωνώμεθα ἐναντίον τῶν ἀδελφῶν μας. Δέν [εἶναι] ἑπομένως, ἐὰν αὐτά [τά] μεταχειριζώμεθα κακῶς, ἁμαρτωλὴ ἡ φύσι οὔτε θὰ κατηγορήσουμε τὸν Πλάστη. Ὅπως ἀκριβῶς, οὔτε ἐκεῖνος, ποὺ ἔχει δώσει σιδερένιο ἐργαλεῖο γιὰ ἀναγκαία καὶ ἐπωφελῆ χρῆσι, [δὲν εἶναι ὑπεύθυνος], ἐὰν ἐκεῖνος πού [τό] ἔλαβε, τὸ χρησιμοποίησε γιὰ τὴν ἐκτέλεσι φόνου. Αὐτὰ δὲ τὰ εἴπαμε, θέλοντας νὰ δείξουμε, ὅτι τὸ πάθος τῆς φιλαργυρίας δὲν ἔχει δικαιολογία [ποὺ νὰ στηρίζεται] σὲ φυσικά [αἴτια], ἀλλά [ὑπάρχει] ἐξ αἰτίας μόνης τῆς πολὺ κακῆς καὶ διεφθαρμένης προαιρέσεως. Διότι αὐτὴ ἡ ἀσθένεια, ὅταν βρῇ στὴν ἀρχὴ τῆς ἀποταγῆς, τὴν ψυχὴ χλιαρὴ καὶ ἄπιστη, κάποιες δίκαιες καὶ

καὶ τῷ δοκεῖν, εὐλόγους τινὰς προφάσεις αὐτῇ ὑποβάλλει πρὸς τὸ κατασχεῖν τίποτε ὧν κέκτηται. Ὑπογράφει γὰρ κατὰ διάνοιαν τῷ μοναχῷ, γῆρας μακρόν, καὶ ἀσθένειαν σώματος, καὶ ὅτι αἱ διδόμεναι χρεῖαι ἐκ τοῦ κοινοβίου, οὐχ ἱκαναὶ πρὸς παραμυθίαν, οὐ λέγω ἀσθενοῦντι, ἀλλ᾽ οὐδὲ ὑγιαίνοντι· καὶ ὅτι ἐνταῦθα οὐ γίνεται φροντὶς κατ᾽ ἀξίαν τοῖς ἀσθενοῦσιν, ἀλλὰ καὶ πάνυ ἠμελημένη· καὶ ὡς, εἰ μὴ ἔχει ἀποκεκρυμμένον χρυσίον, ἀθλίως ἀποθανεῖται. Τελευταῖον δὲ ὑποβάλλει, μηδὲ μένειν δύνασθαι ἐπιπολὺ ἐν τῷ μοναστηρίῳ διὰ τὴν βαρύτητα τῶν ἔργων, καὶ τὴν τοῦ πατρὸς ἀκρίβειαν. Καὶ ὅτε ταῖς τοιαύταις ἐνθυμήσεσιν ἀποπλανήσει τὴν διάνοιαν, πρὸς τὸ κἂν ἓν δηνάριον κατασχεῖν· τοτηνικαῦτα πείθει αὐτόν, καὶ ἐργόχειρον λάθρα τοῦ ἀββᾶ μαθεῖν, ἐξ οὗ δυνήσεται τὸ περισπούδαστον αὐτῷ ἀργύριον αὐξῆσαι. Καὶ λοιπὸν ἐλπίσιν ἀδήλοις ἀπατᾷ τὸν ἄθλιον, ὑποβάλλων αὐτῷ ἐκ τοῦ ἐργοχείρου κέρδος, καὶ

κάποιες εὔλογες κατὰ τὰ φαινόμενα προφάσεις ὑποβάλλει σ᾽ αὐτὴν μὲ σκοπὸ νὰ ἁρπάξῃ τίποτα, ἀπὸ ὅσα [ὁ μοναχός] ἔχει ἀποκτήσει. Σκιαγραφεῖ δηλαδὴ στὴν διάνοια τοῦ μοναχοῦ βαθειὰ γεράματα καὶ ἀσθένεια τοῦ σώματος καὶ ὅτι αὐτὰ τὰ ὁποῖα δίδονται γιὰ τὴν κάλυψι τῶν ἀναγκῶν ἀπὸ τὸ κοινόβιο, δὲν ἐπαρκοῦν γιὰ ἀνακούφισι, ὄχι, λέγω, ἐκείνου ποὺ ἀσθενεῖ, ἀλλὰ οὔτε ἐκείνου ποὺ εἶναι ὑγιής. Καὶ ὅτι ἐδῶ δὲν προσφέρεται φροντίδα σύμφωνη μὲ ἀνάλογη ἀξιολόγησι [τῆς ἀνάγκης] ἐκείνων ποὺ ἀσθενοῦν, ἀλλὰ καὶ αὐτή [ποὺ προσφέρεται] γίνεται μὲ πάρα πολλὴ ἀμέλεια. Καὶ ὅτι, ἐὰν δὲν ἔχῃ κανεὶς κρυμμένο χρηματικὸ ποσό, θὰ πεθάνῃ σὲ ἄθλια κατάστασι. Τέλος δέ [τοῦ] ὑποβάλλει [τὸν λογισμό], ὅτι δὲν μπορεῖ οὔτε νὰ παραμένῃ γιὰ πολὺ στὸ μοναστήρι ἐξ αἰτίας τοῦ βάρους τῶν διακονημάτων καὶ τῆς ἀκριβείας τοῦ Γέροντος. Καί, ὅταν μ᾽ αὐτοῦ τοῦ εἴδους τὶς σκέψεις θὰ ἀποπλανήσῃ τὴν διάνοια πρὸς τὴν κατακράτησι ἔστω ἑνὸς δηναρίου, τότε τοῦτο τὸν πείθει νὰ μάθῃ καὶ ἐργόχειρο κρυφὰ ἀπὸ τὸν Ἡγούμενο, ἐκ τοῦ ὁποίου θὰ μπορέσῃ νὰ αὐξήσῃ τὸ περιπόθητο γι᾽ αὐτὸν χρῆμα. Καὶ ἔπειτα ἐξαπατᾷ τὸν ἄθλιο μὲ ἄδηλες ἐλπίδες, ὑπαγορεύοντας σ᾽ αὐτὸν κέρδος ἀπὸ τὸ ἐργόχειρο καὶ

τὴν ἐκ τούτου ἄνεσιν, καὶ ἀμεριμνίαν· καὶ ὅλος τῇ τοῦ κέρδους ἐνθυμήσει ἐκδοθείς, οὐδὲν τῶν ἐναντίων σκοπεῖ· οὐκ ὀργῆς μανίαν, εἴποτε συμβῇ αὐτὸν ζημίᾳ περιπεσεῖν, οὐ λύπης σκότος, εἰ ἀποτύχοι τῆς ἐλπίδος τοῦ κέρδους· ἀλλὰ γίνεται, ὡς ἄλλοις ἡ γαστὴρ θεός[18]*, οὕτως τούτῳ ὁ χρυσός. Ὅθεν καὶ ὁ μακάριος Ἀπόστολος τοῦτο γινώσκων, οὐ μόνον ῥίζαν πάντων τῶν κακῶν, ἀλλὰ καὶ εἰδωλολατρείαν ταύτην ἐκάλεσε*[19]*. Θεωρήσωμεν τοίνυν, εἰς πόσην κακίαν ἡ νόσος αὕτη κατασύρει τὸν ἄνθρωπον, ὡς καὶ εἰς εἰδωλολατρείαν ἐμβαλεῖν. Ἀποστήσας γὰρ ὁ φιλάργυρος τὸν νοῦν ἑαυτοῦ ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ, εἴδωλα ἀνθρώπων ἐγγεγλυμμένα τῷ χρυσῷ ἀγαπᾷ. Τούτοις δὲ τοῖς λογισμοῖς ὁ μοναχὸς σκοτωθείς, καὶ ἐπὶ τὸ χεῖρον αὔξων, οὐδεμίαν λοιπὸν ὑπακοὴν ἔχειν δύναται· ἀλλ᾽ ἀγανακτεῖ, ἀναξιοπαθεῖ, καὶ πρὸς ἕκαστον ἔργον γογγύζει, ἀντιλέγει, καὶ μηδεμιᾶς λοιπὸν εὐλαβείας πεφυλαγμένης, ὥς περ ἵππος σκλη-*

τὴν ἐξ αἰτίας αὐτοῦ ἄνεσι καὶ ἀμεριμνία. Καὶ ἀφοῦ παραδοθῇ ὁλόκληρος στὸν ὑπολογισμὸ τοῦ κέρδους, δὲν προσέχει κανένα ἀπὸ τὰ ἀντίπαλα [πάθη], οὔτε τὸ πάθος τῆς ὀργῆς, ἐὰν ποτὲ τοῦ συμβῇ νὰ πάθῃ ζημιά, οὔτε τὸ σκοτάδι τῆς λύπης, ἐὰν διαψευσθῇ ἡ ἐλπίδα τοῦ κέρδους. Ἀλλὰ γίνεται, ὅπως σὲ ἄλλους θεὸς ἡ γαστέρα, κατὰ τὸν ἴδιο τρόπο σ᾽ αὐτὸν ὁ χρυσός. Γιὰ τοῦτο καὶ ὁ μακάριος Ἀπόστολος γνωρίζοντας αὐτό, ὄχι μόνο ρίζα ὅλων τῶν κακῶν, ἀλλὰ καὶ εἰδωλολατρία τὴν ὀνόμασε. Ἂς δοῦμε λοιπὸν σὲ πόση κακία ἡ ἀσθένεια αὐτὴ παρασύρει τὸν ἄνθρωπο, ὥστε νὰ τὸν ρίξῃ καὶ μέσα στὴν εἰδωλολατρία. Ὁ φιλάργυρος, λοιπόν, κρατώντας τὸν ἑαυτό του μακριὰ ἀπὸ τὴν ἀγάπη τοῦ Θεοῦ, ἀγαπᾶ εἴδωλα ἀνθρώπων, τὰ ὁποῖα ἔχουν χαραχθῇ πάνω στὰ χρυσὰ νομίσματα. Σκοτισμένος δὲ ὁ μοναχὸς ἀπ᾽ αὐτοὺς τοὺς λογισμοὺς καὶ ἐπεκτεινόμενος πρὸς τὸ χειρότερο, δὲν μπορεῖ εἰς τὸ ἑξῆς νὰ ἔχῃ καμία ὑπακοή. Ἀλλὰ ἀγανακτεῖ, ἀναξιοπαθεῖ καὶ γογγύζει σχετικὰ μὲ κάθε ἐργασία. Ἀντιλέγει καὶ καθὼς πλέον δὲν ἔχει φυλάξει καμιά [ἔκφρασι] εὐλαβείας, ὅπως ἀκριβῶς ἕνα ἀγριώτατο ἄ-

ρότατος κατὰ κρημνῶν φέρεται· οὔτε τῇ καθημερινῇ τροφῇ ἀρκούμενος· καὶ διαμαρτύρεται, μὴ δύνασθαι εἰς τέλος ταῦτα ὑπομένειν. Καὶ Θεὸν οὐκ ἐκεῖ μόνον εἶναι, λέγει, οὐδὲ τὴν ἰδίαν σωτηρίαν ἐν ἐκείνῳ κατακεκλεῖσθαι· καὶ ὡς, εἰμὴ ἀποστῇ τοῦ μοναστηρίου ἐκείνου, ἀπολεῖται. Καὶ οὕτως τῆς διεφθαρμένης ταύτης γνώμης, συνεργὸν ἔχων τὰ πεφυλαγμένα ἀργύρια, ὥς περ πτεροῖς τούτοις κουφισθείς, καὶ τὴν ἔξοδον τὴν ἀπὸ τοῦ μοναστηρίου μελετῶν· λοιπὸν ὑπερηφάνως καὶ τραχέως πρὸς πάντα τὰ παραγγέλματα ἀποκρίνεται, καὶ ὡς ξένον καὶ ἐξωτικὸν ἑαυτὸν ἡγούμενος, εἴτι ἂν ἴδῃ ἐν τῷ μοναστηρίῳ διορθώσεως δεόμενον, ἀμελεῖ, καὶ περιφρονεῖ, καὶ ψέγει πάντα τὰ γινόμενα· ἔπειτα προφάσεις ἀναζητεῖ, δι' ὧν ὀργισθήσεται, ἢ λυπηθήσεται, ἵνα μὴ δόξῃ ἐλαφρὸς ἄνευ αἰτίας ἐξιέναι ἐκ τοῦ μοναστηρίου. Ἐὰν δὲ καὶ ἄλλον δυνηθῇ ψιθυρισμοῖς, καὶ ματαιολογίαις ἀπατήσας ἐκβαλεῖν τοῦ μοναστηρίου, οὐδὲ τοῦτο παραι-

λογο ὁρμᾶ στοὺς γκρεμούς. Καθὼς οὔτε στὴν καθημερινὴ τροφὴ ἀρκεῖται, συνακολούθως διαμαρτύρεται ὅτι δὲν μπορεῖ νά [τά] ὑπομένῃ αὐτὰ μέχρι τέλους. Καὶ λέγει ὅτι δὲν εἶναι μόνο ἐκεῖ ὁ Θεός, οὔτε ἡ δική του σωτηρία ἔχει περιοριστῇ σ' ἐκεῖνο [τὸν τόπο]. Καὶ ὅτι, ἐὰν δὲν ἐγκαταλείψῃ ἐκεῖνο τὸ μοναστήρι, θὰ χαθῇ. Καὶ κατ' αὐτὸν τὸν τρόπο, ἔχοντας συνεργὸ σ' αὐτὴ τὴν διεφθαρμένη γνώμη τὰ χρήματα, τὰ ὁποῖα ἔχει φυλάξει, ἀφοῦ ἀνυψωθῇ μ' αὐτά, ὅπως ἀκριβῶς μὲ φτερά, [καταλήγει] νὰ μελετᾷ τὴν ἔξοδο ἀπὸ τὸ μοναστήρι. Ὡς ἐκ τούτου σὲ ὅλες τὶς ἐντολὲς ἀποκρίνεται μὲ ὑπερηφάνια καὶ βαναυσότητα καὶ θεωρῶντας τὸν ἑαυτό του σὰν ξένο καὶ παρεπίδημο, ἐὰν τυχὸν δῇ κάτι στὸ μοναστήρι, τὸ ὁποῖο ἔχει ἀνάγκη διορθώσεως, ἀμελεῖ καὶ περιφρονεῖ καὶ ἐπικρίνει ὅλα ὅσα γίνονται. Ἔπειτα ἀναζητεῖ προφάσεις, ἐξ αἰτίας τῶν ὁποίων θὰ ὀργισθῇ ἢ θὰ λυπηθῇ, γιὰ νὰ μὴν φανῇ ἀπερίσκεπτος, ὅτι χωρὶς αἰτία φεύγει ἀπὸ τὸ μοναστήρι. Ἐὰν δὲ καὶ ἄλλον μπορέσῃ, ἀφοῦ τὸν ἐξαπατήσῃ μὲ ψιθυρισμοὺς καὶ ματαιολογίες, νὰ τὸν βγάλῃ ἀπὸ τὸ μοναστήρι, οὔτε αὐτὸ ἀπο-

τεῖται ποιῆσαι, βουλόμενος ἔχειν τοῦ ἰδίου ἐλαττώματος συνεργόν. Οὕτως δὲ ἀναπτόμενος τῷ πυρὶ τῶν ἰδίων χρημάτων ὁ φιλάργυρος, οὐδέποτε ἡσυχάσαι δυνήσεται ἐν τῷ μοναστηρίῳ, ἢ ὑπὸ κανόνα ζῆσαι. Ὅταν δὲ τοῦτον ὁ δαίμων, ὥς περ λύκος, ἐκ τῆς μάνδρας ἀφαρπάσῃ, καὶ ἀφορίσας τοῦ ποιμνίου, ἕτοιμον πρὸς κατάβρωσιν λάβῃ· τοτηνικαῦτα παρασκευάζει αὐτόν, τὰ ἔργα ἅπερ ἐν τῷ κοινοβίῳ τεταγμέναις ὥραις ποιῶν ὠλιγώρει, ταῦτα ἐν τῇ κέλλῃ νυκτὸς καὶ ἡμέρας μετὰ πολλῆς προθυμίας ποιεῖν. Καὶ οὔτε τῶν εὐχῶν τὰ ἔθη, οὔτε τῶν νηστειῶν τὸν τρόπον, οὐ τῶν ἀγρυπνιῶν τὸν κανόνα, φυλάττειν ἐπιτρέπει· ἀλλὰ τῇ τῆς φιλαργυρίας μανίᾳ τοῦτον δήσας, τὴν πᾶσαν σπουδὴν εἰς τὸ ἐργόχειρον ἔχειν ἀναπείθει. Τῆς δὲ νόσου ταύτης, τρεῖς εἰσι τρόποι, οὓς ἐπίσης ἀπαγορεύουσιν αἱ θεῖαι Γραφαί, καὶ διδασκαλίαι τῶν Πατέρων. Εἷς μέν, ὃς παρασκευάζει τοὺς ἐλεεινούς, ἅπερ οὗτοι ἐν τῷ κόσμῳ οὐκ εἶ-

φεύγει νὰ τὸ κάνῃ, ἐπειδὴ θέλει νὰ ἔχῃ συνεργὸ στὸ ἴδιο ἐλάττωμα. Κατ' αὐτὸν τὸν τρόπο, φλεγόμενος μὲ τὴν φωτιὰ τῶν δικῶν του χρημάτων, ὁ φιλάργυρος δὲν θὰ μπορέσῃ οὐδέποτε νὰ ἡσυχάσῃ μέσα στὸ μοναστήρι ἢ νὰ ζήσῃ κάτω ἀπὸ κανόνα. Ὅταν δὲ ὁ δαίμονας, ὅπως ἀκριβῶς ὁ λύκος, ἁρπάξῃ αὐτὸν ἀπὸ τὴν μάνδρα, ἀφοῦ τὸν βγάλῃ ἔξω καὶ ἀπὸ τὸ κοπάδι, [καί] τὸν ἀδράξῃ, ἕτοιμο γιὰ καταβρόχθισι, τότε τὸν ἑτοιμάζει [δῆθεν], τὰ ἔργα τὰ ὁποῖα ἀκριβῶς ἀμελοῦσε νὰ κάνῃ στὶς καθορισμένες ὧρες μέσα στὸ κοινόβιο, αὐτὰ νὰ τὰ κάνῃ στὸ κελλὶ νύκτα καὶ ἡμέρα μὲ πολλὴ προθυμία. Ἀλλά [τελικά] οὔτε τὶς συνήθειες τῶν προσευχῶν, οὔτε τὸν τρόπο τῶν νηστειῶν, οὔτε τὸν κανόνα τῶν ἀγρυπνιῶν [τοῦ] ἐπιτρέπει νὰ φυλάττῃ. Ἀλλὰ δένοντας αὐτὸν μὲ τὸ πάθος τῆς φιλαργυρίας, τὸν καταπείθει νὰ ἔχῃ ὅλη του τὴν φροντίδα στὸ ἐργόχειρο. Αὐτῆς δὲ τῆς ἀσθενείας τρεῖς εἶναι οἱ τρόποι, τοὺς ὁποίους ἐξίσου ἀπαγορεύουν οἱ θεῖες Γραφὲς καὶ οἱ διδασκαλίες τῶν Πατέρων. Ἕνας μέν, αὐτὸς ποὺ ἑτοιμάζει ὅσα ἀκριβῶς, οἱ ἐλεεινοὶ ἐκεῖνοι δὲν εἶχαν στὸν κό-

χον, ταῦτα κτᾶσθαι καὶ συναθροίζειν. Ἄλλος δέ, ὃς μεταμελεῖσθαι ποιεῖ τοὺς τοῖς χρήμασιν ἅπαξ ἀποταξαμένους, ὑποβάλλων αὐτοῖς ζητεῖν ταῦτα, ἅπερ Θεῷ προσήνεγκαν. Τρίτος δέ, ὃς κατὰ τὴν ἀρχήν, ἀπιστίᾳ καὶ χλιαρότητι τὸν μοναχὸν ἐνδήσας, οὐ συγχωρεῖ τοῦτον τελείως ἀπαλλαγῆναι τῶν τοῦ κόσμου πραγμάτων· φόβον ὑποβάλλων πενίας, καὶ ἀπιστίαν τῆς τοῦ Θεοῦ προνοίας· καὶ παραβάτην ἀποδεικνὺς τῶν ἰδίων ὑποσχέσεων, ὧν καθωμολόγησεν ἀποτασσόμενος τῷ κόσμῳ. Τούτων δὴ τῶν τριῶν τρόπων τὰ παραδείγματα ἐν τῇ Θείᾳ Γραφῇ, καθὰ εἴρηται, κατακεκριμένα εὑρήκαμεν. Καὶ γὰρ ὁ Γιεζῆ, χρήματα ἃ πρότερον οὐκ εἶχε, βουληθεὶς κτήσασθαι, ἀπέτυχε τῆς προφητικῆς χάριτος· ἣν ὁ διδάσκαλος ἐν κληρονομίας τάξει, καταλεῖψαι τούτῳ ἐβούλετο· καὶ ἀντὶ εὐλογίας, αἰωνίαν λέπραν διὰ τῆς τοῦ Προφήτου κατάρας ἐκληρονόμησε[20]. Καὶ ὁ Ἰούδας βουληθεὶς λαβεῖν χρήματα, ἃ πρότερον ἀπεβάλετο τῷ Χριστῷ

σμο, αὐτὰ νὰ ἀποκτήσουν καὶ νὰ συγκεντρώσουν. Ἄλλος δέ [τρόπος εἶναι ἐκεῖνος], ὁ ὁποῖος κάνει ὅσους μιὰ γιὰ πάντα ἀποχωρίστηκαν ἀπὸ τὰ χρήματα, νὰ μεταμεληθοῦν, ὑποβάλλοντας σ᾽ αὐτούς [τὴν ἰδέα] νὰ ζητήσουν ἐκεῖνα ἀκριβῶς τὰ ὁποῖα προσέφεραν στὸν Θεό. Τρίτος πάλι [τρόπος εἶναι ἐκεῖνος], ὁ ὁποῖος ἀφοῦ ἐνδύσῃ τὸν μοναχὸ μὲ ἀπιστία καὶ χλιαρότητα, δὲν ἐπιτρέπει αὐτὸς νὰ ἀπαλλαγῇ ἐντελῶς ἀπὸ τὰ πράγματα τοῦ κόσμου, ὑποβάλλοντας σ᾽ αὐτὸν τὸν φόβο τῆς πτωχείας καὶ τὴν ἀπιστία στὴν πρόνοια τοῦ Θεοῦ καὶ παρουσιάζοντάς [τον] [μ᾽ αὐτὸν τὸν τρόπο] παραβάτη τῶν ἴδιων του τῶν ὑποσχέσεων, τὶς ὁποῖες ὑπεσχέθη [στὸν Θεό], ὅταν ἐγκατέλειψε τὸν κόσμο. Αὐτῶν τῶν τριῶν τρόπων, μάλιστα, τὰ παραδείγματα [τά] βρήκαμε, ὅτι ἔχουν καταδικαστῆ στὴν Ἁγία Γραφή, σύμφωνα πρὸς ἐκεῖνα ποὺ εἰπώθηκαν [προηγουμένως]. Διότι καὶ ὁ Γιεζῆ, ἐπειδὴ ἐπεθύμησε νὰ ἀποκτήσῃ χρήματα, τὰ ὁποῖα δὲν εἶχε πρίν, ἔχασε τὴν προφητικὴ Χάρι, τὴν ὁποία ὁ διδάσκαλος σκόπευε νὰ ἀφήσῃ σ᾽ αὐτόν, σύμφωνα μὲ τὴν περὶ κληρονομίας παράδοσι. Καὶ ἀντὶ εὐλογίας κληρονόμησε διὰ μέσου τῆς κατάρας τοῦ Προφήτου, τὴν αἰώνια λέπρα. Καὶ ὁ Ἰούδας, ἐπειδὴ ἐπεθύμησε νὰ πάρῃ χρήματα, τὰ ὁποῖα προηγουμένως, ἀκολουθώντας τὸν Χριστὸ περιφρο-

ἀκολουθῶν, οὐ μόνον πρὸς προδοσίαν τοῦ Δεσπότου ὀλισθήσας, τοῦ χοροῦ τῶν Ἀποστόλων ἐξέπεσεν, ἀλλὰ καὶ αὐτὴν τὴν ἐν σαρκὶ ζωὴν βιαίῳ θανάτῳ κατέλυσεν[21]*. Ἀνανίας δὲ καὶ Σάπφειρα, φυλάξαντές τινα ἐξ ὧν ἐκέκτηντο, ἀποστολικῷ στόματι θανάτῳ τιμωροῦνται*[22]*. Μωυσῆς δὲ ὁ μέγας, ἐν τῷ Δευτερονομίῳ μυστικῶς παραγγέλλει τοῖς ἐπαγγελλομένοις ἀποτάσσεσθαι τῷ κόσμῳ, καὶ φόβῳ ἀπιστίας πάλιν ἀντεχομένοις τῶν γηίνων πραγμάτων· εἴτις ἐστιν ἄνθρωπος περίφοβος, καὶ τῇ καρδίᾳ δειλός, οὐκ ἐξελεύσεται εἰς πόλεμον· πορευέσθω δὲ καὶ ἀναλυέτω εἰς τὸν ἴδιον οἶκον, μήποτε πτοεῖσθαι ποιήσῃ τὰς καρδίας τῶν ἀδελφῶν αὐτοῦ*[23]*. Ἔστι ταύτης τῆς μαρτυρίας ἀσφαλέστερον ἢ σαφέστερον; Οὐκ ἄρα διὰ τούτων μανθάνομεν οἱ ἀποτασσόμενοι τῷ κόσμῳ, τελείως ἀποτάσσεσθαι, καὶ οὕτως ἐπὶ τὸν πόλεμον ἐκβαίνειν, καὶ μὴ διὰ τοῦ βάλλειν ἀρχὴν χαύνην καὶ διεφθαρμένην, ἀνατρέπειν τοὺς ἄλλους ἀ-*

νοῦσε, ὄχι μόνο ἀφοῦ διωλίσθησε πρὸς τὴν προδοσία τοῦ Κυρίου, ἐξέπεσε ἀπὸ τὸν χορὸ τῶν Ἀποστόλων, ἀλλὰ καὶ αὐτὴ τὴν ἐν σώματι ζωὴ τελείωσε μὲ βίαιο θάνατο. Ὁ Ἀνανίας δὲ καὶ ἡ Σαπφείρα, ἐπειδὴ φύλαξαν μερικὰ ἀπὸ ἐκεῖνα τὰ ὁποῖα εἶχαν στὴν κατοχή τους διὰ τοῦ ἀποστολικοῦ στόματος, τιμωροῦνται μὲ θάνατο. Ὁ δὲ μέγας Μωυσῆς παραγγέλλει μυστικῶς στὸ Δευτερονόμιο, σ᾽ ἐκείνους ποὺ ὑπόσχονται νὰ ἐγκαταλείψουν τὸν κόσμο καὶ ἀπὸ τὸν φόβο, [ποὺ γεννᾷ] ἡ ἀπιστία πάλι προσκολλῶνται στὰ γήϊνα πράγματα: «Ἐὰν κάποιος εἶναι ἄνθρωπος, ποὺ φοβᾶται καὶ στὴν καρδία [εἶναι] δειλός, δὲν θὰ βγῇ στὸν πόλεμο. Ἂς πορευθῇ λοιπὸν καὶ ἂς ἐπιστρέψῃ στὸ σπίτι του, μήπως καὶ κάνῃ νὰ πτοηθοῦν [ἀπὸ δειλία] οἱ καρδίες τῶν ἀδελφῶν του». Εἶναι ἀπὸ αὐτὴ τὴν μαρτυρία [κάποια ἄλλη] περισσότερο ἀξιόπιστη ἢ σαφής; Δὲν μαθαίνουμε ἄραγε ἀπ᾽ αὐτὰ ἐμεῖς, ποὺ ἐγκαταλείψαμε τὸν κόσμο, ὅτι [πρέπει] νά [τόν] ἐγκαταλείψουμε ἐντελῶς καὶ κατ᾽ αὐτὸ τὸν τρόπο νὰ βγοῦμε στὸν πόλεμο καὶ ὄχι, ἐξ αἰτίας τοῦ ὅτι βάλαμε χαλαρὴ καὶ διεφθαρμένη ἀρχὴ [στὴν μοναχική μας πολιτεία] νὰ κάνουμε [καί] τοὺς ἄλλους νὰ πέσουν μακριὰ ἀπὸ τὴν εὐαγγελικὴ τελει-

τητος, καὶ δειλίαν τούτοις ἐμβάλλειν; Ἐπειδὴ δὲ τὸ καλῶς εἰρημένον τῇ Θείᾳ Γραφῇ, μακάριόν ἐστιν μᾶλλον διδόναι, ἢ λαμβάνειν[24]*, κακῶς ἑρμηνεύουσι, βιαζόμενοι πρὸς τὴν ἰδίαν ἀπάτην, καὶ τὴν τῆς φιλαργυρίας ἐπιθυμίαν, τὴν ἔννοιαν τοῦ ρητοῦ παραλογιζόμενοι· καὶ τὴν τοῦ Κυρίου διδασκαλίαν τὴν λέγουσαν, εἰ θέλεις τέλειος εἶναι, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανοῖς, καὶ δεῦρο ἀκολούθει μοι*[25]*· καὶ κρίνουσι τῆς ἀκτημοσύνης μακαριώτερον, τὸ ἐξουσιάζειν τοῦ ἰδίου πλούτου, καὶ ἐκ τῆς τούτου περιουσίας διδόναι τοῖς δεομένοις· γινωσκέτωσαν οἱ τοιοῦτοι, μήπω ἀποτετάχθαι τῷ κόσμῳ, μηδὲ ἐπιβεβηκέναι τῆς μοναδικῆς τελειότητος, ἐφ᾽ ὅσον ἐπαισχύνονται ὑπὲρ Χριστοῦ, τοῦ Ἀποστόλου ἀναλαμβάνειν τὴν πτωχείαν, καὶ τῇ τῶν χειρῶν ἐργασίᾳ, ἑαυτοῖς καὶ τοῖς δεομένοις ὑπηρετεῖν*[26]*, ἔργῳ πληρῶσαι τὴν μοναδικὴν ἐπαγγελίαν, καὶ μετὰ τοῦ Ἀποστόλου δοξασθῆναι· διασκορπίσαντας τὸν πα-*

ότητα καὶ νὰ τοὺς ἐμπνέουμε τὴν δειλία. [Καὶ τοῦτο συμβαίνει] βέβαια ἐπειδὴ ἐκεῖνο, ποὺ καλῶς εἰπώθηκε στὴν Ἁγία Γραφή: «εἶναι ἄξιο μακαρισμοῦ περισσότερο τὸ νὰ δίνῃς παρὰ τὸ νὰ παίρνῃς», [τό] ἑρμηνεύουν κακῶς, ἐξαναγκάζοντας [τοὺς ἄλλους] διὰ τῆς βίας [νὰ ὑποκύψουν] στήν πανουργία τους καὶ τὴν ἐπιθυμία τῆς φιλαργυρίας, παρερμηνεύοντας τὴν ἔννοια τοῦ ρητοῦ καὶ τὴν διδασκαλία τοῦ Κυρίου ἡ ὁποία λέγει: «ἐὰν θέλῃς νὰ εἶσαι τέλειος πούλησε τὰ ὑπάρχοντά σου καὶ δῶσε τα στοὺς πτωχοὺς καὶ θὰ ἔχῃς θησαυρὸ στοὺς οὐρανοὺς καὶ ἔλα καὶ ἀκολούθησέ με». Καὶ κρίνουν, ὅτι ἀπὸ τὴν ἀκτημοσύνη εἶναι μακαριώτερο, τὸ νὰ ἐξουσιάζουν τὴν δική τους περιουσία καὶ τὸ περίσσευμα ἀπὸ αὐτήν, νά [τό] δίδουν σὲ ὅσους ἔχουν ἀνάγκη. Ἂς γνωρίζουν οἱ [μοναχοί] αὐτοῦ τοῦ εἴδους, ὅτι δὲν ἐγκατέλειψαν ἀκόμα τὸν κόσμο, οὔτε ἔχουν ἐπιτύχει τὴν τελειότητα τῶν μοναχῶν, ἐφ᾽ ὅσον ντρέπονται γιὰ χάρι τοῦ Χριστοῦ νὰ σηκώσουν τὴν πτωχεία τοῦ Ἀποστόλου καὶ μὲ τὴν ἐργασία τῶν χεριῶν [τους] τοὺς ἑαυτούς τους καὶ ὅσους ἔχουν ἀνάγκη νὰ διακονήσουν, νὰ ἐκπληρώσουν μὲ ἔργο τὴν μοναχικὴ ὑπόσχεσι καὶ νὰ δοξασθοῦν μαζὶ μὲ τὸν Ἀπόστολο. Ἀφοῦ διασκορπίσουν τὴν προη-

λαιὸν πλοῦτον, ἐν λιμῷ καὶ δίψῃ, ἐν ψύχει καὶ γυμνότητι[27]*, μετὰ τοῦ Παύλου ἀγωνιζέσθωσαν τὸν καλὸν ἀγῶνα*[28]*. Καὶ γὰρ εἰ τὸ ἔχειν παλαιὸν πλοῦτον ἀναγκαιότερον πρὸς τελείωσιν ἐγίνωσκεν ὁ αὐτὸς Ἀπόστολος, οὐκ ἂν κατεφρόνησε τῆς αὐτοῦ ἀξίας· ἐπίσημον γὰρ ἑαυτὸν λέγει γεγονέναι καὶ πολίτην Ῥωμαίων*[29]*. Καὶ οἱ ἐν Ἱεροσολύμοις δέ, οἵτινες ἐπώλουν τὰς οἰκίας ἑαυτῶν καὶ τοὺς ἀγρούς, καὶ ἐτίθεσαν τὰς τούτων τιμὰς παρὰ τοὺς πόδας τῶν Ἀποστόλων*[30]*, οὐκ ἂν τοῦτο ἔπραττον, εἰ κεκριμένον ἐγίνωσκον ὑπὸ τῶν Ἀποστόλων καὶ μακαριώτερον τὸ τοῖς ἰδίοις χρήμασι τρέφεσθαι, καὶ μὴ καμάτῳ ἰδίῳ καὶ τῇ τῶν ἐθνῶν προσφορᾷ. Σαφέστερον δὲ διδάσκει περὶ τούτων ὁ εἰρημένος Ἀπόστολος, ἐν οἷς πρὸς Ῥωμαίους γράφων, τάδε λέγει· νυνὶ δὲ πορεύομαι εἰς Ἱερουσαλὴμ διακονῆσαι τοῖς ἁγίοις, εὐδόκησαν γάρ, καὶ ὀφειλέται αὐτῶν εἰσι*[31]*. Καὶ αὐτὸς δὲ δεσμοῖς καὶ φυλακαῖς πολλάκις καὶ τῷ σκυλμῷ τῆς ὁδοιπορίας ὑποβλη-*

γούμενη περιουσία [τους], ἃς ἀγωνιστοῦν τὸν καλὸ ἀγῶνα μαζὶ μὲ τὸν Παῦλο, μὲ πεῖνα καὶ δίψα, μὲ ψῦχος καὶ γυμνότητα. Καὶ βέβαια, ἐὰν ὁ ἴδιος ὁ Ἀπόστολος ἀναγνώριζε [ὅτι εἶναι] τὸ νὰ ἔχῃς τὸν προηγούμενο πλοῦτο περισσότερο ἀναγκαῖο γιὰ τὸν σκοπὸ τῆς τελειώσεως, δὲν θὰ περιφρονοῦσε βέβαια τὴν ἀξία του. Διότι λέγει ὅτι ἔχει γίνει ὁ ἴδιος διακεκριμένος καὶ πολίτης τῶν Ρωμαίων. Καὶ οἱ [Χριστιανοί] στὰ Ἱεροσόλυμα, οἱ ὁποῖοι πωλοῦσαν τὰ σπίτια καὶ τοὺς ἀγρούς τους καὶ τὰ χρήματα ἀπὸ αὐτά, [τά] ἐναπέθεταν στὰ πόδια τῶν Ἀποστόλων, δὲν θά [τό] ἔκαναν βέβαια αὐτό, ἐὰν γνώριζαν ὅτι τὸ ἔχουν ἐγκρίνει οἱ Ἀπόστολοι καί [ὅτι εἶναι] πιὸ εὐάρεστο στὸ Θεὸ τὸ νὰ διατρέφωνται μὲ τὰ δικά τους χρήματα καὶ ὄχι μὲ τὸν δικό τους κόπο καὶ τὴν προσφορὰ τῶν ἐξ ἐθνῶν Χριστιανῶν. Σχετικὰ δὲ μ᾽ αὐτὰ διδάσκει σαφέστερα ὁ ἐν λόγῳ Ἀπόστολος, [ὁ ὁποῖος] μεταξὺ ἐκείνων ποὺ γράφει πρὸς τοὺς Ρωμαίους, λέγει τὸ ἑξῆς: «Τώρα ἀκριβῶς πηγαίνω στὰ Ἱεροσόλυμα νὰ διακονήσω τοὺς ἁγίους, διότι ἀπεφάσισαν καὶ εἶναι ὀφειλέτες τους» [α']. Καὶ ὁ ἴδιος δὲ στὰ δεσμὰ καὶ πολλὲς φορὲς στὶς φυλακὲς καὶ ὅταν καθυποβλήθηκε στὸ βασα-

θείς, καὶ ἐμποδιζόμενος ἐκ τούτου, ὡς εἰώθει ταῖς ἰδίαις χερσὶ προσπορίζειν ἑαυτῷ, τὰς χρείας ταύτας εἰληφέναι διδάσκει παρὰ τῶν ἀδελφῶν τῶν ἀπὸ Μακεδονίας πρὸς αὐτὸν ἐλθόντων φάσκων· καὶ γὰρ τὸ ὑστέρημά μου ἀνεπλήρωσαν οἱ ἀδελφοί, ἐλθόντες ἀπὸ Μακεδονίας[32]. *Καὶ Φιλιππησίοις δὲ γράφων, οἴδατε δὲ καὶ ὑμεῖς Φιλιππήσιοι, ὅτι ἐξελθόντος μου ἀπὸ Μακεδονίας, οὐδὲ μία ἐκκλησία ἐκοινώνησεν εἰς λόγον δόσεως καὶ λήψεως, εἰ μὴ ὑμεῖς μόνοι. Ὅτι καὶ ἐν Θεσσαλονίκῃ καὶ ἅπαξ καὶ δὶς ἐπέμψατέ μοι τὰ πρὸς τὴν χρείαν*[33]. *Ἔστωσαν τοίνυν κατὰ τὴν γνώμην τῶν φιλαργύρων καὶ οὗτοι μακαριώτεροι τοῦ Ἀποστόλου, ἐπειδὴ ἐκ τῶν ἰδίων ὑποστάσεων ἐχορήγησαν αὐτῷ τὰς χρείας. Ἀλλ᾽ οὐκ ἄντις εἰς ἐσχάτην ἄνοιαν ἐλθών, εἰπεῖν τολμήσει τοῦτο. Εἰ τοίνυν βουλόμεθα τῷ εὐαγγελικῷ προστάγματι, καὶ πάσῃ ἐκείνῃ τῇ ἐξ ἀρχῆς ἐπὶ τῶν Ἀποστόλων θεμελιωθείσῃ Ἐκκλησίᾳ ἀκολουθῆσαι, μὴ ταῖς ἡμετέραις ὑπο-*

νισμὸ τῆς ὁδοιπορίας καὶ ἐμποδιζόμενος ἐξ αἰτίας αὐτοῦ, νὰ προσπορίζεται [τὰ ἀναγκαῖα] γιὰ τὸν ἑαυτό του μὲ τὰ ἴδια του τὰ χέρια, ὅπως συνήθιζε, διδάσκει ὅτι ἔχει λάβει τὰ ἀναγκαῖα αὐτὰ ἀπὸ τοὺς ἀδελφοὺς ἀπὸ τὴν Μακεδονία, οἱ ὁποῖοι ἦρθαν πρὸς αὐτόν, λέγοντας: «Καὶ νά! τὴν ἔνδειά μου κάλυψαν οἱ ἀδελφοί, ποὺ ἦρθαν ἀπὸ τὴν Μακεδονία». Ἀλλὰ καὶ στοὺς Φιλιππησίους γράφοντας [λέγει]: «Γνωρίζετε δὲ καὶ ἐσεῖς Φιλιππήσιοι, ὅτι ὅταν ἔφυγα ἀπὸ τὴν Μακεδονία, οὔτε μία ἐκκλησία δὲν ἔλαβε μέρος στὴν σχέσι παροχῆς καὶ λήψεως [μαζί μου], παρὰ μόνοι ἐσεῖς. Διότι καὶ στὴν Θεσσαλονίκη καὶ μία καὶ δύο φορὲς μοῦ στείλατε τὰ ἀναγκαῖα γιὰ τὴν συντήρησί μου». Ἂς εἶναι λοιπόν, σύμφωνα μὲ τὴν γνώμη τῶν φιλαργύρων, καὶ αὐτοί [οἱ Φιλιππήσιοι δηλαδὴ] μακαριώτεροι ἀπὸ τὸν Ἀπόστολο, ἐπειδὴ ἀπὸ τὶς δικές τους περιουσίες χορήγησαν σ᾽ αὐτὸν τὰ ἀναγκαῖα γιὰ τὴν συντήρησί του. Ἀλλὰ ἐὰν δὲν φθάσῃ κανεὶς σὲ ἔσχατη μωρία, δὲν θὰ τολμήσῃ νὰ [τό] πῇ αὐτό. Ἐὰν λοιπὸν ἐπιθυμοῦμε νὰ ἀκολουθήσουμε τὸ πρόσταγμα τοῦ Εὐαγγελίου καὶ ὅλη ἐκείνη τὴν ἐξ ἀρχῆς ἀπὸ τοὺς χρόνους τῶν Ἀποστόλων θεμελιωθεῖσα Ἐκκλησία, ἂς μὴν δίδουμε πίστι στοὺς

νοίαις πειθώμεθα· μηδὲ τὰ καλῶς εἰρημένα, κακῶς ἐννοήσωμεν. Ἀλλ᾽ ἀποῤῥίψαντες τὴν χλιαρὰν καὶ ἄπιστον γνώμην, ἀναλάβωμεν τὴν ἀκρίβειαν τοῦ Εὐαγγελίου. Οὕτως γὰρ δυνησόμεθα καὶ τοῖς τῶν Πατέρων ἴχνεσιν ἀκολουθῆσαι, καὶ τῆς ἐπιστήμης τοῦ Κοινοβίου μηδέποτε ἀποστῆναι, καὶ ἐν ἀληθείᾳ ἀποτάξασθαι τούτῳ τῷ κόσμῳ. Καλὸν τοίνυν καὶ ἐνταῦθα λόγον Ἁγίου ἐπιμνησθῆναι. Φέρεται τοίνυν τοῦ Ἁγίου Βασιλείου τοῦ Ἐπισκόπου Καισαρείας Καππαδοκίας, πρός τινα συγκλητικὸν χλιαρῶς ἀποταξάμενον, καὶ παρακατασχόντα τινὰ τῶν ἰδίων χρημάτων, ῥῆμα τοιοῦτον εἰπεῖν· καὶ τὸν συγκλητικὸν ἀπώλεσας, καὶ μοναχὸν οὐκ ἐποίησας. Χρὴ τοίνυν πάσῃ σπουδῇ ἐκκόπτειν τῆς ἡμετέρας ψυχῆς τὴν ῥίζαν πάντων τῶν κακῶν, ἥτις ἐστὶν ἡ φιλαργυρία· ἀσφαλῶς γινώσκοντας, ὅτι μενούσης τῆς ῥίζης, εὐχερῶς οἱ κλάδοι φύονται. Τὴν δὲ ἀρετὴν ταύτην κατορθῶσαι δύσκολον, μὴ ἐν κοινοβίῳ διάγοντας· ἐν αὐτῷ γὰρ καὶ πε-

δικούς μας ἐσωτερικοὺς λογισμούς, οὔτε ἐκεῖνα ποὺ εἰπώθηκαν καλῶς, κακῶς νὰ ἐννοήσουμε. Ἀλλά, ἀφοῦ ἀπορρίψουμε, τὴν χλιαρὴ καὶ γεμάτη ἀπιστία γνώμη [μας], ἂς σηκώσουμε τὴν ἀκρίβεια τοῦ Εὐαγγελίου. Διότι κατ᾽ αὐτὸν τὸν τρόπο θὰ μπορέσουμε καὶ νὰ ἀκολουθήσουμε τὰ ἴχνη τῶν Πατέρων καὶ οὐδέποτε νὰ ἐγκαταλείψουμε τήν [μοναχική] τάξι τοῦ Κοινοβίου καὶ εἰλικρινῶς νὰ ἀποταχθοῦμε τοῦ κόσμου χάριν αὐτοῦ [τοῦ κοινοβίου δηλαδὴ καὶ τῆς ἐν αὐτῷ μοναχικῆς τάξεως]. Καλόν [εἶναι] λοιπὸν καὶ ἐδῶ νὰ θυμηθοῦμε λόγο Ἁγίου. Ἀναφέρεται λοιπόν, ὅτι ὁ Ἅγιος Βασίλειος, ὁ Ἐπίσκοπος Καισαρείας τῆς Καππαδοκίας εἶπε αὐτὸν ἐδῶ τὸν λόγο πρὸς κάποιο συγκλητικό, ὁ ὁποῖος ἀπετάχθη [τοῦ κόσμου] μὲ τρόπο χλιαρὸ καὶ ὁ ὁποῖος παρακράτησε κάποια ἀπὸ τὰ δικά του χρήματα: «Καὶ τὸν συγκλητικὸ ἔχασες καὶ μοναχὸ δὲν ἔφτιαξες». Πρέπει λοιπὸν μὲ κάθε ἐπιμέλεια νὰ ἀποκόπτουμε ἀπὸ τὴν ψυχή μας τὴν ρίζα ὅλων τῶν κακῶν, ἡ ὁποία εἶναι ἡ φιλαργυρία, γνωρίζοντας μὲ ἀσφάλεια, ὅτι ἐὰν παραμένῃ ἡ ρίζα, μὲ εὐκολία θὰ βλαστάνουν τὰ κλαδιά. Αὐτὴ δὲ τὴν ἀρετή [τῆς ἀκτημοσύνης] [εἶναι] δύσκολο νὰ κατορθώσουμε ἐὰν δὲν διαβιοῦμε μέσα σὲ κοινόβιο. Διότι μέσα σ᾽ αὐτὸ ἐ-

ρὶ αὐτῶν τῶν ἀναγκαίων χρειῶν ἀμεριμνοῦμεν. Τὴν κατάκρισιν τοῦ Ἀνανίου καὶ τῆς Σαπφείρης πρὸ ὀφθαλμῶν ἔχοντες, φρίξωμεν καταλιμπάνειν ἑαυτοῖς τίποτε τῆς παλαιᾶς οὐσίας· ὁμοίως τοῦ Γιεζῆ φοβηθέντες τὸ παράδειγμα, τοῦ διὰ τὴν φιλαργυρίαν εἰς αἰωνίαν λέπραν παραδοθέντος, φυλαξώμεθα μὴ συναθροίζειν ἑαυτοῖς χρήματα, ἅπερ οὐδὲ ἐν τῷ κόσμῳ εἴχομεν. Ἔτι μήν, τοῦ Ἰούδα λογιζόμενοι τὴν δι᾽ ἀγχόνην τελευτήν, φοβηθῶμεν ἀναλαμβάνειν τίποτε, ὧν ἀποτασσόμενοι κατεφρονήσαμεν. Ἐπὶ πᾶσι δὲ τούτοις, πρὸ ὀφθαλμῶν ἔχοντες ἀεὶ τὸ τοῦ θανάτου ἄδηλον, μήποτε ἐν ὥρᾳ ᾗ οὐ προσδοκῶμεν ἔλθη ὁ Κύριος ἡμῶν[34]*, καὶ εὕρη ἐσπιλωμένον τῇ φιλαργυρίᾳ τὸ ἡμέτερον συνειδός, καὶ ἐρεῖ ἡμῖν ἅπερ ἐν τῷ Εὐαγγελίῳ ἐῤῥέθη τῷ πλουσίῳ ἐκείνῳ· ἄφρον, ταύτῃ τῇ νυκτὶ τὴν ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ σοῦ, ἃ δὲ ἡτοίμασας τίνι ἔσται;*[35]

χουμε ἀμεριμνησία καὶ γιὰ ἐκεῖνα τὰ ἀναγκαῖα πρὸς τὴν αὐτοσυντήρησί μας. Ἐὰν ἔχουμε πρὸ ὀφθαλμῶν τὴν καταδίκη τοῦ Ἀνανία καὶ τῆς Σαπφείρας, ἂς αἰσθανθοῦμε φρίκη νὰ ἀφήσουμε στοὺς ἑαυτούς μας κάτι ἀπὸ τὴν προηγούμενη περιουσία [μας]. Ὁμοίως ἀφοῦ φοβηθοῦμε τὸ παράδειγμα τοῦ Γιεζῆ, ὁ ὁποῖος παραδόθηκε στὴν αἰώνια λέπρα ἕνεκα τῆς φιλαργυρίας, ἂς φυλαχθοῦμε νὰ μὴν συγκεντρώνουμε γιὰ τοὺς ἑαυτούς μας χρήματα, τὰ ὁποῖα βεβαίως δὲν εἴχαμε στὸν κόσμο. Ἐπιπλέον βέβαια, ἐὰν σκεφθοῦμε τὸν θάνατο τοῦ Ἰούδα στὴν ἀγχόνη, ἂς φοβηθοῦμε νὰ ἀποδεχθοῦμε κάτι, ἀπ᾽ ὅσα περιφρονήσαμε, ὅταν ἐγκαταλείψαμε [τὸν κόσμο]. Πάνω δὲ ἀπ᾽ ὅλα αὐτὰ νὰ ἔχουμε πρὸ ὀφθαλμῶν πάντοτε τὸ ἄγνωστο τοῦ θανάτου, μήπως σὲ ὥρα τὴν ὁποία δὲν περιμένουμε ἔλθῃ ὁ Κύριός μας καὶ βρῇ κηλιδωμένη μὲ φιλαργυρία τὴν συνείδησί μας καί [τότε] θὰ μᾶς πῇ ἐκεῖνα ἀκριβῶς, ποὺ εἰπώθηκαν στὸ Εὐαγγέλιο σ᾽ ἐκεῖνον τὸν πλούσιο: « Ἀνόητε, αὐτὴν τὴν νύκτα τὴν ψυχή σου ἀπαιτοῦν ἀπὸ σένα! Ἐκεῖνα δὲ τὰ ὁποῖα ἑτοίμασες γιὰ ποιὸν εἶναι;»

ΠΕΡΙ ΟΡΓΗΣ

Τέταρτος ἡμῖν ἐστιν ἀγὼν κατὰ τοῦ πνεύματος τῆς ὀργῆς· καὶ χρεία, ὅπως, σὺν Θεῷ τὸν τούτου θανατηφόρον ἰόν, ἐκ βάθους τῆς ἡμετέρας ψυχῆς ἐκκόψωμεν. Τούτου γὰρ ἐν τῇ ἡμετέρᾳ καρδίᾳ ὑποκαθημένου, καὶ τῶν ὀφθαλμῶν τῆς καρδίας ταῖς σκοτειναῖς ταραχαῖς ἐκτυφλοῦντος, οὔτε διάκρισιν τῶν συμφερόντων κτήσασθαι δυνάμεθα, οὔτε πνευματικῆς γνώσεως εὑρεῖν κατάληψιν, οὔτε βουλεύματος ἀγαθοῦ κατασχεῖν τελειότητα, οὔτε τῆς ὄντως ζωῆς γενέσθαι μέτοχοι, οὔτε τῆς θεωρίας τοῦ θείου καὶ ἀληθινοῦ φωτὸς δεκτικὸς ὁ ἡμέτερος νοῦς γενήσεται· ἐταράχθη γὰρ φησὶν ἀπὸ θυμοῦ ὁ ὀφθαλμός μου[36]· οὔτε δὲ θείας σοφίας μέτοχοι γενησόμεθα, εἰ καὶ μάλιστα σοφοὶ ταῖς ὑπονοίαις παρὰ πάντων νομιζόμεθα· ἐπειδὴ γέγραπται, θυμὸς ἐν κόλπῳ ἀφρόνων αὐλίζεται[37]· ἀλλ' οὐδὲ τὰς σωτηριώδεις τῆς διακρίσεως βουλὰς κτήσασθαι δυνάμεθα, εἰ

Τέταρτος εἶναι σ' ἐμᾶς ὁ ἀγώνας κατὰ τοῦ πνεύματος τῆς ὀργῆς καί [εἶναι] ἀνάγκη, ὅπως, μέ [τὴν βοήθεια] τοῦ Θεοῦ, ἐξαλείψουμε ἀπὸ τὸ βάθος τῆς ψυχῆς μας τὸ θανατηφόρο δηλητήριό του. Διότι ὅταν ἐγκατοικῇ αὐτὸς μέσα στὴν καρδία μας καὶ ἐκτυφλώνῃ μὲ τὶς σκοτεινὲς ταραχὲς τοὺς ὀφθαλμοὺς τῆς καρδίας [μας], οὔτε διάκρισι στὸ τί μᾶς συμφέρει μποροῦμε νὰ ἀποκτήσουμε, οὔτε νὰ ἐπιτύχουμε [μποροῦμε] τὴν κατάκτησι τῆς πνευματικῆς γνώσεως, οὔτε νὰ πραγματοποιήσουμε τὴν ὁλοκλήρωσι κάποιας ἀγαθῆς ἀποφάσεως, οὔτε νὰ γίνουμε μέτοχοι τῆς ὄντως ζωῆς, οὔτε ὁ δικός μας νοῦς θὰ γίνῃ ἱκανὸς νὰ δεχθῇ τὴν θέα τοῦ θείου καὶ ἀληθινοῦ φωτός. Διότι λέγει: «ἐταράχθη ἀπὸ τὸν θυμὸ ὁ ὀφθαλμός μου». Οὔτε καὶ μέτοχοι τῆς θεϊκῆς σοφίας θὰ γίνουμε, ἀκόμα κι ἂν θεωρούμεθα ἀπὸ ὅλους πάρα πολὺ σοφοί, ὡς πρὸς τὴν κρίσι [μας], ἐπειδὴ ἔχει γραφῆ: «Ὁ θυμὸς διαμένει στὴν ἀγκαλιὰ τῶν ἀφρόνων». Ἀλλὰ οὔτε μποροῦμε νὰ ἀποκτήσουμε τὶς σωτήριες σκέψεις τῆς διακρίσεως, ἀκόμα κι ἂν

καὶ φρόνιμοι παρὰ τοῖς ἀνθρώποις νομιζόμεθα· γέγραπται γάρ, ὀργὴ καὶ φρονίμους ἀπόλλυσιν[38]*· οὔτε τὰς τῆς δικαιοσύνης κυβερνήσεις νηφαλέᾳ καρδίᾳ ἐπέχειν ἰσχύσομεν· γέγραπται γάρ, ὅτι ὀργὴ ἀνδρός, δικαιοσύνην Θεοῦ οὐ κατεργάζεται*[39]*· οὔτε δὲ τὴν παρὰ πάντων ἐπαινουμένην κοσμιότητα καὶ εὐσχημοσύνην δυνάμεθα κτήσασθαι· γέγραπται γάρ, ἀνὴρ θυμώδης οὐκ εὐσχήμων*[40]*. Ὁ τοίνυν βουλόμενος πρὸς τελείωσιν ἐλθεῖν, καὶ ἐπιθυμῶν τὸν πνευματικὸν ἀγῶνα νομίμως ἀγωνίσασθαι, ἀπὸ παντὸς ἐλαττώματος ὀργῆς τε καὶ θυμοῦ ἀλλότριος ἔστω· καὶ ἀκουέτω τί αὐτῷ τὸ σκεῦος τῆς ἐκλογῆς παραγγέλλει· πᾶσα φησὶ πικρία καὶ ὀργή, καὶ θυμός, καὶ κραυγή, καὶ βλασφημία, ἀρθήτω ἀφ᾽ ὑμῶν σὺν πάσῃ κακίᾳ*[41]*. Ὅταν δὲ εἴπῃ, πᾶσα, οὐδεμίαν πρόφασιν θυμοῦ ἢ ὡς ἀναγκαίαν, ἢ εὔλογον ἡμῖν καταλέλοιπεν. Ὁ τοίνυν βουλόμενος πλημμελοῦντα τὸν ἀδελφὸν διορθώσασθαι, ἢ ἐπιτίμια αὐτῷ παρέχειν, σπουδαζέτω ἑαυτὸν ἀτάραχον*

θεωρούμεθα ἀπὸ τοὺς ἀνθρώπους φρόνιμοι. Διότι ἔχει γραφῆ: «Ἡ ὀργὴ καταστρέφει καὶ τοὺς φρονίμους». Οὔτε θὰ κατορθώσουμε νὰ φυλάξουμε μὲ νηφάλια καρδία τὶς ἐπιταγὲς τῆς δικαιοσύνης [τοῦ Θεοῦ]. Διότι ἔχει γραφῆ, ὅτι ἡ ὀργὴ τοῦ ἀνθρώπου δὲν κατεργάζεται τὴν δικαιοσύνη τοῦ Θεοῦ. Οὔτε βέβαια τὴν κοσμιότητα ποὺ ἐπαινεῖται ἀπὸ ὅλους καὶ τὴν εὐσχημοσύνη μποροῦμε νὰ ἀποκτήσουμε. Διότι ἔχει γραφῆ: «Ἄνθρωπος θυμώδης δέν [εἶναι] εὐσχήμων». Ἐκεῖνος λοιπόν, ποὺ θέλει νὰ φθάσῃ στὴν τελείωσι καὶ ἐπιθυμεῖ νὰ ἀγωνισθῇ νομίμως τὸν πνευματικὸ ἀγῶνα, ἂς γίνῃ ξένος ἀπὸ κάθε ἐλάττωμα ὀργῆς μαζὶ καὶ θυμοῦ καὶ ἂς ἀκούῃ τί παραγγέλει σ᾽ αὐτὸν τὸ σκεῦος τῆς ἐκλογῆς. Λέγει [ὁ Ἀπόστολος Παῦλος]: «Κάθε πικρία καὶ ὀργὴ καὶ θυμὸς καὶ κραυγὴ καὶ βλασφημία, ἂς ἀπομακρυνθῇ ἀπὸ ἐσᾶς μαζὶ μὲ κάθε κακία». Ὅταν δὲ εἶπε: «κάθε», δὲν μᾶς ἔχει ἀφήσει καμία πρόφασι γιὰ θυμό, οὔτε ἐπειδὴ [ἴσως] [εἶναι] ἀναγκαία ἢ εὔλογος. Ἐκεῖνος λοιπόν, ποὺ ἐπιθυμεῖ νὰ διορθώσῃ τὸν ἀδελφό, ὅταν σφάλῃ ἢ νὰ δώσῃ σ᾽ αὐτὸν ἐπιτίμια, ἂς φροντίζῃ μὲ ζῆλο νὰ φυλάττῃ τὸν

φυλάττειν· μήποτε ἄλλον θεραπεῦσαι βουλόμενος, ἑαυτῷ τὴν νόσον ἐπισπάσηται· καὶ ῥηθήσεται αὐτῷ τὸ εὐαγγελικὸν ἐκεῖνο ῥητόν, ἰατρὲ θεράπευσον σεαυτόν[42]*· καὶ πάλιν· τί βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου, τὴν δὲ ἐν τῷ σῷ ὀφθαλμῷ δοκὸν οὐ κατανοεῖς*[43]*; Ἐξ οἵας γὰρ δήποτε αἰτίας ἡ τῆς ὀργῆς κίνησις ὑπερζέσασα τυφλοῖ τοὺς ὀφθαλμοὺς τῆς ψυχῆς, οὐκ ἐᾷ αὐτὴν θεάσασθαι τὸν ἥλιον τῆς δικαιοσύνης. Ὥς περ γὰρ ὁ ἐπιθεὶς τοῖς ὀφθαλμοῖς χρυσᾶ πέταλα ἢ μολύβδινα, ἐπίσης ἐκώλυσε τὴν ὁρατικὴν δύναμιν, καὶ οὐδαμῶς διαφορὰν τυφλότητος ἡ τοῦ χρυσοῦ πετάλου τιμιότης ἐποίησεν· οὕτως ἐξ οἵας δήποτε αἰτίας εὐλόγου δῆθεν, ἢ ἀλόγου τῆς ὀργῆς ἀναφθείσης, ἡ ὁρατικὴ δύναμις σκοτίζεται. Τότε κατὰ φύσιν μόνον τῷ θυμῷ κεχρήμεθα, ὅταν πρὸς τοὺς ἐμπαθεῖς καὶ φιληδόνους λογισμοὺς τοῦτον κινοῦμεν. Οὕτως ἡμᾶς ὁ Προφήτης διδάσκει, φάσκων· ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε*[44]*· τουτέστι,*

ἑαυτό του ἀτάραχο. Μήπως κάποτε, θέλοντας νὰ θεραπεύσῃ τὸν ἄλλον, ἑλκύσῃ τὴν ἀσθένεια πρὸς τὸν ἑαυτό του. Καὶ θὰ τοῦ εἰπωθῇ ἐκεῖνος ὁ εὐαγγελικὸς λόγος: «Ἰατρέ, θεράπευσε τὸν ἑαυτό σου». Κι᾽ ἀκόμη [θὰ τοῦ εἰπωθῇ]: «Γιατὶ βλέπεις τὸ ξερὸ ξυλάκι στὸ μάτι τοῦ ἀδελφοῦ σου, τὸ δὲ δοκάρι [ποὺ βρίσκεται] μέσα στὸ δικό σου μάτι δέν [τό] ἀντιλαμβάνεσαι;» Διότι ἡ κίνησι τῆς ὀργῆς, ἀπὸ ὁποιαδήποτε αἰτία κι᾽ ἂν ἐξαφθῇ, τυφλώνει τοὺς ὀφθαλμοὺς τῆς ψυχῆς [καί] δὲν ἐπιτρέπει σ᾽ αὐτὴν νὰ δῇ τὸν ἥλιο τῆς δικαιοσύνης. Γιατί, ὅπως ἀκριβῶς ἐκεῖνος, ποὺ τοποθέτησε πάνω στὰ μάτια πέταλα χρυσὰ ἢ μολύβδινα, ἐμπόδισε ἐξίσου τὴν δύναμι τῆς ὁράσεως καὶ καμία διαφορὰ ὡς πρὸς τὸ αἴσθημα τῆς τυφλότητας δὲν προξένησε ἡ ἀξία τοῦ χρυσοῦ πετάλου, κατὰ τὸν ἴδιο τρόπο ἀπὸ ὁποιαδήποτε αἰτία εὔλογη ἢ παράλογη κι ἂν ἄναψε ἡ ὀργή, ἡ δύναμις τῆς [πνευματικῆς] ὁράσεως σκοτίζεται. Τότε μόνο χρησιμοποιοῦμε τὸν θυμὸ κατὰ φύσιν, ὅταν τὸν ὑποκινοῦμε ἐναντίον τῶν ἐμπαθῶν καὶ φιληδόνων λογισμῶν. Ἔτσι μᾶς διδάσκει ὁ Προφήτης λέγοντας: «νὰ ὀργίζεσθε καὶ νὰ μὴν ἁμαρτάνετε», δηλαδὴ νὰ

κατὰ τῶν ἰδίων παθῶν ὀργὴν κινεῖτε, καὶ κατὰ τῶν πονηρῶν λογισμῶν· καὶ μὴ διὰ τὸ ἀποτελεῖν τὰ ὑποβαλλόμενα ὑπ᾽ αὐτῶν ἁμαρτάνετε. Καὶ ταύτην σαφῶς τὴν ἔννοιαν δηλοῖ τὸ ἐπαγόμενον· ἃ λέγετε γὰρ φησὶν ἐν ταῖς καρδίαις ὑμῶν, ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγητε[45]*. Τουτέστιν, ὅταν ἔλθωσιν ἐπὶ τὴν καρδίαν ὑμῶν οἱ πονηροὶ λογισμοί, ἐκβάλλοντες τούτους διὰ τῆς πρὸς αὐτοὺς ὀργῆς, μετὰ τὴν τούτων ἐκβολήν, ὡσανεὶ ἐν κοίτῃ τῆς ἡσυχίας τῆς ψυχῆς εὑρισκόμενοι, τὸ τηνικαῦτα κατανύσσεσθε πρὸς μετάνοιαν. Συμφωνεῖ δὲ τούτῳ καὶ ὁ μακάριος Παῦλος, χρησάμενος τῇ μαρτυρίᾳ τούτου, καὶ προσθείς, ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν· μηδὲ δίδοτε τόπον τῷ διαβόλῳ*[46]*. Τουτέστι, μὴ παρασκευάσητε τὸν ἥλιον τῆς δικαιοσύνης Χριστόν, διὰ τοῦ παροργίζειν αὐτὸν ἐν τῇ συγκαταθέσει τῶν φαύλων λογισμῶν ἐπιδῦναι ταῖς καρδίαις ὑμῶν· ἵνα μὴ ἐν τῇ ἀναχωρήσει αὐτοῦ, εὕρῃ ἐν ὑμῖν τόπον ὁ διάβολος. Περὶ*

ὑποκινῆτε τὴν ὀργὴ ἐναντίον τῶν παθῶν σας καὶ ἐναντίον τῶν πονηρῶν λογισμῶν καὶ νὰ μὴν ἁμαρτάνετε ἐξ αἰτίας τοῦ ὅτι ἐκπληρώνετε, ὅσα [σᾶς] ὑποβάλλονται ἀπ᾽ αὐτούς. Καὶ αὐτὴ σαφῶς τὴν ἔννοια δηλώνει τό [ἐπίσης] ἀναφερόμενο [ἀπὸ τὸν Προφήτη]. Λέγει: «Ἐκεῖνα λοιπόν, τὰ ὁποῖα φρονεῖτε μέσα στὴν καρδία σας [ὅλην τὴν ἡμέρα], νά [τά] κάνετε αἰτία κατανύξεως [τὸ βράδυ] πάνω στὶς κλίνες σας». Δηλαδή, ὅταν ἔλθουν στὴν καρδία σας οἱ πονηροὶ λογισμοί, ἀφοῦ τοὺς ἐκδιώξετε διὰ τῆς ὀργῆς ἐναντίον τους, μετὰ τὴν ἀποβολή τους, ὡσὰν νὰ βρίσκεσθε στὴν κλίνη τῆς ἡσυχίας τῆς ψυχῆς, ἀκριβῶς τότε νὰ κατανύσσεσθε πρὸς μετάνοια. Συμφωνεῖ δὲ μ᾽ αὐτὸ καὶ ὁ μακάριος Παῦλος, ὁ ὁποῖος χρησιμοποίησε τὴν παράδοσι ἐκείνου [τοῦ Προφήτου δηλαδὴ Δαυῒδ] καὶ προσέθεσε: «Ὁ ἥλιος νὰ μὴν δύσῃ, ἐνῶ [βρίσκεσθε] μέσα στὴν ἔξαψι τῆς ὀργῆς σας· οὔτε νὰ δίνετε τόπο [εὐκαιρία] στὸν διάβολο». Δηλαδὴ μὴν γίνετε αἰτία νὰ δύσῃ μέσα στὶς καρδίες σας ὁ ἥλιος τῆς δικαιοσύνης, ὁ Χριστός, ἐξ αἰτίας τοῦ ὅτι Τὸν παροργίζετε μὲ τὴν συγκατάθεσί [σας] στοὺς πονηροὺς λογισμούς, γιὰ νὰ μὴν βρῇ τόπο ἐντός σας, μὲ τὴν ἀναχώρησι Ἐκείνου, ὁ διάβολος. Σχετικὰ

τούτου τοῦ ἡλίου καὶ ὁ Θεὸς διὰ τοῦ Προφήτου λέγει· τοῖς δὲ φοβουμένοις τὸ ὄνομά μου, ἀνατελεῖ ἥλιος δικαιοσύνης· καὶ ἴασις ἐν ταῖς πτέρυξιν αὐτοῦ ἔσται[47]. *Εἰ δὲ κατὰ τὸ γράμμα ἐκλάβωμεν τὸ ῥητόν, οὐδὲ μέχρι δύσεως ἡλίου συγκεχώρηται ἡμῖν φυλάττειν τὴν ὀργήν. Τί οὖν περὶ τούτων ἐροῦμεν; Οἵτινες ἀγριότητι καὶ μανίᾳ τῆς ἐμπαθοῦς διαθέσεως, οὐ μόνον ἄχρι δύσεως τούτου τοῦ ἡλίου διατηροῦσι τὴν ὀργήν, ἀλλὰ καὶ ἐπὶ πλείστας ἡμέρας ἐπεκτείνοντες αὐτήν, παρασιωπῶσι δὲ ἀπ᾽ ἀλλήλων, οὐκ ἔτι μὲν διὰ τῶν ῥημάτων ἐκφέροντες αὐτήν· τῇ δὲ πρὸς ἀλλήλους σιωπῇ, τὸν τῆς μνησικακίας ἰὸν εἰς ὄλεθρον ἑαυτῶν αὐξάνοντες· ἀγνοοῦντες, ὅτι δεῖ μὴ μόνον ἀπὸ τῆς κατ᾽ ἐνέργειαν ὀργῆς ἀπέχεσθαι, ἀλλὰ καὶ ἀπὸ τῆς κατὰ διάνοιαν· ἵνα μὴ τῷ σκότει τῆς μνησικακίας ὁ νοῦς ἀμαυρωθείς, ἐκπέσῃ τοῦ φωτὸς τῆς γνώσεως καὶ τῆς διακρίσεως· καὶ στερηθῇ τῆς τοῦ Ἁγίου Πνεύματος ἐνοικήσεως. Διὰ γὰρ τοῦτο καὶ ὁ Κύριος ἐν Εὐαγ-*

μὲ Αὐτὸν τὸν ἥλιο καὶ ὁ Θεὸς μέσῳ τοῦ Προφήτου, λέγει: «Σ᾽ ἐκείνους βέβαια, ποὺ φοβοῦνται τὸ Ὄνομά μου θὰ ἀνατείλῃ ὁ ἥλιος τῆς δικαιοσύνης καὶ στὶς πτέρυγες Αὐτοῦ θὰ βρίσκεται ἡ θεραπεία». Ἐὰν δὲ ἐκλάβουμε τὸν λόγο κατὰ γράμμα, οὔτε μέχρι τῆς δύσεως τοῦ ἡλίου δὲν μᾶς ἔχει ἐπιτραπῇ νὰ κρατᾶμε τὴν ὀργή. Τί λοιπὸν θὰ ποῦμε σχετικὰ μὲ αὐτά; Ἐκεῖνοι, οἱ ὁποῖοι μὲ ἀγριότητα καὶ μανία ἐκ τῆς ἐμπαθοῦς [τους] διαθέσεως, ὄχι μόνο μέχρι τὴν δύσι αὐτοῦ τοῦ ἡλίου κρατᾶνε τὸν θυμό, ἀλλὰ καὶ κατὰ τὴν διάρκεια πολλῶν ἡμερῶν παρατείνοντάς τον, κρατώντας σιωπὴ ἀπὸ τοὺς ἄλλους, δίχως πλέον νὰ τὸν ἐκφράζουν μὲν μὲ λόγια, αὐξάνουν ὅμως μέσῳ τῆς σιωπῆς πρὸς τοὺς ἄλλους τὸ δηλητήριο τῆς μνησικακίας, μὲ ἀποτέλεσμα τὴν δική τους καταστροφή, καθὼς ἀγνοοῦν, ὅτι δὲν πρέπει μόνο νὰ ἀπέχουμε ἀπὸ τὴν ὀργὴ [ποὺ ἐκφράζεται] μὲ πρᾶξι ἀλλὰ καὶ ἀπὸ [τὴν ὀργή], [ποὺ ἐνεργεῖται] στὴν διάνοια, ὥστε νὰ μὴν ἐκπέσῃ ὁ νοῦς ἀπὸ τὸ φῶς τῆς γνώσεως καὶ τῆς διακρίσεως καὶ στερηθῇ τὴν ἐγκατοίκησι τοῦ Ἁγίου Πνεύματος, ἐπειδὴ ἀμαυρώθηκε ἀπὸ τὸ σκοτάδι τῆς μνησικακίας. Διότι ἕνεκα αὐτοῦ καὶ ὁ Κύριος προστάζει στὰ Εὐ-

γελίοις κελεύει ἀφεῖναι τὸ δῶρον ἐπὶ τὸ θυσιαστήριον, καὶ διαλλάττεσθαι τῷ ἀδελφῷ[48]*· ἐπεί, μὴ δυνατὸν τοῦτο εὐπρόσδεκτον γενέσθαι, θυμοῦ καὶ μνησικακίας ἐναποκειμένων ἡμῖν. Καὶ ὁ Ἀπόστολος δὲ λέγων, ἀδιαλείπτως προσεύχεσθαι*[49]*, καὶ ἐν παντὶ τόπῳ ἐπαίρειν ὁσίους χεῖρας χωρὶς ὀργῆς καὶ διαλογισμῶν*[50]*, τοῦτο ἡμᾶς ἐκδιδάσκει. Περιλείπεται τοίνυν, ἢ μηδέποτε προσεύχεσθαι, καὶ κατὰ τοῦτο ὑπευθύνους εἶναι τῷ ἀποστολικῷ παραγγέλματι, ἢ σπουδάζοντας φυλάττειν τὸ προστεταγμένον, χωρὶς ὀργῆς καὶ μνησικακίας τοῦτο ποιεῖν. Καὶ ἐπειδὴ πολλάκις λυπηθέντων τῶν ἀδελφῶν, ἢ ταραχθέντων, περιφρονοῦμεν λέγοντες, οὐκ ἐξ ἡμετέρας αἰτίας τούτους λυπεῖσθαι· ὁ τῶν ψυχῶν ἰατρός, τὰς προφάσεις τῆς ψυχῆς ῥιζόθεν ἀπὸ καρδίας ἀνασπᾶσαι βουλόμενος, οὐ μόνον εἰ τύχοιμεν ἡμεῖς λελυπημένοι κατὰ τοῦ ἀδελφοῦ, προστάσσει ἀφεῖναι τὸ δῶρον καὶ διαλλάττεσθαι, ἀλλὰ εἰ καὶ αὐτὸς λελύπηται καθ' ἡμῶν, δικαίως ἢ ἀδίκως,*

αγγέλια, νὰ ἀφήνουμε τὸ δῶρο πάνω στὸ θυσιαστήριο καὶ νὰ συμφιλιωνώμεθα μὲ τὸν ἀδελφό, ἐπειδὴ δέν [εἶναι] δυνατὸν νὰ γίνῃ αὐτό [τὸ δῶρο] εὐπρόσδεκτο [ἀπὸ τὸν Θεό], ὅταν βρίσκεται κρυμμένος μέσα μας θυμὸς καὶ μνησικακία. Ἀλλὰ καὶ ὁ Ἀπόστολος, ὅταν λέγῃ: «νὰ προσεύχεσθε ἀδιάλειπτα καὶ σὲ κάθε τόπο νὰ σηκώνετε [χάριν προσευχῆς] ὅσια χέρια χωρὶς ὀργὴ καὶ λογισμούς», αὐτὸ ἀκριβῶς μᾶς διδάσκει. Ἀπομένει λοιπόν, ἢ νὰ μὴν προσευχώμεθα ποτὲ καὶ ἑπομένως νὰ εἴμαστε ὑπόλογοι στὴν ἀποστολικὴ ἐντολὴ ἢ ἐπειδὴ ἐνδιαφερόμεθα νὰ φυλάξουμε [τὴν ἐντολή] ποὺ ὁρίστηκε, νὰ τὴν ἐκτελοῦμε χωρὶς ὀργὴ καὶ μνησικακία. Καὶ ἐπειδὴ πολλὲς φορές, ἐὰν λυπηθοῦν ἢ ταραχθοῦν οἱ ἀδελφοὶ περιφρονοῦμε [τὴν λύπη τους] λέγοντας, ὅτι δὲν λυπήθηκαν ἐκεῖνοι ἀπὸ δική μας αἰτία, ὁ Ἰατρὸς τῶν ψυχῶν, θέλοντας νὰ τραβήξῃ ἔξω ἀπὸ τὴν ρίζα τὶς προφάσεις τῆς ψυχῆς, ὄχι μόνον ἐὰν τύχῃ νὰ ἔχουμε ἐμεῖς δυσαρεστηθῆ ἐναντίον τοῦ ἀδελφοῦ, προστάζει νὰ ἀφήνουμε τὸ δῶρο καὶ νὰ συμφιλιωνώμεθα, ἀλλὰ καὶ ἐὰν αὐτὸς ἔχῃ δυσαρεστηθῆ ἐναντίον μας δικαίως ἢ ἀδίκως,

τοῦτον διὰ τῆς ἀπολογίας θεραπεύειν, καὶ τότε προσφέρειν τὸ δῶρον. Ἀλλὰ τί ἐπὶ πολὺ τοῖς εὐαγγελικοῖς παραγγέλμασιν ἐνδιατρίβωμεν, ἐξὸν καὶ ἀπὸ τοῦ παλαιοῦ νόμου τοῦτο μαθεῖν· ὃς καὶ συγκατάβασιν τῆς ἀκριβείας ἔχειν δοκῶν, τάδε φησίν· μὴ μίσει σου τὸν ἀδελφὸν ἐν τῇ καρδίᾳ σου[51]*· καὶ πάλιν, ὁδοὶ μνησικάκων εἰς θάνατον*[52]*. Καὶ ἐνταῦθα οὐ μόνον τὴν κατ᾽ ἐνέργειαν κωλύει, ἀλλὰ καὶ τὴν κατὰ διάνοιαν κολάζει. Διὸ προσήκει τοῖς θείοις νόμοις ἀκολουθοῦντας, πάσῃ δυνάμει ἀγωνίζεσθαι κατὰ τοῦ πνεύματος τῆς ὀργῆς, καὶ κατὰ τῆς ἔνδον ἐν ἡμῖν ἀποκειμένης νόσου· καὶ μὴ κατὰ τῶν ἀνθρώπων τὸν θυμὸν κινοῦντας, ἐρημίαν καὶ μόνωσιν μεταδιώκειν, ὡς ἐκεῖ δῆθεν μὴ ὄντος τοῦ κινοῦντος ἡμᾶς πρὸς ὀργήν· καὶ ὡς εὐκόλως ἐν τῇ μονώσει ἡ ἀρετὴ τῆς μακροθυμίας κατορθωθήσεται. Ἀπὸ γὰρ ὑπερηφανίας, καὶ τοῦ μὴ θέλειν ἑαυτοὺς μέμφεσθαι, καὶ ἐπιγράφειν τῇ ἰδίᾳ ῥαθυμίᾳ τὰς αἰτίας τῆς ταραχῆς, τὴν ἀπὸ τῶν ἀδελφῶν ἀναχώρη-*

αὐτόν [τὸν ἀδελφό]· νά [τόν] θεραπεύουμε μὲ τὴν συμφιλίωσι καὶ τότε νὰ προσφέρουμε τὸ δῶρο. Ἀλλὰ γιατὶ νὰ μακρηγοροῦμε πολλὴ ὥρα μὲ τὶς εὐαγγελικὲς ἐντολές, ἐνῶ εἶναι δυνατὸν νὰ μάθουμε αὐτὸ καὶ ἀπὸ τὸν παλαιὸ νόμο, ὁ ὁποῖος ἂν καὶ θεωρεῖται ὅτι κατέχει τὴν ὑποχώρησι στὴν ἀκρίβεια, λέγει τὰ ἑξῆς: «Μὴ μισήσῃς τὸν ἀδελφό σου μέσα στὴν καρδία σου». Καὶ πάλι [λέγει]: «Τῶν μνησικάκων οἱ ὁδοί [ὁδηγοῦν] στὸν θάνατο». Καὶ ἐδῶ, δὲν ἐμποδίζει μόνον τὴν ἔμπρακτη ἁμαρτία, ἀλλὰ τιμωρεῖ καὶ τήν [ἁμαρτία, ποὺ ἐνεργήθηκε] μὲ τὴν διάνοια. Γι᾽ αὐτὸ πρέπει, ἀκολουθώντας τοὺς θείους νόμους, νὰ ἀγωνιζώμεθα μὲ ὅλη μας τὴν δύναμι ἐναντίον τοῦ πνεύματος τῆς ὀργῆς καὶ ἐναντίον τῆς ἀσθενείας, ποὺ βρίσκεται μέσα μας καὶ νὰ μὴν ἐπιζητοῦμε τὴν ἐρημία καὶ τὴν μόνωσι ἐξ αἰτίας ἐκείνων ἀπὸ τοὺς ἀνθρώπους, οἱ ὁποῖοι διεγείρουν τὸν θυμό, ἐπειδὴ δῆθεν δὲν βρίσκεται ἐκεῖ [στὴν ἐρημία] ἐκεῖνος, ποὺ μᾶς ἐξωθεῖ στὴν ὀργὴ καὶ διότι θὰ κατορθωθῇ εὔκολα στὴν μόνωσι ἡ ἀρετὴ τῆς μακροθυμίας. Διότι ἐπιθυμοῦμε τὴν ἀναχώρησι ἀπὸ τοὺς ἀδελφούς, λόγῳ τῆς ὑπερηφανίας [μας] καὶ τοῦ ὅτι δὲν θέλουμε νὰ κατηγοροῦμε τοὺς ἑαυτούς μας καὶ νὰ καταλογίζουμε στὴν δική μας ραθυμία τὶς αἰ-

σιν ἐπιθυμοῦμεν. Ἕως ὅτε τοίνυν τῆς ἡμετέρας ἀσθενείας τὰς αἰτίας ἄλλοις ἐπιγράφωμεν, ἀδύνατον ἡμᾶς πρὸς τελείωσιν τῆς μακροθυμίας φθάσαι. Τὸ κεφάλαιον τοίνυν τῆς ἡμετέρας διορθώσεως καὶ εἰρήνης, οὐκ ἐκ τῆς πλησίον μακροθυμίας τῆς πρὸς ἡμᾶς γινομένης κατορθοῦται· ἀλλ᾽ ἐκ τῆς ἡμετέρας πρὸς τὸν πλησίον ἀνεξικακίας. Ὅταν δὲ τὸν τῆς μακροθυμίας ἀγῶνα διαφεύγοντες, τὴν ἔρημον μεταδιώκωμεν καὶ τὴν μόνωσιν· ὅσα δ᾽ ἂν τῶν ἡμετέρων παθῶν ἀθεράπευτα ἐκεῖσε ἀπενέγκωμεν, ἐπικεκρυμμένα, οὐκ ἐξηλειμμένα τυγχάνουσι. Καὶ γὰρ ἡ ἐρημία καὶ ἡ ἀναχώρησις τοῖς μὴ πάθεσιν ἀπηλλαγμένοις, οὐ μόνον φυλάττειν ταῦτα ἐπίσταται, ἀλλὰ καὶ ἐπικαλύπτειν ταῦτα οἶδε· καὶ οὐδὲ ἐπαισθάνεσθαι ἑαυτοὺς λοιπὸν συγχωρεῖ ποίῳ πάθει ἡττῶνται· τὸ ἐναντίον δέ, φαντασίαν αὐτοῖς ἀρετῆς ὑποβάλλει, καὶ κατορθωκέναι αὐτοὺς πείθει τήν τε μακροθυμίαν, καὶ τὴν ταπείνωσιν, ἕως μή πάρεστιν ὁ τούτους ἐρεθίζων καὶ δοκιμάζων. Ὅ-

τίες τῆς ταραχῆς. Ἕως ὅτου λοιπὸν τὶς αἰτίες τῆς δικῆς μας ἀσθενείας καταλογίζουμε σὲ ἄλλους, [εἶναι] ἀδύνατον νὰ φθάσουμε ἐμεῖς στὴν τελείωσι τῆς μακροθυμίας. Ἡ οὐσία ἑπομένως τῆς ὑποθέσεως τῆς δικῆς μας διορθώσεως καὶ εἰρήνης, δὲν κατορθώνεται ἀπὸ τὴν μακροθυμία ἡ ὁποία γίνεται ἀπὸ τὸν πλησίον μας πρὸς ἐμᾶς, ἀλλὰ ἀπὸ τὴν δική μας πρὸς τὸν πλησίον ἀνεξικακία. Ὅταν λοιπὸν γιὰ νὰ ἀποφύγουμε τὸν ἀγῶνα τῆς μακροθυμίας, ἐπιδιώκουμε τὴν ἔρημο καὶ τὴν μόνωσι, ἐκεῖνα ἀπὸ τὰ πάθη μας, τὰ ὁποῖα θὰ φέρουμε ἐκεῖ ἔξω μαζί μας ἀθεράπευτα, συμβαίνει νὰ μένουν καλὰ κρυμμένα, χωρὶς ὅμως νὰ ἔχουν ἐξαλειφθῆ. Καὶ διότι ἡ ἐρημία καὶ ἡ ἀναχώρησι, σ᾽ ἐκείνους ποὺ δὲν εἶναι ἀπαλλαγμένοι ἀπὸ τὰ πάθη [τους], εἶναι ἱκανὴ ὄχι μόνο νὰ τὰ συντηρῇ, ἀλλὰ καὶ γνωρίζει νὰ τὰ καλύπτῃ. Καὶ συνεπῶς οὔτε ἐπιτρέπει νὰ ἀντιλαμβάνωνται οἱ ἴδιοι ἀπὸ ποιὸ πάθος νικῶνται. Ἀντιθέτως δέ, ὑποβάλλει σ᾽ αὐτοὺς φαντασία ἀρετῆς καὶ τοὺς πείθει, ὅτι ἔχουν κατορθώσει καὶ τὴν μακροθυμία καὶ τὴν ταπείνωσι, ἐν ὅσῳ δὲν εἶναι παρὼν ἐκεῖνος [ὁ ἀδελφός], ποὺ τοὺς ἐρεθίζει καὶ τοὺς δοκιμάζει. Ὅταν

ταν δὲ συμβῇ πρόφασίς τις, τούτους συγκινοῦσα καὶ γυμνάζουσα, εὐθέως τὰ ἐναποκείμενα πάθη, καὶ τὰ πρὶν λανθάνοντα, ὥς περ ἵπποι ἀχαλίνωτοι ἐκ τῶν ἰδίων ἀφετηρίων ἐκπηδήσαντες, καὶ τῇ μακρᾷ ἡσυχίᾳ καὶ σχολῇ τραφέντες, σφοδρότερον καὶ ἀγριώτερον πρὸς ὄλεθρον ἐπισύρουσι τὸν ἴδιον ἐπιβάτην. Πλέον γὰρ ἐν ἡμῖν ἀγριοῦνται τὰ πάθη, ἀργοῦντα τῆς ἐκ τῶν ἀνθρώπων γυμνασίας. Καὶ αὐτὴν τὴν σκιὰν τῆς ὑπομονῆς καὶ μακροθυμίας, ἣν εἰκονικῶς ἐδοκοῦμεν ἀναμεμειγμένοι τοῖς ἀδελφοῖς ἔχειν, τῇ ἀμελείᾳ τῆς γυμνασίας καὶ τῆς μονώσεως, ἀπόλλυμεν· ὥς περ γὰρ τὰ ἰοβόλα τῶν θηρίων, ἐν ἐρημίᾳ καὶ ταῖς ἰδίαις κοίταις ἡσυχάζοντα, τότε τὴν ἰδίαν μανίαν ἐπιδείκνυνται, ὅταν λάβωνταί τινος προσεγγίζοντος· οὕτως καὶ οἱ ἐμπαθεῖς ἄνθρωποι, οὐκ ἀρετῆς διαθέσει, ἀλλὰ τῇ τῆς ἐρημίας ἀνάγκῃ ἡσυχάζοντες, τότε τὸν ἰὸν ἐξεμῶσιν, ὅταν δράξωνται τοῦ προσεγγίζοντος καὶ ἐρεθίζοντος. Καὶ τούτου χάριν τοῖς τελείωσιν πραό-

ὅμως συμβῇ κάποια ἀφορμή, ἡ ὁποία τοὺς διεγείρει τὴν ψυχὴ καὶ τοὺς δοκιμάζει, ἀμέσως τὰ κρυμμένα πάθη καὶ ἐκεῖνα, τὰ ὁποῖα προηγουμένως δὲν εἶχαν γίνει ἀντιληπτά, ὅπως ἀκριβῶς τὰ ἀχαλίνωτα ἄλογα, ἀφοῦ πηδήσουν ἔξω ἀπὸ τὶς ἀφετηρίες τους καὶ καθὼς ἔχουν μεγαλώσει ἀπὸ τὴν πολλὴ ἡσυχία καὶ ἀπραξία, συμπαρασύρουν στὸν ἀφανισμὸ μὲ σφοδρότερο καὶ ἀγριώτερο τρόπο τὸν ἀναβάτη τους. Διότι ἐξαγριώνονται μέσα μας περισσότερο τὰ πάθη, ὅταν μένουν ἀκαλλιέργητα ἀπὸ τὴν ἐκγύμνασι [ποὺ τοὺς γίνεται] ἐκ μέρους τῶν ἀνθρώπων. Καὶ αὐτὴ τὴν σκιὰ τῆς ὑπομονῆς καὶ τῆς μακροθυμίας, τὴν ὁποία φαινομενικὰ νομίζαμε ὅτι εἴχαμε, ὅταν ἤμασταν ἀνάμεσα στοὺς ἀδελφούς, μὲ τὴν ἀμέλεια στὴν ἄσκησι καὶ τὴν μόνωσι, [τήν] ἀπωλέσαμε. Διότι, ὅπως ἀκριβῶς τὰ δηλητηριώδη ἀπὸ τὰ θηρία, τὰ ὁποῖα ἡσυχάζουν στὴν ἐρημία καὶ στὶς φωλιές τους, τότε ἐπιδεικνύουν τὴν λύσσα τους, ὅταν καταλάβουν, ὅτι κάποιος πλησιάζει· κατὰ τὸν ἴδιο τρόπο καὶ οἱ ἐμπαθεῖς ἄνθρωποι ποὺ ἡσυχάζουν, ὄχι χάριν τῆς προθέσεώς [τους] γιά [τὴν ἄσκησι] τῆς ἀρετῆς, ἀλλὰ ἐξ αἰτίας τῆς ἀναγκαστικῆς φυσικῆς ἐλλείψεως [ποὺ χαρακτηρίζει] τὴν ἐρημία, τότε ἐκστομίζουν τὸ δηλητήριο, ὅταν περιλάβουν ἐκεῖνον, ποὺ πλησιάζει καὶ [τούς] ἐρεθίζει. Καὶ χάριν αὐτοῦ, σ᾽ ἐκείνους ποὺ ἐπιζητοῦν τὸ

τητος ἐπιζητοῦσι, σπουδὴ πᾶσα εἶναι ὀφείλει, οὐ μόνον πρὸς ἀνθρώπους μὴ ὀργίζεσθαι, ἀλλὰ μηδὲ πρὸς τὰ ἄλογα, μηδὲ πρὸς τὰ ἄψυχα πράγματα. Μέμνημαι γὰρ ἐγώ, ἡνίκα ἐν ἐρήμῳ διέτριβον, κατὰ καλάμου τὸν θυμὸν κινήσας, τῆς παχύτητος τούτου, ἢ τῆς λεπτότητος ἀπερασάμην. Καὶ κατὰ ξύλου πάλιν, ὅταν ἐκκόψαι τοῦτο θελήσας, μὴ ταχέως ἠδυνήθην. Καὶ πάλιν, κατὰ λίθου πυρβόλου, ὅταν σπουδάζοντός μου ἐκβάλαι τὸ πῦρ, μὴ ταχέως τὸ πῦρ ἐξεπήδησεν. Οὕτω τῆς ὀργῆς ἐπιταθείσης, ὡς καὶ κατὰ τῶν ἀναισθήτων πραγμάτων ταύτην ἐκφέρειν. Εἰ τοίνυν ἐπιθυμοῦμεν ἐπιτυχεῖν τοῦ μακαρισμοῦ τοῦ Κυρίου, οὐ μόνον τὴν κατ᾽ ἐνέργειαν ὀργήν, καθὰ εἴρηται, ὀφείλομεν κωλῦσαι, ἀλλὰ καὶ τὴν κατὰ διάνοιαν. Οὔτε γὰρ τοσοῦτον ὠφελεῖ τοῦ κρατεῖν τοῦ στόματος ἐν καιρῷ θυμοῦ, καὶ μὴ ἐκφέρειν ρήματα μανιώδη, ὅσον τὸ καθαρίζειν τὴν καρδίαν ἀπὸ μνησικακίας, καὶ μὴ ἀναστρέφειν ἐν τῇ ἰδίᾳ διανοίᾳ πονηροὺς λογισμοὺς κατὰ τοῦ

τέλειον τῆς πραότητος, ὅλη ἡ φροντίδα [τους] ὀφείλει νὰ εἶναι ὄχι μόνο νὰ μὴν ὀργίζωνται ἐναντίον τῶν ἀνθρώπων, ἀλλὰ οὔτε ἐναντίον τῶν ἀλόγων ζώων, οὔτε ἐναντίον τῶν ἄψυχων πραγμάτων. Διότι ἐγὼ θυμᾶμαι, ὅταν διέμενα στὴν ἔρημο, θυμώνοντας ἐναντίον [κάποιου] καλαμιοῦ, δυσφόρησα μὲ τὴν παχύτητα ἢ τὴν λεπτότητα αὐτοῦ. Καὶ σὲ ἄλλη περίπτωσι ἐναντίον ξύλου, ὅταν θέλοντας νὰ τὸ κόψω, δὲν μπόρεσα [νὰ τὸ κόψω] γρήγορα. Καὶ πάλι, ἐναντίον πυρίτη λίθου, ὅταν, ἐνῶ ἐγὼ προσπαθοῦσα νὰ ἀνάψω [ἀπὸ τὸν λίθο] τὴ φωτιά, ἡ φωτιὰ δὲν βγῆκε ἔξω γρήγορα. Τόσο πολύ, ποὺ εἶχε αὐξηθῆ ἡ ὀργή, ὥστε νὰ τὴν ἐκφράζω καὶ ἐναντίον τῶν ἀναισθήτων πραγμάτων. Ἐὰν λοιπὸν ἐπιθυμοῦμε νὰ ἐπιτύχουμε τὸν μακαρισμὸ τοῦ Κυρίου, ὄχι μόνον τὴν διὰ πράξεως ὀργή, ὅπως ἔχει εἰπωθῆ, ὀφείλουμε νὰ ἐμποδίσουμε, ἀλλὰ καὶ τὴν ὀργή [ποὺ ἐνεργεῖται] στὴν διάνοια. Διότι οὔτε καὶ τόσο πολὺ ὠφελεῖ νὰ συγκρατῇ [κανείς] τὸ στόμα στὴ διάρκεια τοῦ θυμοῦ καὶ νὰ μὴν ἐκφράζῃ ἐμπαθεῖς λόγους, ὅσο [ὠφελεῖ] τὸ νὰ καθαρίζῃ τὴν καρδία [του] ἀπὸ τὴν μνησικακία καὶ νὰ μὴν γυρίζῃ συνεχῶς μέσα στὴ διάνοιά του πονηροὺς λογισμοὺς ἐναντίον τοῦ ἀ-

ἀδελφοῦ. Τὰς ῥίζας γὰρ τῶν ἁμαρτημάτων ἐκκόπτεσθαι παραγγέλλει ἡ Εὐαγγελικὴ Διδασκαλία, εἴπερ τοὺς καρπούς. Τῆς ῥίζης γὰρ τοῦ θυμοῦ ἐκκοπείσης ἀπὸ τῆς καρδίας, οὔτε μῖσος, οὔτε φθόνος εἰς ἔργον πραχθήσεται. Καὶ γὰρ ὁ μισῶν τὸν ἀδελφὸν αὐτοῦ, ἀνθρωποκτόνος εἴρηται[53]· φονεύων αὐτὸν τῇ διαθέσει τοῦ μίσους κατὰ διάνοιαν· οὗτινος τὸ αἷμα οὐ διὰ ξίφους ἐκχυθέν, ἄνθρωποι βλέπουσιν˙ ἀλλὰ τῇ διανοίᾳ καὶ τῇ διαθέσει τοῦ μίσους ἀναιρεθέν. Ὁ Θεὸς ἐφορᾷ, ὅς, οὐ μόνον ὑπὲρ πράξεων, ἀλλὰ καὶ ὑπὲρ λογισμῶν καὶ προαιρέσεων ἑνὶ ἑκάστῳ ἢ στεφάνους, ἢ τιμωρίας ἀποδίδωσι· καθὼς αὐτὸς διὰ τοῦ Προφήτου φησίν, ἰδοὺ ἐγὼ ἔρχομαι συναγαγεῖν τὰ ἔργα καὶ τὰς ἐνθυμήσεις αὐτῶν[54]. Καὶ πάλιν ὁ Ἀπόστολος λέγει· μεταξὺ ἀλλήλων τῶν λογισμῶν κατηγορούντων, ἢ καὶ ἀπολογουμένων, ἐν ἡμέρᾳ ᾗ κρινεῖ ὁ Θεὸς τὰ κρυπτὰ τῶν ἀνθρώπων[55]. Αὐτὸς δὲ ὁ Δεσπότης διδάσκων ἡμᾶς, ὅτι δεῖ πᾶσαν ὀργὴν ἀποτίθεσθαι, φησὶν ἐν Εὐ-

δελφοῦ. Διότι ἡ Εὐαγγελικὴ Διδασκαλία παραγγέλλει νὰ ἀποκόπτουμε τὶς ρίζες τῶν ἁμαρτημάτων περισσότερο ἀπὸ τοὺς καρπούς. Διότι ἐὰν ἡ ρίζα τοῦ θυμοῦ ἀποκοπῇ ἀπὸ τὴν καρδία, οὔτε τὸ μῖσος, οὔτε ὁ φθόνος θὰ πραγματοποιηθῇ μὲ ἔργο. Καὶ βέβαια ἐκεῖνος ποὺ μισεῖ τὸν ἀδελφό του, λέγεται ἀνθρωποκτόνος, φονεύοντάς τον μὲ τήν [ψυχική] διάθεσι τοῦ μίσους, [τὴν ὁποία ἔχει] στὴν διάνοιά [του]. Ἐκείνου τὸ αἷμα οἱ ἄνθρωποι βλέπουν, ὅτι δὲν χύθηκε μὲ ξίφος, ἀλλὰ ὅτι ἔγινε ἡ αἱματοχυσία μὲ τὴν διάνοια καὶ τήν [ψυχική] διάθεσι τοῦ μίσους. Ὁ Θεὸς ἐπιτηρεῖ καὶ αὐτὸς ἀποδίδει στὸν καθένα εἴτε στεφάνους, εἴτε τιμωρίες, ὄχι μόνο γιὰ πράξεις, ἀλλὰ καὶ ἕνεκα λογισμῶν καὶ προαιρέσεων, καθὼς ὁ Ἴδιος μέσῳ τοῦ Προφήτου λέγει: «Ἰδού, ἐγὼ ἔρχομαι νὰ συλλέξω τὰ ἔργα καὶ τοὺς λογισμούς τους». Καὶ πάλι ὁ Ἀπόστολος λέγει: «Μεταξὺ τῶν λογισμῶν, ποὺ κατηγοροῦν ἢ καὶ ἀπολογοῦνται ὁ ἕνας στὸν ἄλλο κατὰ τὴν ἡμέρα, κατὰ τὴν ὁποία ὁ Θεός θὰ κρίνῃ τὰ κρύφια τῶν ἀνθρώπων». Αὐτὸς δὲ ὁ ἴδιος ὁ Κύριος, διδάσκοντάς μας, ὅτι πρέπει νὰ ἀπορρίπτουμε κάθε ὀργή, λέγει στὰ Εὐαγ-

αγγελίοις· ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ, ἔνοχος ἔσται τῇ κρίσει[56]*. Οὕτω γὰρ τὰ ἀκριβῆ τῶν ἀντιγράφων περιέχει. Τὸ γάρ, εἰκῇ, ἐκ προσθήκης ἐτέθη. Εὔδηλον, ὅτι ἐκ τοῦ προκειμένου βουλήματος τῆς Γραφῆς. Ὁ γὰρ σκοπὸς τοῦ Κυρίου, τὴν ῥίζαν καὶ τὸν σπινθῆρα τῆς ὀργῆς ἀποκόπτειν πᾶσι τρόποις ἡμᾶς βούλεται, καὶ μηδὲ μίαν πρόφασιν ὀργῆς ἐν ἑαυτοῖς διαφυλάττειν· ἵνα μὴ εὐλόγως δῆθεν τὴν ἀρχὴν κινούμενοι, ὕστερον τῇ μανίᾳ τοῦ ἀλόγου θυμοῦ περιπέσωμεν. Τῆς δὲ νόσου ταύτης ἡ τελεία ἰατρεία, αὕτη ἐστίν· ἵνα πιστεύσωμεν, ὅτι οὔτε ἐπὶ δικαίοις, οὔτε ἐπὶ ἀδίκοις ἔξεστιν ἡμῖν κινεῖν τὸν θυμόν. Τοῦ γὰρ πνεύματος τῆς ὀργῆς τὴν διάνοιαν σκοτίσαντος, οὔτε διακρίσεως φῶς, οὔτε ὀρθοῦ βουλεύματος βεβαίωσις, οὔτε δικαιοσύνης κυβέρνησις ἡμῖν εὑρεθήσεται· οὔτε δὲ ναὸν τοῦ Ἁγίου Πνεύματος τὴν ἡμετέραν γενέσθαι ψυχὴν δυνατόν, τοῦ πνεύματος τῆς ὀργῆς τὴν διάνοιαν σκοτίσαντος κατακυριεύσει ἡμῶν.*

γέλια: «Ἐκεῖνος, ποὺ ὀργίζεται ἐναντίον τοῦ ἀδελφοῦ του θὰ εἶναι ἔνοχος στὴν κρίσι». Τὰ ἀκριβῆ ἀντίγραφα [τῶν Εὐαγγελίων] ἔτσι ἐμπεριέχουν [τὸ χωρίο]. Διότι τό «εἰκῇ» [ποὺ σημαίνει: ἄνευ λόγου], τοποθετήθηκε κατόπιν προσθήκης. [Εἶναι] ὁλοφάνερο ἀπὸ τὸν προκείμενο σκοπὸ τῆς [Ἁγίας] Γραφῆς, ὅτι [αὐτὴ εἶναι ἡ μορφὴ τοῦ κειμένου]. Διότι ἡ θέλησι τοῦ Κυρίου ἀπαιτεῖ ἐμεῖς νὰ ἀποκόψουμε τὴν ρίζα καὶ τὴν σπίθα τῆς ὀργῆς μὲ κάθε τρόπο καὶ νὰ μὴν διατηρήσουμε μέσα μας οὔτε μία πρόφασι ὀργῆς, γιὰ νὰ μὴν περιπέσουμε ὕστερα στὸ πάθος τοῦ παραλόγου θυμοῦ, ὅταν κατ᾽ ἀρχάς, δικαίως δῆθεν ταραχθοῦμε [ἀπὸ τὸν θυμό]. Αὐτῆς δὲ τῆς ἀσθενείας ἡ ὁλοκληρωτικὴ θεραπεία εἶναι αὐτή: Νὰ πιστεύσουμε, ὅτι δὲν πρέπει οὔτε ἐξ αἰτίας δικαίων, οὔτε ἐξ αἰτίας ἀδίκων [λόγων] νὰ θυμώνουμε. Γιατί, ὅταν τὸ πνεῦμα τῆς ὀργῆς σκοτίσῃ τὴν διάνοια, δὲν θὰ βρεθῇ σ᾽ ἐμᾶς οὔτε τὸ φῶς τῆς διακρίσεως, οὔτε ἡ ἐγγύησι τῆς ὀρθῆς ἀποφάσεως, οὔτε ἡ ἐπιταγὴ τῆς δικαιοσύνης. Οὔτε βέβαια [εἶναι] δυνατὸν ἡ ψυχή μας νὰ γίνῃ Ναὸς τοῦ Ἁγίου Πνεύματος, ἀφοῦ τὸ πνεῦμα τῆς ὀργῆς ἔχῃ σκοτίσει τὴν διάνοια, μέσῳ τῆς ἀπολύτου κυριαρχίας [του] σ᾽ ἐμᾶς.

Τέλος δὲ πάντων, χρὴ τὸ ἄδηλον τοῦ θανάτου καθ᾽ ἑκάστην ἡμᾶς πρὸ ὀφθαλμῶν ἔχοντας, φυλάττειν ἑαυτοὺς ἀπὸ τῆς ὀργῆς. Καὶ εἰδέναι, ὅτι οὔτε σωφροσύνης, οὔτε ἀποταγῆς πάσης τῆς ὕλης, οὔτε τῶν νηστειῶν τε καὶ ἀγρυπνιῶν ὄφελος, εἰ ὑπὸ ὀργῆς καὶ μίσους κατεχόμενοι, ἔνοχοι εὑρεθῶμεν τῇ κρίσει.

Ἐν τέλει δέ, πρέπει, ἔχοντας καθημερινῶς τὸ ἀβέβαιο τοῦ θανάτου πρὸ ὀφθαλμῶν, νὰ φυλάττουμε τοὺς ἑαυτούς μας ἀπὸ τὴν ὀργή. Καί [πρέπει] νὰ κατανοήσουμε ὅτι, οὔτε ἡ σωφροσύνη, οὔτε ἡ ἐγκατάλειψι ὅλων τῶν ὑλικῶν πραγμάτων, οὔτε [ὁ κόπος] τῶν νηστειῶν μαζὶ καὶ τῶν ἀγρυπνιῶν [εἶναι γιὰ ἐμᾶς] ὠφέλεια, ἐὰν κυριευμένοι ἀπὸ ὀργὴ καὶ μῖσος βρεθοῦμε ἔνοχοι στὴν Κρίσι [τοῦ Κυρίου].

ΠΕΡΙ ΛΥΠΗΣ

Πέμπτος ἡμῖν ἀγών ἐστιν κατὰ τοῦ πνεύματος τῆς λύπης, τοῦ ἐπισκοτοῦντος τῇ ψυχῇ ἀπὸ πάσης πνευματικῆς θεωρίας, καὶ κωλύοντος αὐτὴν ἀπὸ πάσης ἀγαθῆς ἐργασίας. Ὅταν γὰρ τὸ πονηρὸν τοῦτο πνεῦμα περιδράξηται τῆς ψυχῆς, καὶ ὅλην αὐτὴν σκοτίσῃ, οὐκ εὐχὰς ἐκτελεῖν μετὰ προθυμίας συγχωρεῖ· οὐ τῶν ἱερῶν ἀναγνωσμάτων τῇ ὠφελείᾳ ἐγκαρτερεῖν· πρᾷον καὶ εὐκατάνυκτον πρὸς τοὺς ἀδελφοὺς τὸν ἄνθρωπον εἶναι, οὐκ ἀνέχεται· πρὸς πάντων τῶν ἔργων τὰ ἐπιτηδεύματα, καὶ πρὸς αὐτὴν τοῦ βί-

Πέμπτος εἶναι σ᾽ ἐμᾶς ὁ ἀγώνας ἐναντίον τοῦ πνεύματος τῆς λύπης, τὸ ὁποῖο σκοτίζει τὴν ψυχὴ ἀπὸ κάθε πνευματικὴ θεωρία καὶ τὴν ἐμποδίζει ἀπὸ κάθε ἀγαθὴ ἐργασία. Διότι ὅταν αὐτὸ τὸ πονηρὸ πνεῦμα περιαδράξῃ τὴν ψυχὴ καὶ ὁλόκληρη τὴν σκοτίσῃ, δέν [τῆς] ἐπιτρέπει νὰ κάνῃ προσευχὲς μὲ προθυμία οὔτε νὰ ἐμμένῃ στὴν ὠφέλεια τῶν ἱερῶν ἀναγνωσμάτων. Δὲν ἀνέχεται νὰ εἶναι ὁ ἄνθρωπος πρᾶος καὶ εὐκατάνυκτος στὴν σχέσι [του] μὲ τοὺς ἀδελφούς. Προξενεῖ τὸ μῖσος ἐνάντια στὴν ἐπιμελημένη ἐνασχόλησι μὲ κάθε ἔργο καὶ πρὸς αὐτὴν τὴν ἴδια τὴν ἐντο-

ου τὴν ἐπαγγελίαν, μῖσος ἐμποιεῖ. Καὶ πάντα ἁπλῶς τὰ σωτηριώδη βουλεύματα τῆς ψυχῆς ἡ λύπη συγχέασα, καὶ τὴν εὐτονίαν αὐτῆς καὶ καρτερίαν παραλύσασα, ὡς ἄφρονα ταύτην καὶ παραπλῆγα ἀπεργάζεται, τῷ τῆς ἀπογνώσεως ἐνδήσασα λογισμῷ. Διὰ τοῦτο, εἰ σκοπὸς ἡμῖν ἐστιν ἀγωνίσασθαι τὸν πνευματικὸν ἀγῶνα, καὶ νικῆσαι σὺν Θεῷ τὰ πνεύματα τῆς πονηρίας, πάσῃ φυλακῇ τηρήσωμεν τὴν ἑαυτῶν καρδίαν[57] ἀπὸ τοῦ πνεύματος τῆς λύπης. Ὥς περ γὰρ σὴς ἱμάτιον, καὶ σκώληξ ξύλον, οὕτως ἡ λύπη τὴν τοῦ ἀνθρώπου ψυχὴν κατεσθίει· ἐκκλίνειν πείθουσα πᾶσαν ἀγαθὴν συντυχίαν, καὶ οὐδὲ παρὰ τῶν γνησίων φίλων λόγον συμβουλίας δέχεσθαι συγχωροῦσα, οὐδὲ χρηστὴν ἀπόκρισιν ἢ εἰρηνικὴν ἐπιτρέπουσα τούτοις μεταδιδόναι· ἀλλὰ πᾶσαν τὴν ψυχὴν περιλαβοῦσα, πικρίας αὐτὴν καὶ ἀκηδίας πληροῖ. Καὶ λοιπὸν ὑποβάλλει αὐτῇ φεύγειν τοὺς ἀνθρώπους, ὡς αἰτίους αὐτῇ ταραχῆς γενομένους. Καὶ οὐ

λὴ τῆς ζωῆς. Ἐπιπλέον ἡ λύπη, ἀφοῦ διασαλεύσῃ ὅλες ἀπολύτως τὶς σωτήριες ἀποφάσεις τῆς ψυχῆς, καὶ παραλύσῃ τὴν δύναμι καὶ τὴν καρτερία της [τῆς ψυχῆς], τὴν κάνει σὰν μωρὴ καὶ παράλυτη, καθὼς [τήν] ἐνέδυσε μὲ τὸν λογισμὸ τῆς ἀπογνώσεως. Γι᾽ αὐτό, ἐὰν σκοπὸς μας εἶναι ν᾽ ἀγωνιστοῦμε τὸν πνευματικὸ ἀγῶνα καὶ νὰ νικήσουμε, μὲ τὴν βοήθεια τοῦ Θεοῦ, τὰ πνεύματα τῆς πονηρίας, ἂς φυλάξουμε μὲ κάθε προσοχὴ καὶ ἐπιμέλεια τὴν καρδία μας ἀπὸ τὸ πνεῦμα τῆς λύπης. Διότι, ὅπως ἀκριβῶς ὁ σκόρος τὸ ροῦχο καὶ τὸ σκουλήκι τὸ ξύλο, κατὰ τὸν ἴδιο τρόπο ἡ λύπη κατατρώγει τὴν ψυχὴ τοῦ ἀνθρώπου, πείθοντάς [τον] νὰ παραμερίσῃ κάθε ἀγαθὴ συναναστροφὴ καὶ νὰ μὴν δέχεται λόγο συμβουλῆς οὔτε ἀπὸ τοὺς ἀληθινούς [του] φίλους, οὔτε [τοῦ] ἐπιτρέπει νὰ δώσῃ σ᾽ αὐτοὺς καλὴ ἢ εἰρηνικὴ ἀπάντησι. Ἀλλὰ περιβάλλοντας ὅλη τὴν ψυχή, τὴν γεμίζει μὲ πικρία καὶ ἀκηδία. Καὶ ἔπειτα τῆς ὑποβάλλει νὰ ἀποφεύγῃ τοὺς ἀνθρώπους, ὡς ὑπαιτίους τῆς ταραχῆς ποὺ συνέβη σ᾽ αὐτήν. Καὶ δὲν τῆς

συγχωρεῖ αὐτῇ ἐπιγνῶναι, ὅτι οὐκ ἔξωθεν, ἀλλ' ἔνδον ἔχει ἐναποκειμένην τὴν νόσον· ἥτις τότε φανεροῦται, ὅταν οἱ πειρασμοὶ ἐπιστάντες διὰ τῆς γυμνασίας, εἰς τὸ ἐμφανὲς ταύτην προσενέγκωσιν. Οὐδέποτε γὰρ ὑπὸ ἄλλου βλαβήσεται ἄνθρωπος, εἰ μὴ ἔνδοθεν ἔχει ἀποκειμένας τὰς τῶν παθῶν αἰτίας. Καὶ τούτου χάριν ὁ πάντων Δημιουργὸς καὶ ἰατρὸς τῶν ψυχῶν Θεός, ὁ μόνος ἐπιστάμενος ἀκριβῶς τὰ τραύματα τῆς ψυχῆς, οὐ τὰς τῶν ἀνθρώπων συνδιατριβὰς παραγγέλλει καταλιμπάνειν, ἀλλὰ τὰς ἐν ἡμῖν τῆς κακίας ἐκκόπτειν αἰτίας. Καὶ γινώσκειν τῆς ψυχῆς τὴν ὑγείαν, οὐκ ἐν τῷ χωρισμῷ τῶν ἀνθρώπων κατορθοῦσθαι, ἀλλ' ἐν τῇ μετὰ τῶν ἐναρέτων διαγωγῇ καὶ γυμνασίᾳ. Ὅταν τοίνυν διά τινας εὐλόγους δῆθεν προφάσεις τοὺς ἀδελφοὺς καταλιμπάνωμεν, οὔτε τὰς τῆς λύπης ἀφορμὰς ἐξεκόψαμεν, ἀλλὰ μόνον ἐνηλλάξαμεν αὐτάς, τῆς ἀποκειμένης ἔνδον νόσου καὶ δι' ἑτέρων πραγμάτων ταύτας ἀνακινούσης.

ἐπιτρέπει νὰ ἀναγνωρίσῃ ὅτι ἡ ἀσθένειά [της] [δὲν προέρχεται] ἀπ' ἔξω, ἀλλὰ ὅτι βρίσκεται μέσα [της]. Αὐτή [ἡ ἀσθένεια] τότε γίνεται φανερή, ὅταν ἐλθόντες οἱ πειρασμοὶ μέσῳ τῆς δοκιμασίας [τήν] φέρουν στὴν ἐμφάνεια [τὴν ἀποκαλύψουν]. Διότι οὐδέποτε ἄνθρωπος θὰ πάθῃ ἀπό [κάποιον] ἄλλο βλάβη, ἐὰν δὲν ἔχῃ μέσα του, ἐγκατεστημένες τὶς αἰτίες τῶν παθῶν. Καὶ χάριν αὐτοῦ, ὁ Δημιουργὸς τῶν πάντων καὶ Ἰατρὸς τῶν ψυχῶν μας, Θεός, ὁ μόνος ποὺ γνωρίζει ἀκριβῶς τὰ τραύματα τῆς ψυχῆς, δὲν παραγγέλλει νὰ σταματήσουμε τὶς συναναστροφὲς μὲ τοὺς ἀνθρώπους, ἀλλὰ νὰ ἀποκόπτουμε τὶς αἰτίες τῆς κακίας [ποὺ βρίσκονται] μέσα μας. Καὶ νὰ γνωρίζουμε ὅτι ἡ ὑγεία τῆς ψυχῆς δὲν κατορθώνεται μὲ τὸν χωρισμὸ ἀπὸ τοὺς ἀνθρώπους, ἀλλὰ μὲ τὴν συμβίωσι καὶ τὴν ἄσκησι μαζὶ μὲ ἐναρέτους [ἀδελφούς]. Ὅταν λοιπὸν ἐγκαταλείπουμε τοὺς ἀδελφούς, ἐξ αἰτίας κάποιων εὐλόγων δῆθεν προφάσεων, οὔτε τὶς ἀφορμὲς τῆς λύπης ἀποκόψαμε, ἀλλὰ μόνον τὶς ἀντικαταστήσαμε, διότι ἡ ἀσθένεια, ποὺ παραμένει μέσα μας καὶ μέσῳ ἄλλων πραγμάτων τὶς ὑποκινεῖ.

Διάτοι τοῦτο κατὰ τῶν ἔνδον παθῶν πᾶς ἡμῖν ἔστω ὁ πόλεμος. Τούτων γὰρ διὰ τῆς χάριτος καὶ συνεργίας Θεοῦ ἐκ τῆς καρδίας ἐκβληθέντων, οὐ λέγω μετὰ ἀνθρώπων, ἀλλὰ καὶ μετ᾽ ἀγρίων θηρίων εὐκόλως συνδιατρίψομεν, κατὰ τὸ ὑπὸ τοῦ μακαρίου Ἰὼβ εἰρημένον, θῆρες ἄγριοι εἰρηνεύουσί σοι[58]. *Προηγουμένως τοίνυν ἀγωνιστέον κατὰ τοῦ πνεύματος τῆς λύπης, τοῦ ἐμβάλλοντος τὴν ψυχὴν εἰς ἀπόγνωσιν, ὅπως ἀπελάσωμεν αὐτὸ τῆς ἡμετέρας καρδίας. Τοῦτο γὰρ τῷ Κάιν οὐ συνεχώρησε μετὰ τὴν ἀδελφοκτονίαν μετανοῆσαι· οὔτε τῷ Ἰούδᾳ μετὰ τὴν τοῦ Δεσπότου προδοσίαν. Ἐκείνην μόνον τὴν λύπην ἀσκήσωμεν, τὴν ἐπὶ μετάνοιαν τῶν ἡμαρτημένων, μετ᾽ ἐλπίδος ἀγαθῆς γινομένην· περὶ ἧς ὁ Ἀπόστολος εἶπεν· ὅτι ἡ κατὰ Θεὸν λύπη μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον ἐργάζεται*[59]. *Ἡ γὰρ κατὰ Θεὸν λύπη, τῇ ἐλπίδι τῆς μετανοίας διατρέφουσα τὴν ψυχήν, χαρᾷ σύμμεικτος ὑπάρχει. Ὅθεν καὶ πρόθυμον, καὶ ὑπήκοον πρὸς πᾶ-*

Γι᾽ αὐτὸ βέβαια ὅλος ὁ πόλεμος ἂς εἶναι σ᾽ ἐμᾶς ἐναντίον τῶν παθῶν [ποὺ βρίσκονται] μέσα μας. Διότι, ὅταν αὐτὰ μὲ τὴν χάρι καὶ τὴν βοήθεια τοῦ Θεοῦ ἐξοριστοῦν ἀπὸ τὴν καρδία, δὲν λέγω μὲ ἀνθρώπους, ἀλλὰ καὶ μὲ τὰ ἄγρια θηρία θὰ συμβιώσουμε μὲ εὐκολία, σύμφωνα μ᾽ ἐκεῖνο ποὺ ἔχει εἰπωθῆ ἀπὸ τὸν μακάριο Ἰώβ: «Τὰ ἄγρια θηρία θὰ εἰρηνεύσουν μαζί σου». Ἑπομένως κατὰ πρῶτον πρέπει νὰ ἀγωνιστοῦμε ἐναντίον τοῦ πνεύματος τῆς λύπης τὸ ὁποῖο ρίχνει τὴν ψυχὴ στὴν ἀπόγνωσι, γιὰ νὰ τὸ διώξουμε ἔξω ἀπὸ τὴν καρδία μας. Διότι αὐτὸ δὲν ἐπέτρεψε στὸν Κάϊν μετὰ τὴν ἀδελφοκτονία νὰ μετανοήσῃ, οὔτε στὸν Ἰούδα μετὰ τὴν προδοσία τοῦ Κυρίου. Νὰ ἀσκήσουμε μόνο ἐκείνη τὴν λύπη, ἡ ὁποία μαζὶ μὲ ἀγαθὴ ἐλπίδα γεννιέται, μὲ σκοπὸ τὴν μετάνοια γιὰ ὅσα ἔχουμε σφάλει, γιὰ τὴν ὁποία ὁ Ἀπόστολος εἶπε, ὅτι ἡ κατὰ Θεὸν λύπη, κατεργάζεται τὴν μετάνοια ἐκείνη, γιὰ τὴν ὁποία δὲν θὰ μεταμεληθῇ κανείς, αὐτὴ ποὺ ὁδηγεῖ στὴν σωτηρία. Διότι ἡ κατὰ Θεὸν λύπη, ἐπειδὴ τρέφει τὴν ψυχὴ μὲ τὴν ἐλπίδα τῆς μετανοίας, εἶναι ἀνάμεικτη μὲ χαρά. Συνεπῶς καταρτίζει τὸν ἄνθρωπο [ὥστε

σαν ἀγαθὴν ἐργασίαν παρασκευάζει τὸν ἄνθρωπον· εὐπρόσιτον, ταπεινόν, πρᾷον, ἀνεξίκακον, πρὸς πάντα πόνον ἀγαθὸν καὶ συντριβήν, ὑπομονητικόν, οἷα γὰρ δὴ κατὰ Θεὸν τυγχάνουσα. Ὡς ἐκ τούτου λοιπὸν τοὺς καρποὺς τοῦ Ἁγίου Πνεύματος γνωρίζεσθαι ἐν τῷ ἀνθρώπῳ, τουτέστι χαράν, ἀγάπην, εἰρήνην, μακροθυμίαν, ἀγαθότητα, πίστιν, ἐγκράτειαν[60]*. Ἐκ γὰρ τῆς ἐναντίας λύπης τοὺς καρποὺς ἐπιγινώσκομεν τοῦ πονηροῦ πνεύματος· οἵ τινές εἰσιν ἀκηδία, ἀνυπομονησία, θυμός, μῖσος, ἀντιλογία, ἀπελπισμός, εὐχῆς ὀκνηρία. Ἥντινα λύπην οὕτως ὀφείλομεν ἐκκλίνειν, ὡς τὴν πορνείαν, καὶ τὴν φιλαργυρίαν, καὶ τὸν θυμόν, καὶ τὰ λοιπὰ τῶν παθῶν. Αὕτη δὲ θεραπεύεται διὰ προσευχῆς, καὶ τῆς εἰς Θεὸν ἐλπίδος, καὶ μελέτης τῶν θείων λογίων, καὶ τῆς μετ᾿ ἀνθρώπων εὐλαβῶν διαγωγῆς.*

νὰ εἶναι] πρόθυμος καὶ ὑπάκουος γιὰ κάθε ἀγαθὴ ἐργασία· καταδεκτικός, ταπεινός, πρᾶος, ἀνεξίκακος, ὑπομονετικὸς σὲ κάθε κόπο καὶ κατανυκτικὸ πόνο, ὁ ὁποῖος βέβαια βρίσκεται πράγματι σύμφωνος μέ [τὸ θέλημα] τοῦ Θεοῦ. Ἀποτέλεσμα αὐτοῦ [εἶναι], ὅτι καθίστανται φανεροὶ οἱ καρποὶ τοῦ Ἁγίου Πνεύματος, ποὺ ὑπάρχουν στὸν ἄνθρωπο, δηλαδὴ ἡ χαρά, ἡ ἀγάπη, ἡ εἰρήνη, ἡ μακροθυμία, ἡ ἀγαθότητα, ἡ πίστι, ἡ ἐγκράτεια. Διότι ἀπὸ τὴν ἀντίθετη λύπη ἀναγνωρίζουμε τοὺς καρποὺς τοῦ πονηροῦ πνεύματος, οἱ ὁποῖοι εἶναι ἀκηδία, ἀνυπομονησία, θυμός, μῖσος, ἀντιλογία, ἀπελπισία, ὀκνηρία στὴν προσευχή. Ἀπ᾿ αὐτὴ τὴν λύπη ὀφείλουμε νὰ απομακρυνθοῦμε κατὰ τὸν ἴδιο τρόπο, ὅπως ἀπὸ τὴν πορνεία καὶ τὴν φιλαργυρία καὶ τὸν θυμὸ καὶ τὰ ὑπόλοιπα πάθη. Αὐτὴ ὅμως θεραπεύεται μὲ τὴν προσευχὴ καὶ τὴν ἐλπίδα στὸν Θεὸ καὶ τὴν μελέτη τῶν θείων λόγων καὶ τὴν συναναστροφὴ μὲ ἀνθρώπους εὐλαβεῖς.

ΠΕΡΙ ΑΚΗΔΙΑΣ

Ἕκτος ἡμῖν ἀγών, κατὰ τοῦ πνεύματος τῆς ἀκηδίας,

Ἕκτος [εἶναι] σ᾿ ἐμᾶς, ὁ ἀγώνας ἐναντίον τοῦ πνεύματος τῆς ἀκηδίας,

τοῦ συνεζευγμένου καὶ συνεργοῦντος τῷ πνεύματι τῆς λύπης. Δεινὸς οὗτος καὶ βαρὺς δαίμων, καὶ τοῖς μοναχοῖς ἀεὶ πολεμῶν· ὅς τις ἕκτην ὥραν ἐπιπίπτει τῷ μοναχῷ, ἀτονίαν καὶ φρίκην αὐτῷ ἐμποιῶν, καὶ μῖσος ἐργαζόμενος καὶ πρὸς αὐτὸν τὸν τόπον, καὶ πρὸς τοὺς συνδιατρίβοντας ἀδελφούς, καὶ πρὸς πᾶσαν ἐργασίαν, καὶ πρὸς αὐτὴν τῶν θείων Γραφῶν τὴν ἀνάγνωσιν· ὑποβάλλων αὐτῷ καὶ λογισμοὺς μεταβάσεως· καὶ ὡς, εἰμὴ μεταστήσει αὐτὸν πρὸς ἑτέρους τόπους, μάταιος αὐτῷ ἅπας ὁ κόπος, καὶ ὁ χρόνος γενήσεται. Πρὸς τούτοις πᾶσι, καὶ πεῖναν αὐτῷ ἐντίθησι περὶ ἕκτην ὥραν, ὅση οὐκ ἂν αὐτῷ συνέβη ἐκ τριημέρου νηστείας, ἢ μακροτάτης ὁδοῦ, ἢ βαρυτάτου κόπου. Ἔπειτα λογισμοὺς αὐτῷ ἐμβάλλει, ὡς οὐδενὶ ἄλλῳ τρόπῳ δυνήσεται τῆς νόσου ταύτης καὶ τοῦ βάρους ἀπαλλάττεσθαι, εἰμὴ διὰ τοῦ ἐξέρχεσθαι συνεχῶς καὶ παραβάλλειν ἀδελφοῖς, ὠφελείας χάριν δῆθεν, ἢ ἐπισκέψεως ἀσθενούντων. Ὅταν δὲ μὴ δυνηθῇ ἐν τούτοις αὐτὸν ἀπα-

τὸ ὁποῖο εἶναι συνδεδεμένο καὶ συνεργάζεται μὲ τὸ πνεῦμα τῆς λύπης. Φοβερὸς καὶ βαρὺς [εἶναι] αὐτὸς ὁ δαίμονας καὶ πάντοτε [στέκεται] πολέμιος τῶν μοναχῶν. [Εἶναι ἐκεῖνος], ποὺ κατὰ τὴν ἕκτη ὥρα ἐπιτίθεται στὸν μοναχὸ προξενώντας σ' αὐτὸν ἀτονία καὶ φρίκη καὶ καλλιεργώντας τὸ μῖσος καὶ γιὰ τὸν ἴδιο τὸν τόπο καὶ γιὰ τοὺς ἀδελφούς, μὲ τοὺς ὁποίους συμβιώνει καὶ γιὰ κάθε ἐργασία καὶ γιὰ αὐτή [ἀκόμα] τὴν ἀνάγνωσι τῶν θείων Γραφῶν, ὑποβάλλοντας σ' αὐτὸν καὶ λογισμοὺς μεταβάσεως [σὲ ἄλλο τόπο]. Καὶ ὅτι, ἐὰν δὲν ἀπομακρύνῃ τὸν ἑαυτό του πρὸς ἄλλους τόπους, ὅλος γι' αὐτὸν ὁ κόπος καὶ ὁ χρόνος θὰ ἀποβῇ μάταιος. Μαζὶ μὲ ὅλα αὐτά, τοῦ προκαλεῖ κατὰ τὴν ἕκτη ὥρα καί [τόση] πεῖνα, ὅση δὲν θὰ τοῦ συνέβαινε μετὰ ἀπὸ τριήμερη νηστεία ἢ μακρότατη ὁδοιπορία ἢ βαρύτατο κόπο. Ἔπειτα τοῦ ὑποβάλλει λογισμούς, ὅτι μὲ κανέναν ἄλλο τρόπο δὲν θὰ μπορέσῃ νὰ ἀπαλλαγῇ ἀπὸ αὐτὴ τὴν ἀσθένεια καὶ τὸ βάρος, παρὰ μόνον μὲ τὸ νὰ ἐξέρχεται συνεχῶς καὶ νὰ πηγαίνῃ σὲ ἀδελφούς, μὲ σκοπὸ δῆθεν τὴν ὠφέλεια ἢ τὴν ἐπίσκεψι ἐκείνων ποὺ ἀσθενοῦν. Ὅταν ὅμως δὲν μπορέσῃ μὲ αὐτούς [τοὺς λογισμούς], νὰ τὸν ἐξα-

τῆσαι, τὸτηνικαῦτα ὕπνῳ βαρυτάτῳ καταβαπτίσας αὐτόν, σφοδρότερος κατ᾽ αὐτοῦ, καὶ ἰσχυρότερος γίνεται, οὐκ ἄλλως ἀνατρεπόμενος, εἰμὴ διὰ προσευχῆς, καὶ ἀποχῆς ἀργολογίας, καὶ μελέτης τῶν θείων λογίων, καὶ τῆς ἐν πειρασμοῖς ὑπομονῆς. Ἐὰν γὰρ μὴ τούτοις τοῖς ὅπλοις ἠσφαλισμένον αὐτὸν εὕρῃ, κατατοξεύσας τοῖς ἑαυτοῦ βέλεσιν, ἄστατον αὐτὸν ἀποδείκνυσι, καὶ ῥέμβον ἀποτελεῖ, καὶ ῥάθυμον, καὶ ἄεργον, καὶ μοναστήρια πολλὰ περιέρχεσθαι παρασκευάζει· καὶ οὐδενὸς ἄλλου φροντίζειν, ἢ τοῦ περισκοπεῖν ποῦ ἄριστοι καὶ πότοι γίνονται. Οὐδὲν γὰρ ἄλλο ἡ διάνοια τοῦ ἀκηδιαστοῦ φαντάζεται, ἢ τοὺς ἐκ τούτων μετεωρισμούς. Καὶ λοιπὸν ἐκ τούτων, καὶ εἰς κοσμικὰ πράγματα αὐτὸν ἐνδεσμοῖ, καὶ κατ᾽ ὀλίγον δελεάζει ταύταις ταῖς ἐπιβλαβέσιν ἀσχολίαις, ἕως οὗ καὶ αὐτοῦ τοῦ μοναδικοῦ ἐπαγγέλματος τελείως αὐτὸν ἐκβάλῃ. Ταύτην τὴν νόσον βαρυτάτην οὖσαν ὁ θεῖος Ἀπόστολος ἐπιστάμενος, καὶ βουλόμενος αὐτὴν ἐκ τῶν ἡμε-

πατήσῃ, τότε, ἀφοῦ τὸν καταβυθίσῃ σὲ βαρύτατο ὕπνο, γίνεται ἐναντίον του σφοδρότερος καὶ ἰσχυρότερος, δίχως νὰ ἀφανίζεται ἀλλιῶς, παρὰ μόνο μὲ τὴν προσευχὴ καὶ τὴν ἀποχὴ ἀπὸ τὴν ἀργολογία καὶ τὴν μελέτη τῶν θείων λόγων καὶ τὴν ὑπομονὴ στοὺς πειρασμούς. Διότι ἐὰν δὲν τὸν βρῇ προστατευμένο μὲ αὐτὰ τὰ ὅπλα, ἀφοῦ μὲ τὰ βέλη του [τόν] κατατοξεύσῃ, τὸν παρουσιάζει ἀσταθῆ καὶ τὸν καθιστᾶ ἀμελῆ καὶ ῥάθυμο καὶ ὀκνηρὸ καί [τόν] ἐθίζει νὰ περιέρχεται πολλὰ μοναστήρια καὶ νὰ μὴν φροντίζῃ γιὰ τίποτε ἄλλο παρὰ νὰ καιροφυλακτῇ, ποῦ γίνονται δεῖπνα καὶ συμπόσια. Διότι τίποτε ἄλλο ἡ διάνοια τοῦ ἀκηδιαστοῦ δὲν ἐμφανίζει παρὰ τὶς μετέωρες φαντασίες [ποὺ προέρχονται] ἀπ᾽ αὐτά. Καὶ ἔπειτα ἐξ αἰτίας αὐτῶν καὶ σὲ κοσμικὰ πράγματα [τόν] ἐμπλέκει καὶ σιγὰ σιγὰ τὸν δελεάζει μὲ αὐτὲς τὶς ἐπιβλαβεῖς ἀσχολίες, μέχρις ὅτου τὸν ἐκδιώξει καὶ ἀπὸ αὐτὴν τὴν ἴδια τὴν μοναχικὴ πολιτεία. Ὁ θεῖος Ἀπόστολος γνωρίζοντας πόσο πολὺ βαρειὰ εἶναι αὐτὴ ἡ ἀσθένεια καὶ θέλοντας, σὰν

τέρων ψυχῶν, ὡς σοφὸς ἰατρός, πρόρριζον ἀνασπᾶσαι, τὰς αἰτίας μάλιστα ἀφ᾽ ὧν τίκτεται δείκνυσι, καὶ τάδε φησίν· παραγγέλομεν ὑμῖν, ἀδελφοί, ἐν ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, στέλλεσθαι ὑμᾶς ἀπὸ παντὸς ἀδελφοῦ ἀτάκτως περιπατοῦντος, καὶ μὴ κατὰ τὴν παράδοσιν, ἣν παρελάβετε παρ᾽ ἡμῶν. Αὐτοὶ γὰρ οἴδατε πῶς δεῖ ἡμᾶς μιμεῖσθαι, ὅτι οὐκ ἠτακτήσαμεν ἐν ὑμῖν· οὐδὲ γὰρ δωρεὰν ἄρτον ἐφάγομεν παράτινος· ἀλλ᾽ ἐν κόπῳ καὶ μόχθῳ νυκτὸς καὶ ἡμέρας ἐργαζόμενοι, πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα ὑμῶν. Οὐχ ὅτι οὐκ ἔχομεν ἐξουσίαν, ἀλλ᾽ ἵνα τύπον δῶμεν ὑμῖν εἰς τὸ μιμεῖσθαι ἡμᾶς. Καὶ γὰρ ὅτε ἦμεν πρὸς ὑμᾶς, τοῦτον παρηγγέλλομεν ὑμῖν· ὅτι εἴτις οὐ θέλει ἐργάζεσθαι, μηδὲ ἐσθιέτω. Ἀκούομέν τινας περιπατοῦντας ἐν ὑμῖν ἀτάκτως, μηδὲν ἐργαζομένους, ἀλλὰ περιεργαζομένους. Τοῖς δὲ τοιούτοις παραγγέλλομεν, καὶ παρακαλοῦμεν ἐν Χριστῷ Ἰησοῦ, ἵνα μετὰ ἡσυχίας ἐργαζόμενοι, τὸν ἑαυτῶν ἄρτον ἐ-

σοφὸς ἰατρός, νὰ τὴν τραβήξῃ μὲ τὶς ρίζες ἔξω ἀπὸ τὶς ψυχές μας, [μᾶς] φανερώνει τὶς αἰτίες ἀπὸ τὶς ὁποῖες περισσότερο προξενεῖται καὶ λέγει τὰ ἑξῆς: «Σᾶς παραγγέλουμε ἀδελφοί, στὸ ὄνομα τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ νὰ ἀπομακρύνεσθε ἀπὸ κάθε ἀδελφό, ὁ ὁποῖος ζῇ ἄτακτα καὶ ὄχι σύμφωνα μὲ τὴν παράδοσι, τὴν ὁποία παραλάβατε ἀπὸ ἐμᾶς. Διότι ἐσεῖς οἱ ἴδιοι γνωρίζετε, κατὰ ποῖον τρόπο πρέπει νὰ μᾶς μιμῆσθε, διότι δὲν ἀτακτήσαμε ἀνάμεσά σας. Οὔτε βέβαια φάγαμε ἀπὸ κάποιον ψωμὶ δωρεάν. Ἀλλὰ ἐργαζόμενοι κατὰ τὴν διάρκεια τῆς νύκτας καὶ τῆς ἡμέρας μὲ κόπο καὶ μόχθο, γιὰ νὰ μὴν ἐπιβαρύνουμε κανέναν ἀπὸ ἐσᾶς. Ὄχι ὅτι δὲν εἴχαμε δικαίωμα, ἀλλὰ γιὰ νὰ σᾶς δώσουμε ὑπόδειγμα, γιὰ νὰ μᾶς μιμῆσθε. Διότι καὶ ὅταν ἤμασταν μαζί σας, αὐτὴν τὴν παραγγελία σᾶς δίναμε, ὅτι ἐὰν κάποιος δὲν θέλῃ νὰ ἐργάζεται, οὔτε [καὶ] νὰ τρώῃ, διότι ἀκοῦμε κάποιους, οἱ ὁποῖοι ζοῦν ἀνάμεσά σας ἄτακτα, δίχως νὰ ἐργάζωνται κάτι, ἀλλὰ νὰ περιεργάζωνται. Σὲ ὅσους ἐνεργοῦν κατ᾽ αὐτὸν τὸν τρόπο παραγγέλομε καὶ παρακαλοῦμε ἐν Χριστῷ Ἰησοῦ, γιὰ νὰ τρώγουν τὸ δικό τους ψωμί, νὰ ἐργάζωνται

σθίωσιν[61]. Ἀκούσωμεν πῶς σαφῶς ἡμῖν ὑποδείκνυσι τὰς αἰτίας τῆς ἀκηδίας ὁ Ἀπόστολος. Ἀτάκτους γὰρ καλεῖ, τοὺς μὴ ἐργαζομένους· ἑνὶ τούτῳ ῥήματι, πολλὴν κακίαν ἐμφαίνων. Ὁ γὰρ ἄτακτος, καὶ ἀνευλαβὴς τυγχάνει, καὶ προπετὴς περὶ λόγους, καὶ εἰς λοιδορίαν πρόχειρος, καὶ λοιπὸν εἰς ἡσυχίαν ἀνεπιτήδειος, καὶ τῆς ἀκηδίας δοῦλος. Παραγγέλλει οὖν στέλλεσθαι ἀπ᾽ αὐτῶν, τουτέστιν, ἀφορίζεσθαι ὡς ἀπὸ λοιμικῆς νόσου. Καὶ μὴ κατὰ τὴν παράδοσιν, ἣν παρέλαβον παρ᾽ ἡμῶν· διὰ τῆς λέξεως ταύτης ἐμφαίνων, ὑπερηφάνους εἶναι καὶ καταφρονητάς, καὶ τῶν ἀποστολικῶν παραδόσεων καταλύτας. Καὶ πάλιν φησίν, δωρεὰν οὐκ ἐφάγομεν ἄρτου παρά τινος· ἀλλ᾽ ἐν κόπῳ καὶ μόχθῳ νυκτὸς καὶ ἡμέρας ἐργαζόμενοι. Ὁ διδάσκαλος τῶν ἐθνῶν, ὁ κήρυξ τοῦ Εὐαγγελίου, ὁ μετάρσιος ἕως τρίτου οὐρανοῦ, ὁ λέγων τὸν Κύριον προστεταχέναι τοὺς τὸ Εὐαγγέλιον καταγγέλλοντας, ἐκ τοῦ Εὐαγγελίου ζῆν[62]· ἐν κόπῳ καὶ μό-

μὲ ἡσυχία». Ἂς ἀκούσουμε, πῶς μὲ σαφήνεια μᾶς ὑποδεικνύει τὶς αἰτίες τῆς ἀκηδίας ὁ Ἀπόστολος. Ἀτάκτους λοιπὸν ὀνομάζει ἐκείνους, ποὺ δὲν ἐργάζονται, ἐμφανίζοντάς [μας] μέσα σ᾽ αὐτὸ τὸν λόγο, πολλὴ κακία. Διότι ὁ ἄτακτος συμβαίνει νὰ εἶναι καὶ ἀνευλαβὴς καὶ ὅσον ἀφορᾶ τοὺς λόγους προπετὴς καὶ πρόθυμος στὴν κακολογία καὶ ὡς ἐκ τούτου ἀπρόσφορος γιὰ τὴν ἡσυχία καὶ τῆς ἀκηδίας δοῦλος. Παραγγέλει λοιπόν [ὁ Ἀπόστολος] νὰ ἀπομακρυνώμεθα ἀπ᾽ αὐτούς, δηλαδὴ νὰ χωριζώμεθα, ὅπως ἀπὸ μολυσματικὴ ἀσθένεια. [Λέγει δὲ ὁ Ἀπόστολος]: «Καὶ ὄχι σύμφωνα μὲ τὴν παράδοσι, τὴν ὁποία παραλάβατε ἀπὸ ἐμᾶς», φανερώνοντας μὲ τὴν λέξι αὐτή, ὅτι εἶναι ὑπερήφανοι καὶ ὅτι περιφρονοῦν καὶ καταλύουν τὶς Ἀποστολικὲς παραδόσεις. Καὶ πάλι λέγει: «Οὔτε βέβαια φάγαμε ψωμὶ ἀπὸ κάποιον δωρεάν. Ἀλλὰ ἐργαζόμενοι κατὰ τὴν διάρκεια τῆς νύκτας καὶ τῆς ἡμέρας μὲ κόπο καὶ μόχθο». Ὁ διδάσκαλος τῶν Ἐθνῶν, ὁ κήρυκας τοῦ Εὐαγγελίου, αὐτὸς ποὺ ἀνυψώθηκε μέχρι τρίτου οὐρανοῦ, ἐκεῖνος, ποὺ λέγει ὅτι ὁ Κύριος ἔχει δώσει ἐντολὴ ὅσοι κηρύσσουν τὸ Εὐαγγέλιο νὰ ζοῦν ἀπὸ τὸ Εὐαγγέλιο, [αὐτός] ἐργάζεται μὲ κόπο καὶ μὲ μό-

χθῳ νυκτὸς καὶ ἡμέρας ἐργάζεται, πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα. Τί τοίνυν ἡμεῖς ποιήσωμεν ἀκηδιῶντες ἀπὸ ἔργου, καὶ σωματικὴν ἀνάπαυσιν διώκοντες; Οἷς οὔτε κήρυγμα Εὐαγγελίου ἐνεχειρίσθη, οὔτε τῶν ἐκκλησιῶν ἡ μέριμνα, ἀλλὰ τῆς ἰδίας μόνον ψυχῆς ἡ φροντίς; Εἶτα σαφέστερον δεικνύων τὴν τικτομένην βλάβην ἐκ τῆς ἀργίας, ἐπιφέρει· μηδὲν ἐργαζομένους, ἀλλὰ περιεργαζομένους. Ἀπὸ γὰρ ἀργίας, ἡ περιέργεια, καὶ ἀπὸ περιεργείας, ἀταξία, καὶ ἀπὸ ἀταξίας, πᾶσα κακία. Κατασκευάζων δὲ πάλιν τὴν θεραπείαν αὐτοῖς, ἐπιφέρει· τοῖς δὲ τοιούτοις παραγγέλλομεν, ἐν ἡσυχίᾳ ἐργαζομένους, τὸν ἑαυτῶν ἄρτον ἐσθίειν. Καὶ ἐπιπληκτικώτερον δὲ λέγει· εἴτις οὐ θέλει ἐργάζεσθαι, μηδὲ ἐσθιέτω. Τούτοις τοῖς ἀποστολικοῖς διατάγμασιν οἱ κατὰ τὴν Αἴγυπτον ἅγιοι πατέρες πεπαιδευμένοι, οὐδένα καιρὸν εἶναι ἀργοὺς τοὺς μοναχοὺς ἐπιτρέπουσι· καὶ μάλιστα τοὺς νεωτέρους. Εἰδότες, ὡς διὰ τῆς ὑπομονῆς τοῦ ἔργου καὶ τὴν

χθο νύκτα καὶ ἡμέρα, γιὰ νὰ μὴν ἐπιβαρύνῃ κανένα. Τί λοιπὸν θὰ κάνουμε ἐμεῖς οἱ ὁποῖοι παραιτούμεθα λόγῳ ἀκηδίας ἀπὸ τὴν ἐργασία καὶ ἐπιδιώκουμε τὴν σωματικὴ ἀνάπαυσι, στοὺς ὁποίους οὔτε τὸ κήρυγμα τοῦ Εὐαγγελίου ἀνετέθη, οὔτε ἡ μέριμνα γιὰ τὶς ἐκκλησίες ἀλλὰ μόνο ἡ φροντίδα τῆς ψυχῆς μας; Ἔπειτα παρουσιάζοντας μὲ μεγαλύτερη σαφήνεια τὴν βλάβη, ποὺ γεννᾶται ἀπὸ τὴν ἀργία, προσθέτει: «δίχως νὰ ἐργάζωνται κάτι, ἀλλὰ νὰ περιεργάζωνται». Διότι ἀπὸ τὴν ἀργία [γεννᾶται] ἡ περιέργεια καὶ ἀπὸ τὴν περιέργεια ἡ ἀταξία καὶ ἀπὸ τὴν ἀταξία κάθε κακία. Ἐπιπλέον δὲ παρασκευάζοντας τὴν θεραπεία γι᾽ αὐτούς, προσθέτει: «Σὲ ὅσους ἐνεργοῦν κατ᾽ αὐτὸν τὸν τρόπο παραγγέλομε ἐργαζόμενοι μὲ ἡσυχία, νὰ τρώγουν τὸ δικό τους ψωμί». Ἐπίσης δὲ μὲ ἐπιτιμητικώτερο τρόπο λέγει: «ἐὰν κάποιος δὲν θέλῃ νὰ ἐργάζεται, οὔτε [καί] νὰ τρώῃ». Οἱ Ἅγιοι Πατέρες στὴν Αἴγυπτο, οἱ ὁποῖοι ἔχουν μαθητεύσει σ᾽ αὐτὲς τὶς ἀποστολικὲς ἐντολές, δὲν ἐπιτρέπουν σὲ καμία περίστασι νὰ μένουν οἱ μοναχοὶ χωρὶς ἐργασία καὶ μάλιστα οἱ νεώτεροι, ἐπειδὴ γνωρίζουν, ὅτι μέσῳ τῆς ὑπομονῆς στὴν ἐργασία καὶ

ἀκηδίαν ἀπελαύνουσι, καὶ τὴν ἑαυτῶν τροφὴν προσπορίζουσι, καὶ τοῖς δεομένοις βοηθοῦσιν. Οὐ μόνον γὰρ τῆς ἑαυτῶν ἕνεκεν χρείας ἐργάζονται, ἀλλὰ καὶ ξένοις, καὶ πτωχοῖς, καὶ τοῖς ἐν φυλακαῖς ἐκ τοῦ ἰδίου ἔργου ἐπιχορηγοῦσι· πιστεύοντες τὴν τοιαύτην εὐποιΐαν, θυσίαν ἁγίαν τῷ Θεῷ εὐπρόσδεκτον γενέσθαι. Καὶ τοῦτο δὲ λέγουσιν οἱ πατέρες, ὅτι ὁ ἐργαζόμενος, ἑνὶ δαίμονι πολλάκις πολεμεῖ, καὶ ὑπ᾽ αὐτοῦ θλίβεται· ὁ δὲ ἀργός, ὑπὸ μυρίων πνευμάτων αἰχμαλωτίζεται. Καλὸν δὲ πρὸς τούτοις, καὶ λόγου ἐπιμνησθῆναι τοῦ ἀββᾶ Μωυσέως τοῦ δοκιμωτάτου ἐν τοῖς πατράσιν, ὃν πρὸς ἐμὲ ἀπεφθέγξατο. Καθεσθέντος γάρ μου ὀλίγον χρόνον ἐν τῇ ἐρήμῳ, ὠχλήθην ὑπὸ ἀκηδίας, καὶ παρέβαλον αὐτῷ, καὶ εἶπον, ὅτι χθὲς δεινῶς ὀχληθεὶς ὑπὸ τῆς ἀκηδίας, καὶ ἐξασθενήσας σφόδρα, οὐ πρότερον ἀπηλλάγην αὐτῆς, εἰμὴ ἀπῆλθον καὶ παρέβαλον τῷ ἀββᾷ Παύλῳ. Ἀπεκρίνατο δέ μοι πρὸς ταῦτα ὁ ἀββᾶς Μωυσῆς καὶ εἶπε· θάρσει, οὐ σε-

τὴν ἀκηδία ἐξορίζουν καὶ τὴν τροφή τους προμηθεύονται καὶ ἐκείνους, ποὺ ἔχουν ἀνάγκη βοηθοῦν. Διότι δὲν ἐργάζονται μόνο ἕνεκα τῆς προσωπικῆς τους ἀνάγκης, ἀλλὰ παρέχουν ἐπιπλέον ἀπὸ τὴν ἐργασία τους καὶ στοὺς ξένους καὶ στοὺς πτωχοὺς καὶ σέ [ὅσους βρίσκονται] στὶς φυλακές, ἐπειδὴ πιστεύουν, ὅτι ἡ τέτοιου εἴδους ἀγαθοεργία ἀποβαίνει ἁγία θυσία, εὐάρεστη στὸν Θεό. Καὶ αὐτὸ ἐπιπλέον λέγουν οἱ Πατέρες, ὅτι ἐκεῖνος ποὺ ἐργάζεται μὲ ἕναν δαίμονα πολλὲς φορὲς πολεμᾶ καὶ ἀπ᾽ αὐτὸν ἐνοχλεῖται. Ἐκεῖνος ὅμως, ποὺ δὲν ἔχει ἐργασία ἀπὸ χίλια [δαιμονικά] πνεύματα αἰχμαλωτίζεται. Μαζὶ δὲ μ᾽ αὐτά [εἶναι] καλὸ νὰ θυμηθοῦμε καὶ τὸν λόγο τοῦ Ἀββᾶ Μωυσέως, τοῦ πολὺ πεπειραμένου ἀνάμεσα στοὺς Πατέρες, τὸν ὁποῖο εἶπε σχετικὰ σ᾽ ἐμένα. Ὅταν, λοιπόν, γιὰ λίγο καιρὸ εἶχα ἐγκατασταθῆ στὴν ἔρημο, πειράχθηκα ἀπὸ τὴν ἀκηδία καὶ τὸν πλησίασα καὶ τοῦ εἶπα, ὅτι χθὲς ἀφότου φοβερὰ πειράχτηκα ἀπὸ τὴν ἀκηδία καὶ ἀφότου βρέθηκα σὲ πολὺ ἔντονη ἀδυναμία, δὲν λυτρώθηκα νωρίτερα ἀπ᾽ αὐτὴν παρὰ μόνο ἐφ᾽ ὅσον ἔφυγα καὶ πῆγα στὸν Ἀββᾶ Παῦλο. Ὁ δὲ Ἀββᾶς Μωυσῆς μοῦ ἀποκρίθηκε σχετικὰ μ᾽ αὐτὰ καὶ εἶπε: «Ἔχε θάρρος, δὲν ἐλευθέ-

αυτὸν ἀπὸ ταύτης ἠλευθέρωσας, ἀλλὰ μᾶλλον ἔκδοτον, καὶ δοῦλον παρέδωκας. Γίνωσκε τοίνυν, ὅτι βαρυτέρως σε, ὡς λιποτάκτην, καταπολεμήσει, εἰμὴ τοῦ λοιποῦ δι' ὑπομονῆς, καὶ προσευχῆς, καὶ τοῦ ἔργου τῶν χειρῶν, ταύτην καταπαλαῖσαι σπουδάσεις.

ρωσες ἀπὸ αὐτὴν τὸν ἑαυτό σου, ἀλλὰ μᾶλλον [τόν] παρέδωσες προδομένο καὶ δοῦλο. Γνώριζε λοιπόν, ὅτι θὰ σὲ καταβάλλῃ μὲ σφοδρότερο πόλεμο, ὅπως τὸν λιποτάκτη, ἐὰν εἰς τὸ ἑξῆς δὲν φροντίσῃς νὰ τὴν κατανικήσῃς μὲ τὴν ὑπομονή, τὴν προσευχὴ καὶ τὸ ἐργόχειρο».

ΠΕΡΙ ΚΕΝΟΔΟΞΙΑΣ

Ἕβδομος ἡμῖν ἀγών, πρὸς τὸ πνεῦμα τῆς κενοδοξίας. Πολύμορφον τοῦτο καὶ λεπτότατον πάθος, καὶ οὐ ταχέως, οὐδὲ ὑπ' αὐτοῦ τοῦ πειραζομένου, καταλαμβανόμενον. Καὶ γὰρ τῶν ἄλλων παθῶν αἱ προσβολαὶ φανερώτεραι τυγχάνουσι, καὶ εὐκολωτέραν πως τὴν πρὸς αὐτὰς μάχην ἔχουσι, τῆς ψυχῆς ἐπιγινωσκούσης τὸν πολέμιον, καὶ διὰ τῆς ἀντιρρήσεως, καὶ προσευχῆς τοῦτον εὐθέως ἀνατρεπούσης. Ἡ δὲ τῆς κενοδοξίας κακία, πολύμορφος οὖσα, καθὰ εἴρηται, δυσκαταγώνιστος τυγχάνει. Καὶ γὰρ ἐν παντὶ ἐπιτηδεύματι, καὶ ἐν φωνῇ, καὶ λόγῳ, καὶ σιωπῇ, καὶ ἐν ἔρ-

Ἕβδομος γιὰ ἐμᾶς ἀγώνας, [εἶναι] ἐναντίον τοῦ πνεύματος τῆς κενοδοξίας. Αὐτό [εἶναι] πάθος πολύμορφο καὶ λεπτότατο καὶ δὲν γίνεται γρήγορα ἀντιληπτὸ οὔτε καὶ ἀπὸ ἐκεῖνον, ποὺ πειράζεται. Διότι καὶ οἱ προσβολὲς ἀπὸ τὰ ἄλλα πάθη συμβαίνει [νὰ εἶναι] πλέον ἐμφανεῖς καὶ διεξάγεται κάπως εὐκολώτερος ἐναντίον τους ὁ πόλεμος, γιατὶ ἡ ψυχὴ ἀναγνωρίζει τὸν ἐχθρὸ καὶ μὲ τὴν ἀντίρρησι καὶ τὴν προσευχὴ ἀμέσως τὸν ἀνατρέπει. Ἡ κακία ὅμως τῆς κενοδοξίας, ἐπειδὴ εἶναι πολύμορφος, ὅπως εἰπώθηκε, συμβαίνει νὰ εἶναι δυσκολοπολέμητη. Διότι [ἔρχεται νὰ μᾶς πολεμήσῃ] καὶ σὲ κάθε ἀπασχόλησι καὶ μέσῳ τῆς ὁμιλίας καὶ μέσῳ τοῦ ἐνδιαθέτου λόγου καὶ μέσῳ τῆς σιωπῆς καὶ στὴν

γῳ, καὶ ἀγρυπνίᾳ, καὶ ἐν νηστείαις, καὶ ἐν εὐχῇ, καὶ ἐν ἀναγνώσεσι, καὶ ἐν ἡσυχίᾳ, καὶ μακροθυμίᾳ. Διὰ πάντων γὰρ τούτων ἐπιχειρεῖ τὸν στρατιώτην τοῦ Χριστοῦ κατατοξεύειν. Καὶ γάρ, ὅν τινα μὴ δυνηθῇ πολυτελείᾳ ἐνδυμάτων πρὸς κενοδοξίαν ἀπατῆσαι, τοῦτον δι᾽ εὐτελοῦς ἐσθῆτος ἐπιχειρεῖ πειράζειν. Καὶ ὃν οὐκ ἠδυνήθη διὰ τιμῆς ἐπᾶραι, τοῦτον διὰ τοῦ φέρειν δῆθεν ἀτιμίαν, εἰς ἀπόνοιαν αἴρει. Καὶ ὃν οὐκ ἠδυνήθη πεῖσαι δι᾽ ἐπιστήμην λόγων κενοδοξεῖν, διὰ σιωπῆς ὡς ἥσυχον δῆθεν δελεάζει. Καὶ ὃν οὐκ ἠδυνήθη πεῖσαι διὰ πολυτελείας βρωμάτων χαυνῶσαι, τοῦτον διὰ νηστείας πρὸς ἔπαινον ἐκλύει. Καὶ ἁπλῶς πᾶν ἔργον, πᾶν ἐπιτήδευμα, πρόφασιν πολέμου παρέχει τῷ πονηρῷ τούτῳ δαίμονι. Ἔτι δὲ πρὸς τούτοις, καὶ κλῆρον φαντάζεσθαι ὑποβάλλει. Μέμνημαι γάρ τινος γέροντος, ἡνίκα ἐν τῇ σκήτῃ διέτριβον, ἀπελθόντος εἰς κέλλαν τινὸς ἀδελφοῦ, ἐπισκέψεως χάριν, ὃς πλησιάσας αὐτοῦ τῇ θύρᾳ, ἀκούει ἔνδον λαλοῦντος αὐτοῦ· καὶ

διακονία καὶ στὴν ἀγρυπνία καὶ στὶς νηστεῖες καὶ στὴν προσευχὴ καὶ στὶς ἀναγνώσεις καὶ στὴν ἡσυχία καὶ στὴν δοκιμασία. Μὲ ὅλα αὐτὰ λοιπὸν ἐπιχειρεῖ νὰ φονεύσῃ μὲ τὰ βέλη της τὸν στρατιώτη τοῦ Χριστοῦ. Καὶ διότι, ὅποιον δὲν μπορέσει νὰ ἐξαπατήσῃ [παρασύροντάς τον] πρὸς τὴν κενοδοξία μὲ τὴν πολυτέλεια τῶν ἐνδυμάτων, αὐτὸν ἐπιχειρεῖ νά [τόν] πειράξῃ μὲ τὴν εὐτελῆ ἀμφίεσι. Καὶ ὅποιον δὲν μπόρεσε [νὰ τὸν κάνῃ] νὰ ἐπαρθῇ μέσῳ τῆς τιμῆς, αὐτὸν ἐπειδὴ δῆθεν σηκώνει τὴν ἀτιμία [τόν] ἐξυψώνει στὴν ἀνοησία. Καὶ ὅποιον δὲν μπόρεσε νά [τόν] πείσῃ νὰ κενοδοξήσῃ ἐξ αἰτίας τῆς γνώσεως τῶν [θείων] λόγων, μὲ τὴν σιωπὴ τὸν παγιδεύει σὰν δῆθεν ἥσυχο. Καὶ ὅποιον δὲν μπόρεσε νά [τόν] πείσῃ νὰ ὑπερηφανευθῇ χάριν τῶν πολυτελῶν φαγητῶν, τὸν ἐξαντλεῖ μὲ τὴν νηστεία, [ποὺ γίνεται] γιὰ τὸν ἔπαινο. Καὶ γενικῶς κάθε ἔργο, κάθε ἀπασχόλησι παρέχει ἀφορμὴ πολέμου στὸν πονηρὸ αὐτὸ δαίμονα. Ἐπιπλέον δὲ πρὸς αὐτά, ὑποβάλλει καί [τὸν λογισμό - πλάθουν μὲ τὴν φαντασία τους], ὅτι τοὺς θεωροῦν [οἱ ἄλλοι] κληρικούς. Διότι θυμᾶμαι κάποιο Γέροντα, ὅταν ἔμενα στὴν σκήτη, ὁ ὁποῖος καθὼς πήγαινε στὸ κελλὶ κάποιου ἀδελφοῦ, χάριν ἐπισκέψεως, τὴν στιγμή, ποὺ αὐτὸς πλησίασε στὴν πόρτα του, ἀκούει ἀπὸ μέσα ἐκεῖνον [τὸν ἀδελφό] νὰ μιλᾷ καὶ

νομίσας ὁ γέρων ἀπὸ Γραφῆς αὐτὸν μελετᾷν, ἔστη ἀκροώμενος· καὶ αἰσθάνεται παραφρονοῦντος ὑπὸ τῆς κενοδοξίας, καὶ ἑαυτὸν χειροτονοῦντος Διάκονον, καὶ τοῖς κατηχουμένοις ἀπόλυσιν παρέχοντος. Ὡς οὖν ἤκουσε τούτων ὁ γέρων, ὠθήσας τὴν θύραν εἰσῆλθε, καὶ ἀπαντήσας αὐτῷ ὁ ἀδελφός, προσεκύνησε κατὰ τὸ ἔθος, καὶ ἠξίου μαθεῖν παρ' αὐτοῦ, εἰ πολλὴν ὥραν ἔχει πρὸς τὴν θύραν ἱστάμενος· ὁ δὲ γέρων χαριέντως πρὸς αὐτὸν ἀπεκρίθη· ἄρτι, φησίν, ἦλθον, ὅτε σὺ τὴν ἀπόλυσιν τοῖς κατηχουμένοις ἐπετέλεις. Ὁ δὲ ἀδελφὸς ταῦτα ἀκούσας, ἔπεσε παρὰ τοὺς πόδας τοῦ γέροντος, καὶ παρεκάλει αὐτὸν εὔχεσθαι ὑπὲρ αὐτοῦ, ὅπως ῥυσθῇ ταύτης τῆς πλάνης. Τούτων δὲ ἐμνήσθην, δεῖξαι βουλόμενος, εἰς πόσην ἀναισθησίαν φέρει τὸν ἄνθρωπον οὗτος ὁ δαίμων. Ὁ βουλόμενος τοίνυν τελείως ἀθλῆσαι, καὶ τὸν τῆς δικαιοσύνης στέφανον τελείως ἀναδήσασθαι, πᾶσι τρόποις σπουδάσει τὸ πολύμορφον τοῦτο θηρίον νικῆσαι· πρὸ ὀφθαλ-

νομίζοντας ὁ Γέροντας, ὅτι αὐτὸς μελετᾶ [χωρία] ἀπὸ τὴν [Ἁγία] Γραφή, στάθηκε γιὰ νὰ ἀκούσῃ. Καί[τόν] ἀντιλαμβάνεται νὰ παραφρονῇ ἀπὸ τὴν κενοδοξία καὶ νὰ χειροτονῇ τὸν ἑαυτό του Διάκονο καὶ νὰ τελῇ τὴν Ἀπόλυσι στοὺς Κατηχουμένους. Ὅταν, λοιπόν, ἄκουσε αὐτὰ ὁ Γέροντας, ἀφοῦ ἔσπρωξε τὴν πόρτα, μπῆκε [στὸ κελλί] καὶ καθὼς τὸν ἀντίκρισε ὁ ἀδελφός, ἔβαλε μετάνοια κατὰ τὴν τάξι καὶ ζητοῦσε νὰ μάθῃ ἀπ' αὐτόν, ἐὰν ἔχῃ πολλὴ ὥρα ποὺ στέκεται στὴν πόρτα. Ὁ δὲ Γέροντας χαριτωμένα ἀποκρίθηκε σ' αὐτόν: Μόλις τώρα, λέγει, ἦρθα, ὅταν ἐσὺ ἐπιτελοῦσες τὴν Ἀπόλυσι στοὺς Κατηχουμένους. Ὅταν δέ, ὁ ἀδελφὸς ἄκουσε αὐτά, ἔπεσε στὰ πόδια τοῦ Γέροντος καὶ τὸν παρακαλοῦσε νὰ εὔχεται γι' αὐτόν, γιὰ νὰ ἀπαλλαγῇ ἀπὸ αὐτὴ τὴν πλάνη. Αὐτὰ λοιπόν [τά] θυμήθηκα, ἐπειδὴ θέλω νὰ δείξω σὲ πόση ἀναισθησία φέρνει τὸν ἄνθρωπο αὐτὸς ὁ δαίμονας. Ἐκεῖνος λοιπόν, ποὺ θέλει κατὰ τὸ μέτρον τῆς τελειότητος νὰ ἀγωνιστῇ καὶ κατὰ τὸ μέτρον τῆς τελειότητος νὰ στεφανωθῇ μὲ τὸ στεφάνι τῆς δικαιοσύνης, θὰ φροντίσῃ μὲ κάθε τρόπο νὰ νικήσῃ τὸ πολύμορφο αὐτὸ θηρίο, ἔχοντας πάντοτε

μῶν ἔχων πάντοτε τὸ ὑπὸ τοῦ Δαβὶδ εἰρημένον· Κύριος διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων[63]*. Καὶ μηδὲν ποιείτω περιβλεπόμενος τὸν τῶν ἀνθρώπων ἔπαινον. Ἀλλὰ τὸν παρὰ τοῦ Θεοῦ μισθὸν μόνον ἐπιζητείτω· καὶ ἀποῤῥίπτων ἀεὶ τοὺς ἐπερχομένους ἐν τῇ καρδίᾳ αὐτοῦ λογισμούς, καὶ ἐπαινοῦντας αὐτόν. Ἐξουδενούτω ἑαυτὸν ἐνώπιον τοῦ Θεοῦ· οὕτως γὰρ δυνήσεται, σὺν Θεῷ, ἀπαλλαγῆναι τοῦ πνεύματος τῆς κενοδοξίας.*

πρὸ ὀφθαλμῶν [του], ἐκεῖνο, ποὺ εἰπώθηκε ἀπὸ τὸν Δαυΐδ: «Ὁ Κύριος διασκόρπισε τὰ ὀστᾶ τῶν ἀνθρωπαρέσκων». Καὶ τίποτα νὰ μὴν κάνῃ προσβλέποντας στὸν ἔπαινο τῶν ἀνθρώπων. Ἀλλὰ νὰ ἐπιζητῇ μόνον τὸν ἀπὸ τὸν Θεό, μισθό, ἀπορρίπτοντας ἐπιπλέον πάντοτε τοὺς λογισμούς, ποὺ πλησιάζουν στὴν καρδία του καὶ τὸν ἐπαινοῦν. Νὰ ἐξουθενώνῃ τὸν ἑαυτό του ἐνώπιον τοῦ Θεοῦ, διότι κατ᾽ αὐτὸν τὸν τρόπον, θὰ μπορέσῃ, μὲ τὴν βοήθεια τοῦ Θεοῦ, νὰ ἀπαλλαγῇ ἀπὸ τὸ πνεῦμα τῆς κενοδοξίας.

ΠΕΡΙ ΥΠΕΡΗΦΑΝΙΑΣ

Ὄγδοος ἡμῖν ἀγών ἐστιν κατὰ τοῦ πνεύματος τῆς Ὑπερηφανίας. Χαλεπώτατος οὗτος, καὶ πάντων τῶν προτέρων ἀγριώτερος. Τοὺς τελείους μάλιστα πολεμῶν, καὶ σχεδὸν τοὺς εἰς τὸ ὕψος τῶν ἀρετῶν ἀναβεβηκότας ἐπιχειρῶν καταστρέφειν. Καὶ καθάπερ νόσος λοιμική, καὶ φθοροποιός, οὐχ ἓν μέλος τοῦ σώματος, ἀλλ᾽ ὅλον διαφθείρει· οὕτως ἡ ὑπερηφανία, οὐ μέρος τῆς ψυχῆς, ἀλλὰ πᾶσαν αὐτὴν διαφθείρει. Καὶ τῶν μὲν ἄλλων παθῶν ἕκαστον,

Ὄγδοος ἀγώνας σ᾽ ἐμᾶς εἶναι ἐναντίον τοῦ πνεύματος τῆς ὑπερηφανίας. [Ὁ ἀγώνας] αὐτός [εἶναι] ὁ πλέον δύσκολος καὶ ἀπὸ ὅλους τοὺς προηγούμενους βιαιότερος, ὁ ὁποῖος περισσότερο πολεμᾶ τοὺς τελείους καὶ ἐπιχειρεῖ νὰ καταστρέψῃ ἐκείνους, ποὺ σχεδὸν ἔχουν ἀνεβῆ στὸ ὕψος τῶν ἀρετῶν. Καὶ καθὼς ἡ μολυσματικὴ καὶ θανατηφόρος ἀσθένεια, ὄχι ἕνα μέρος τοῦ σώματος, ἀλλὰ ὁλόκληρο [τὸ σῶμα] καταστρέφει, κατὰ τὸν ἴδιο τρόπο ἡ ὑπερηφάνια, ὄχι [μόνο] μέρος τῆς ψυχῆς, ἀλλὰ αὐτὴν τὴν ἴδια [τὴν ψυχὴ] ὁλόκληρη [τὴν] καταστρέφει. Καὶ καθένα μὲν ἀπὸ τὰ ἄλλα πάθη,

εἰ καὶ ταράσσει τὴν ψυχήν, ἀλλὰ πρὸς μίαν τὴν ἀντικειμένην αὐτῷ ἀρετὴν πολεμοῦν, καὶ ταύτην νικῆσαι φιλονεικοῦν, ἐκ μέρους ἐπισκοτοῖ τὴν ψυχὴν, καὶ ταράσσει αὐτήν· τὸ δὲ τῆς ὑπερηφανίας πάθος πᾶσαν αὐτὴν σκοτοῖ, καὶ εἰς ἐσχάτην πτῶσιν κατάγει. Καὶ ἵνα σαφέστερον νοήσωμεν τὸ εἰρημένον, σκοπήσωμεν οὕτως. Ἡ γαστριμαργία, τὴν ἐγκράτειαν σπουδάζει διαφθείρειν· ἡ πορνεία, τὴν σωφροσύνην· ἡ φιλαργυρία, τὴν ἀκτημοσύνην· ὁ θυμός, τὴν πρᾳότητα· καὶ τὰ λοιπὰ τῆς κακίας εἴδη, τὰς ἐναντίας ἀρετάς. Ἡ δὲ τῆς ὑπερηφανίας κακία, ὅταν κυριεύσῃ τῆς ἀθλίας ψυχῆς, ὥς περ τὶς χαλεπώτατος τύραννος, μεγάλην πόλιν καὶ ὑψηλὴν παραλαβών, ὅλην αὐτὴν καταστρέφει, καὶ ἕως θεμελίων κατασκάπτει. Καὶ μάρτυς τούτου ὁ Ἄγγελος ἐκεῖνος ὁ ἐκ τοῦ οὐρανοῦ πεσὼν διὰ τὴν ὑπερηφανίαν· ὃς ὑπὸ τοῦ Θεοῦ κτισθείς, καὶ πάσῃ ἀρετῇ, καὶ σοφίᾳ κατακοσμηθείς, οὐ τῇ τοῦ Δεσπότου χάριτι ἠβουλήθη ταῦτα ἐπιγράφειν, ἀλ-

ἂν καὶ ταράζει τὴν ψυχή, ἀλλὰ ἐπειδὴ πολεμᾶ ἐναντίον τῆς μίας ἀρετῆς, ἡ ὁποία ἀντιτίθεται σ᾽ αὐτὸ καὶ αὐτὴν [τὴν ἀρετή] ἀντιμάχεται νὰ νικήσῃ, μερικῶς σκοτίζει τὴν ψυχὴ καὶ τὴν ταράζει. Τὸ δὲ πάθος τῆς ὑπερηφανίας ὁλόκληρη τὴν σκοτίζει καὶ τὴν καταβιβάζει σὲ ἔσχατη πτῶσι. Καὶ γιὰ νὰ ἐννοήσουμε σαφέστερα αὐτό, ποὺ εἰπώθηκε, ἂς ἐρευνήσουμε κατ᾽ αὐτὸν τὸν τρόπο. Ἡ γαστριμαργία πασχίζει νὰ καταστρέψῃ τὴν ἐγκράτεια· ἡ πορνεία, τὴν σωφροσύνη· ἡ φιλαργυρία, τὴν ἀκτημοσύνη· ὁ θυμός, τὴν πραότητα. Καὶ τὰ ὑπόλοιπα εἴδη τῆς κακίας [πασχίζουν νὰ καταστρέψουν] τὶς ἀντίθετες ἀρετές. Ἡ κακία ὅμως τῆς ὑπερηφανίας, ὅταν κυριεύσῃ τὴν ἀθλία [ἐκείνη] ψυχή, ὅπως ἀκριβῶς ἕνας σκληρότατος τύραννος, ὅταν καταλάβῃ μεγάλη καὶ ἐξέχουσα πόλι, τὴν καταστρέφει ὁλόκληρη καὶ τὴν κατεδαφίζει μέχρι τὰ θεμέλια. Καὶ μάρτυρας αὐτοῦ [εἶναι] ὁ Ἄγγελος ἐκεῖνος, ποὺ ἔπεσε ἀπὸ τὸν οὐρανὸ ἐξ αἰτίας τῆς ὑπερηφανίας, ὁ ὁποῖος ἐνῶ δημιουργήθηκε ἀπὸ τὸν Θεὸ καὶ καταστολίστηκε μὲ κάθε ἀρετὴ καὶ σοφία, δὲν θέλησε νὰ ἀποδώσῃ τὴν αἰτία αὐτῶν στὴν δωρεὰ τοῦ Κυρίου ἀλλὰ στὴν

λὰ τῇ ἰδίᾳ φύσει. Ὅθεν καὶ ἴσον ἑαυτὸν ὑπελάμβανε τοῦ Θεοῦ εἶναι. Καὶ ταύτην αὐτοῦ τὴν ἐνθύμησιν ἐλέγχων ὁ Προφήτης ἔλεγεν· εἶπας ἐν τῇ καρδίᾳ σου, καθιῶ ἐν ὄρει ὑψηλῷ· θήσω τὸν θρόνον μου ἐπὶ τῶν νεφελῶν, καὶ ἔσομαι ὅμοιος τῷ ὑψίστῳ· σὺ δὲ ἄνθρωπος εἶ, καὶ οὐ Θεός[64]. *Καὶ πάλιν ἄλλος Προφήτης λέγει· τί ἐγκαυχᾷ ἐν κακίᾳ ὁ δυνατός*[65]*; Καὶ τὰ ἑξῆς τοῦ ψαλμοῦ. Ταῦτα τοίνυν γινώσκοντες, φοβηθῶμεν, καὶ πάσῃ φυλακῇ τηρήσωμεν τὴν ἑαυτῶν καρδίαν*[66] *ἀπὸ τοῦ θανατηφόρου πνεύματος τῆς ὑπερηφανίας· ἐπιλέγοντες ἑαυτοῖς ἀεὶ τὸ τοῦ Ἀποστόλου, ὅταν ἀρετήν τινα κατορθώσωμεν, τό, οὐκ ἐγὼ δέ, ἀλλ' ἡ χάρις τοῦ Θεοῦ ἡ σὺν ἐμοί*[67]. *Καὶ τὸ ὑπὸ τοῦ Κυρίου εἰρημένον· ὅτι χωρὶς ἐμοῦ, οὐ δύνασθε ποιεῖν οὐδέν*[68]*· καὶ τὸ ὑπὸ τοῦ Προφήτου εἰρημένον· ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες*[69]. *Καὶ τό, οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦντος Θεοῦ*[70]. *Καὶ γὰρ εἰ καὶ μάλιστα ἔσται τις ζέων τῇ προ-*

δική του φύσι. Καὶ κατὰ συνέπειαν αὐτοῦ ἐκλάμβανε τὸν ἑαυτό του, ὅτι εἶναι ἴσος μὲ τὸν Θεό. Καὶ ἐκείνου, τὴν σκέψι αὐτή, ἐλέγχοντας ὁ Προφήτης ἔλεγε: «Εἶπες μέσα στὴν καρδία σου: νὰ ἐφορμήσω σὲ ὄρος ὑψηλό, θὰ τοποθετήσω τὸν θρόνο μου στὰ σύννεφα καὶ θὰ γίνω ὅμοιος μὲ τὸν Ὕψιστο. Ἐσὺ ὅμως εἶσαι ἄνθρωπος καὶ ὄχι Θεός». Καὶ πάλι ἄλλος Προφήτης λέγει: «Γιατὶ ὑπερηφανεύεται μέσα στὴν κακία ὁ δυνατός;», καὶ τὰ ὑπόλοιπα τοῦ ψαλμοῦ. Αὐτὰ λοιπόν, γνωρίζοντας ἂς φοβηθοῦμε καὶ μὲ κάθε προσοχὴ καὶ ἐπιμέλεια ἂς φυλάξουμε τὴν καρδία μας ἀπὸ τὸ θανατηφόρο πνεῦμα τῆς ὑπερηφανίας, λέγοντας ἐπιπλέον πάντοτε στοὺς ἑαυτούς μας, ὅταν κατορθώσουμε κάποια ἀρετή, τόν [λόγο] τοῦ Ἀποστόλου, τό «ὄχι ἐγὼ βέβαια, ἀλλὰ ἡ Χάρις τοῦ Θεοῦ [ποὺ εἶναι] μαζί μου». Καὶ ἐκεῖνο ποὺ εἰπώθηκε ἀπὸ τὸν Κύριο, ὅτι χωρὶς Ἐμένα δὲν μπορεῖτε νὰ κάνετε τίποτα. Καὶ ἐκεῖνο, ποὺ εἰπώθηκε ἀπὸ τὸν Προφήτη: «Ἐὰν ὁ Κύριος δὲν οἰκοδομήσῃ τὸ σπίτι, μάταια κουράστηκαν ἐκεῖνοι, ποὺ τὸ οἰκοδομοῦν». Ἐπίσης, τό «ὄχι ἐκείνου ποὺ θέλει, οὔτε ἐκείνου ποὺ τρέχει, ἀλλὰ τοῦ Θεοῦ ποὺ ἐλεεῖ». Διότι καὶ ἐὰν θὰ εἶναι κάποιος θερμὸς στὴν προ-

θυμίᾳ, καὶ σπουδαῖος τῇ προαιρέσει, σαρκὶ συνδεδεμένος καὶ αἵματι, οὐ δυνήσεται πρὸς τελειότητα φθάσαι, εἰ μὴ τῷ ἐλέει τοῦ Χριστοῦ, καὶ τῇ χάριτι αὐτοῦ. Καὶ γὰρ ὁ Ἰάκωβός φησιν, πᾶσα δόσις ἀγαθή, ἄνωθέν ἐστιν[71]. *Καὶ ὁ ἀπόστολος Παῦλος· τί γὰρ ἔχεις ὃ οὐκ ἔλαβες; Εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι ὡς μὴ λαβών*[72], *ἀλλ' ὡς ἐπὶ ἰδίοις ἐπαιρόμενος; Ὅτι δὲ χάριτι, καὶ ἐλέει Θεοῦ ἡ σωτηρία ἡμῖν προσγίνεται, μάρτυς ἀληθὴς ὁ ληστὴς ἐκεῖνος· ὃς οὐκ ἀρετῆς ἆθλον τὴν Βασιλείαν τῶν οὐρανῶν ἐκομίσατο, ἀλλὰ χάριτι Θεοῦ, καὶ ἐλέει*[73]. *Ταῦτα οἱ Πατέρες ἡμῶν ἐπιστάμενοι πάντες, μιᾷ γνώμῃ παραδεδώκασι, μὴ ἄλλως δύνασθαι πρὸς τελείωσιν ἀρετῆς φθάσαι, εἰμὴ διὰ ταπεινώσεως· ἥτις ἀπὸ πίστεως, καὶ φόβου Θεοῦ, καὶ πρᾳότητος, καὶ τελείας ἀκτημοσύνης προσγίνεσθαι πέφυκε· δι' ὧν καὶ ἡ τελεία ἀγάπη κατορθοῦται. Χάριτι, καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.*

θυμία καὶ φιλόπονος ὡς πρὸς τὴν προαίρεσι, ἐφόσον ἔχει συνδεθῆ μὲ τὴν σάρκα καὶ τὸ αἷμα, δὲν θὰ μπορέση νὰ φθάση στὴν τελειότητα, παρὰ μόνο μὲ τὸ ἔλεος τοῦ Χριστοῦ καὶ τὴν Χάρι Του. Διότι καὶ ὁ Ἰάκωβος λέγει: «Κάθε ἀγαθὸ δῶρο, προέρχεται ἀπὸ πάνω [ἀπὸ τὸν Θεό]». Καὶ ὁ ἀπόστολος Παῦλος: «Τί λοιπὸν ἔχεις, τὸ ὁποῖο δὲν πῆρες [ἀπὸ τὸν Θεό]; Ἐὰν δὲ καὶ πῆρες [ἀπὸ τὸν Θεό], γιατὶ καυχιέσαι, σὰν νὰ μὴν πῆρες, ἀλλὰ μὲ τὴν ἰδέα, ὅτι πάνω στὰ δικά σου ὑπερηφανεύεσαι;» Γιὰ δὲ τό, ὅτι μὲ τὴν Χάρι καὶ τό ἔλεος τοῦ Θεοῦ ἐπέρχεται σ' ἐμᾶς ἡ σωτηρία, μάρτυρας ἀληθινός [εἶναι] ὁ ληστὴς ἐκεῖνος, ὁ ὁποῖος κέρδισε τὴν Βασιλεία τῶν οὐρανῶν ὄχι ὡς ἔπαθλο γιὰ τὴν ἀρετή [του], ἀλλὰ μὲ τὴν Χάρι καὶ τὸ ἔλεος τοῦ Θεοῦ. Ὅλοι οἱ Πατέρες μας ἐπειδὴ αὐτά [τά] γνώριζαν, μὲ μία [κοινή] γνώμη ἔχουν παραδώσει, ὅτι δὲν μπορεῖ νὰ φθάση [κανείς] μὲ ἄλλο τρόπο στὴν ὁλοκλήρωσι τῆς ἀρετῆς, παρὰ μόνο μέσῳ τῆς ταπεινώσεως, ἡ ὁποία ἐκ τῆς φύσεώς της ἐπέρχεται ἀπὸ τὴν πίστι καὶ τὸν φόβο τοῦ Θεοῦ καί [ἀπό] τὴν πραότητα καὶ τὴν τέλεια ἀκτημοσύνη, διὰ τῶν ὁποίων κατορθώνεται καὶ ἡ τέλεια ἀγάπη μὲ τὴν Χάρι καὶ τὴν φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, στὸν ὁποῖο [ἀνήκει] ἡ δόξα στοὺς αἰῶνες. Ἀμήν.

ΣΗΜΕΙΩΣΕΙΣ - ΣΧΟΛΙΑ

ΣΗΜΕΙΩΣΕΙΣ - ΣΧΟΛΙΑ
ΑΓΙΟΥ ΝΙΚΟΔΗΜΟΥ

α' *Ἐν ἄλλοις προστρέχειν.*
β' *Ἐν ἄλλοις τῆς καθάρσεως.*
γ' *Ἐν ἄλλοις προσευχάς.*

ΠΑΡΑΠΟΜΠΕΣ
ΣΕ ΧΩΡΙΑ ΤΗΣ ΑΓΙΑΣ ΓΡΑΦΗΣ

[1] Παροιμ. 24, 15.
[2] Ἰεζεκ. 16, 49.
[3] Ῥωμ. 13, 14.
[4] Παροιμ. 4, 23.
[5] Ματθ. 15, 19.
[6] Ματθ. 23, 26.
[7] Β' Τιμόθ. 2, 5.
[8] Φιλιππ. 3, 20.
[9] Ματθ. 5, 28.
[10] Παροιμ. 4, 23.
[11] Γένεσ. 4, 15.
[12] Ψαλμ. 100, 8.
[13] Ψαλμ. 136, 9.
[14] Ἑβρ. 12, 14.
[15] Ἑβρ. 12, 16.
[16] Πρβ. Δαν. 3, 19 κ.ἑ.
[17] Α' Τιμόθ. 6, 10.
[18] Πρβ. Φιλιππ. 3, 19.
[26] Πράξ. 20, 34.
[27] Β' Κορ. 11, 27.
[28] Πρβ. Β' Τιμόθ. 4, 7.
[29] Πράξ. 22, 25.
[30] Πράξ. 4, 34.
[31] Ῥωμ. 15, 27.
[32] Β' Κορ. 11, 9.
[33] Φιλιππ. 4, 15.
[34] Ματθ. 24, 44.
[35] Λουκ. 12, 20.
[36] Ψαλμ. 6, 8.
[37] Ἐκκλ. 7, 9.
[38] Παροιμ. 15, 1.
[39] Ἰακ. 1, 20.
[40] Παροιμ. 11, 25.
[41] Ἐφεσ. 4, 31.
[42] Λουκ. 4, 23.
[43] Ματθ. 7, 3.
[51] Λευϊτ. 19, 17.
[52] Παροιμ. 12, 28.
[53] Α' Ἰω. 3, 15.
[54] Πρβ. Σοφ. Σειρ. 35, 22.
[55] Ῥωμ. 2, 15.
[56] Ματθ. 5, 22.
[57] Πρβ. Παροιμ. 4, 23.
[58] Ἰὼβ 5, 23.
[59] Β' Κορ. 3, 10.
[60] Γαλ. 5, 22.
[61] Β' Θεσσ. 3, 12.
[62] Α' Κορ. 9, 14.
[63] Ψαλμ. 52, 6.
[64] Πρβ. Ἠσ. 14, 13.
[65] Ψαλμ. 51, 1.
[66] Πρβ. Παροιμ. 4, 23.
[67] Α' Κορ. 15, 10.
[68] Ἰω. 15, 5.


[19] Α΄ Τιμόθ. 6, 10.
[20] Δ΄ Βασ. 5, 25.
[21] Ματθ. 27, 5.
[22] Πράξ. 5, 5,10.
[23] Δευτ. 20, 8.
[24] Πράξ. 20, 35.
[25] Ματθ. 19, 21.

[44] Ψαλμ. 4, 5.
[45] Ψαλμ. 4, 5.
[46] Ἐφεσ. 4, 27.
[47] Μαλαχ. 4, 2.
[48] Ματθ. 5, 23.
[49] Α΄ Θεσσ. 5, 17.
[50] Α΄ Τιμόθ. 2, 8.

[69] Ψαλμ. 126, 1.
[70] Ῥωμ. 9, 16.
[71] Ἰακ. 1, 17.
[72] Α΄ Κορ. 4, 7.
[73] Πρβ. Λουκ. 23, 43.

ΣΗΜΕΙΩΣΕΙΣ

α΄. Ἐδῶ ὁ Ἅγιος Κασσιανὸς κάνει ἀναφορὰ στὸν θεσμὸ τῆς κοινοκτημοσύνης, ὅπως βιωνόταν στὴν ἀρχαία Ἐκκλησία, εἰδικῶς δὲ κάνει μνεία τῆς «λογίας» τοῦ Ἀποστόλου Παύλου (Α΄ Κορ. 16, 1). Συγκεκριμένα, γίνεται ἀναφορὰ στοὺς σχετικοὺς λόγους τοῦ Ἀποστόλου Παύλου στὴν πρὸς Ρωμαίους Ἐπιστολή (Ρωμ. 16,4). Ὁ Ἅγιος Ἰωάννης ὁ Χρυσόστομος, ἑρμηνεύοντας τὸν λόγο τοῦ Ἀποστόλου λέγει, ὅτι οἱ Ἐκκλησίες τῆς Μακεδονίας καὶ Ἀχαΐας εὐδόκησαν, δηλαδὴ ἔκριναν καλὸ καὶ ἐπεθύμησαν νὰ προσφέρουν ὄχι ἐλεημοσύνη ἀλλὰ κάποια «κοινωνία» στοὺς πτωχοὺς ἀπὸ τοὺς Ἁγίους. Ἐπεθύμησαν δηλαδὴ νὰ κάνουν κοινωνοὺς στὰ ὑλικά τους πράγματα τοὺς Χριστιανοὺς τῶν Ἰεροσολύμων, οἱ ὁποῖοι χαρακτηρίζονται ἐδῶ ἀπὸ δύο ἰδιότητες, τῆς πτωχείας καὶ τῆς ἀρετῆς. Δηλώνεται δέ, ὅτι οἱ ἐξ ἐθνῶν Χριστιανοὶ εἶναι ὀφειλέτες στοὺς ἐξ Ἰουδαίων Χριστιανούς, διότι ἔγιναν κοινωνοὶ τῶν πνευματικῶν ἀγαθῶν τους, δεδομένου ὅτι γι᾽ αὐτοὺς καὶ ἀπ᾽ αὐτοὺς δόθηκαν οἱ ὑποσχέσεις, προέρχεται ὁ Χριστός, οἱ Ἀπόστολοι, οἱ Προφῆτες. Ἀπὸ ἐκεῖ ὅλα τὰ ἀγαθά, στὰ ὁποῖα κοινώνησε ὅλη ἡ οἰκουμένη. Ἐὰν λοιπὸν κοινωνήσατε στὰ μεγαλύτερα καὶ παρ᾽ ὅλο, ποὺ τὰ δεῖπνα ἑτοιμάσθηκαν γιὰ ἐκείνους, ἐσεῖς εἰσήλθατε καὶ ἀπολαύσατε τὰ προσφερόμενα ἀγαθά, ὀφείλετε νὰ γίνετε κοινωνοὶ μαζί τους ὄχι μόνο στὰ πνευματικά, ἀλλὰ καὶ στὰ ὑλικά. (Βλ. ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ ΑΓ., *Ἑρμηνεία εἰς τὴν πρὸς Ρωμαίους Ἐπιστολήν, Ὁμιλία Λ΄, PG* 60, 661 – 662 , ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ ΑΓ., *Ἔργα,* «Ὁμιλία ΛΑ΄ (Ρωμ. 15,25-16,4)», *ΕΠΕ* 1985, τόμ. 17, σ.σ. 665 - 669).



2

ΠΡΟΣ ΛΕΟΝΤΙΟΝ ΗΓΟΥΜΕΝΟΝ

ΠΕΡΙ ΤΩΝ ΚΑΤΑ ΤΗΝ ΣΚΗΤΗΝ ΑΓΙΩΝ ΠΑΤΕΡΩΝ ΚΑΙ ΠΕΡΙ ΔΙΑΚΡΙΣΕΩΣ ΛΟΓΟΣ ΩΦΕΛΕΙΑΣ ΠΟΛΛΗΣ ΑΝΑΜΕΣΤΟΣ

ΠΕΡΙ ΤΩΝ ΑΓΙΩΝ ΠΑΤΕΡΩΝ ΠΟΥ ΔΙΑΒΙΟΥΝ ΣΤΗΝ ΣΚΗΤΗ ΚΑΙ ΠΕΡΙ ΔΙΑΚΡΙΣΕΩΣ ΛΟΓΟΣ ΚΑΤΑΜΕΣΤΟΣ ΑΠΟ ΠΟΛΛΗ ΩΦΕΛΕΙΑ

Τὸ χρέος ὅπερ ἐπηγγειλάμην τῷ μακαριωτάτῳ Πάπᾳ Κάστορι, περὶ τῆς διηγήσεως τοῦτε βίου τῶν Ἁγίων Πατέρων, καὶ τῆς τούτων διδασκαλίας, μερικῶς ἀποδεδωκὼς ἐν τοῖς παρ᾽ ἐμοῦ πρὸς αὐτὸν πάλαι γραφεῖσιν, ἁγιώτατε Λεόντιε· περί τε διατυπώσεως κοινοβίων, καὶ περὶ τῶν ὀκτὼ τῆς κακίας λογισμῶν· νῦν προεθέμην ἀποπληρῶσαι. Ἐπειδὴ δὲ μεμάθηκα, ὅτι ἀπολιπὼν ἡμᾶς ὁ προειρημένος ἀρχιερεὺς μετῴκησε πρὸς τὸν Χριστόν, ἀναγκαῖον ἡγησάμην, σοὶ τῷ διαδεξαμένῳ τὴν ἐκείνου ἀρετήν, καὶ τὴν τοῦ μοναστηρίου, σὺν Θεῷ, φροντίδα, τὰ λείποντα τῷ δι-

Τὸ χρέος, τὸ ὁποῖο ὑποσχέθηκα στὸν Μακαριώτατο Ἀρχιεπίσκοπο Ρώμης Κάστορα, ὅσον ἀφορᾶ στὴν διήγησι τοῦ βίου τῶν Ἁγίων Πατέρων, μαζὶ καὶ τῆς διδασκαλίας τους, ἀφοῦ κατὰ ἕνα μέρος ἀπέδωσα σὲ ὅσα ἐδῶ καὶ καιρὸ ἐγράφησαν ἀπὸ ἐμένα πρὸς ἐκεῖνον, Ἁγιώτατε Λεόντιε, σχετικὰ καὶ μὲ τὸν κανονισμὸ τῶν κοινοβίων καὶ περὶ τῶν ὀκτὼ λογισμῶν τῆς κακίας, τώρα [τὸ χρέος ἐκεῖνο] προτίθεμαι νὰ ἀποπληρώσω. Ἐπειδὴ ὅμως ἔχω μάθει, ὅτι ὁ Ἀρχιερέας ποὺ προανεφέρθη, ἀφήνοντάς μας, ἀπῆλθε πρὸς τὸν Χριστό, θεώρησα ἀναγκαῖο, ἀφοῦ συμπληρώσω ἐκεῖνα, τὰ ὁποῖα ἔλειπαν ἀπὸ τὴν διήγησι, νά [τά] ἀποστείλω σὲ σένα, πού ἔγινες ὁ διάδοχος στὴν ἀρετὴ ἐκείνου καὶ στὴν φροντίδα, μὲ τὴν βοήθεια

ηγήματι ἀναπληρώσας ἀποστεῖλαι. Ὅτε τοίνυν ἐν τῇ ἐρήμῳ τῆς σκήτεως, ὅπου τῶν μοναχῶν οἱ δοκιμώτατοι Πατέρες, παραγεγόναμεν ἐγώ τε, καὶ ὁ ἅγιος Γερμανός· ὃς ἐκ πρώτης ἡλικίας φίλος μου πνευματικὸς ἐγεγόνει, ἐν τοῖς παιδευτηρίοις, καὶ ἐν τῇ στρατείᾳ, καὶ ἐν τῷ μονήρει βίῳ· ἐθεασάμεθα τὸν ἀββᾶν Μωυσῆν, ἄνδρα ἅγιον, οὐ μόνον πρακτικαῖς ἀρεταῖς, ἀλλὰ καὶ θεωρίᾳ πνευματικῇ διαλάμποντα. Τοῦτον οὖν παρεκαλοῦμεν μετὰ δακρύων, εἰπεῖν ἡμῖν λόγον οἰκοδομῆς, δι᾽ οὗ δυνησόμεθα ἐπιβῆναι τῆς τελειότητος. Ὅς τις πολλὰ παρακληθεὶς ἔλεγε· τέκνα, πᾶσαι, φησίν, αἱ ἀρεταί, καὶ τὰ ἐπιτηδεύματα, σκοπόν τινα ἔχουσι· πρὸς ὅνπερ οἱ ἀφορῶντες, ἑαυτοὺς ῥυθμίζοντες, τοῦ ποθουμένου τέλους ἐπιτυγχάνουσι. Καὶ γὰρ ὁ γεωργός, ποτὲ μὲν ἡλίου τὴν φλόγα, ποτὲ δὲ τοῦ ψύχους τὸ κρύος ὑπομένων, προθύμως τὴν γῆν ἐργάζεται· σκοπὸν ἔχων, καθαρὰν ταύτην ἀκανθῶν καὶ βοτανῶν ἀποδεῖξαι· τέλος

τοῦ Θεοῦ, τοῦ μοναστηρίου. Ὅταν, λοιπόν, ἐγὼ καὶ ὁ ἅγιος Γερμανός, ὁ ὁποῖος ἀπὸ τὴν παιδικὴ ἡλικία, ἔγινε φίλος μου πνευματικὸς καὶ στὸ σχολεῖο καὶ στὸν στρατὸ καὶ στὸν μοναχικὸ βίο, βρεθήκαμε στὴν ἔρημο τῆς σκήτεως, ὅπου [διαβιοῦν] οἱ πλέον ἔμπειροι Πατέρες, ἀπό [τὴν τάξι] τῶν μοναχῶν, εἴδαμε τὸν ἀββᾶ Μωυσῆ, ἄνθρωπο ἅγιο, ὁ ὁποῖος διακρινόταν ὄχι μόνο στὶς πρακτικὲς ἀρετὲς ἀλλὰ καὶ στὴν πνευματικὴ θεωρία. Αὐτὸν λοιπόν, παρακαλούσαμε μετὰ δακρύων, νὰ μᾶς πῆ λόγο [πνευματικῆς] οἰκοδομῆς, μέσῳ τοῦ ὁποίου θὰ μπορέσουμε νὰ φθάσουμε τὴν τελειότητα. Ἐκεῖνος, ἐπειδὴ δεχόταν ἔντονη τὴν παράκλησι [ἐκ μέρους μας], ἄρχισε νὰ λέῃ: «Παιδιά [μου], ὅλες, λέγω, οἱ ἀρετὲς καὶ τὰ ἔργα ἔχουν κάποιο σκοπό, πρὸς τὸν ὁποῖο, ὅσοι ἀποβλέπουν, ἀφοῦ [πρῶτα] ἀσκήσουν τοὺς ἑαυτούς τους, ἐπιτυγχάνουν τὴν τελικὴ ὁλοκλήρωσι τοῦ σκοποῦ, ποὺ ἐπιθυμοῦν. Διότι καὶ ὁ γεωργὸς ὑπομένοντας ἄλλοτε μὲν τὸν καύσωνα τοῦ ἡλίου, ἄλλοτε δὲ τὴν παγωνιὰ τοῦ ψύχους, μὲ προθυμία καλλιεργεῖ τὴν γῆ ἔχοντας σκοπὸ νὰ τὴν ἀποδώσῃ καθαρὴ ἀπὸ ἀγκάθια καὶ χόρτα. Τελικὴ

δέ, τὴν ἐκ τῶν καρπῶν ἀπόλαυσιν. Καὶ ὁ πραγματευόμενος, οὔτε τοὺς ἐκ θαλάττης, οὔτε τοὺς ἐκ γῆς κινδύνους ὑφορώμενος, προθύμως ἑαυτὸν ἐπιδίδωσι τῇ πραγματείᾳ· σκοπὸν ἔχων, τὸ ἐξ αὐτῆς κέρδος· τέλος δέ, τὴν ἐκ τοῦ κέρδους ἀπόλαυσιν. Καὶ ὁ στρατευόμενος, οὔτε τοὺς ἐκ τῶν πολέμων κινδύνους, οὔτε τὰς ἐκ τῆς ξενιτείας ταλαιπωρίας ὑφορᾶται· σκοπὸν ἔχων, τὴν ἐκ τῆς ἀνδραγαθίας προκοπὴν ἐν ἀξιώματι· τέλος δέ, τὸ ἐκ τοῦ ἀξιώματος κέρδος. Ἔχει τοίνυν καὶ ἡ ἡμετέρα ἐπαγγελία σκοπόν, καὶ τέλος ἴδιον, ὑπὲρ οὗ πάντα πόνον καὶ κάματον ὑπομένομεν προθύμως. Διὰ γὰρ τοῦτο ἡ τῶν νηστειῶν ἀσιτία, οὐ καταπονεῖ ἡμᾶς· ὁ τῶν ἀγρυπνιῶν πόνος, τέρπει· ἡ ἀνάγνωσις καὶ ἡ μελέτη τῶν Γραφῶν, προθύμως γίνεται· καὶ κάματος ἔργου, καὶ ὑπακοή, καὶ γύμνωσις πάντων τῶν γηΐνων πραγμάτων, καὶ ἡ ἐν ταύτῃ τῇ ἐρήμῳ διατριβή, ἡδέως ἐπιτελοῦνται. Ὑμεῖς δὲ καταφρονήσαντες πατρίδος, καὶ

ὁλοκλήρωσι τοῦ σκοποῦ [εἶναι] δέ, ἡ ἀπόλαυσι τῶν καρπῶν. Καὶ ὁ ἐμπορευόμενος δίχως νὰ ὑπολογίζῃ τοὺς κινδύνους οὔτε ἀπὸ τὴν θάλασσα οὔτε ἀπὸ τὴν στεριά, μὲ προθυμία ἀφοσιώνεται στὸ ἐπάγγελμά [του], ἔχοντας σκοπὸ τὸ κέρδος [ποὺ θὰ προέλθῃ] ἀπὸ αὐτό. Τελικὴ ὁλοκλήρωσι δὲ τοῦ σκοποῦ [του] [εἶναι] ἡ ἀπόλαυσι τοῦ κέρδους. Καὶ ὁ στρατευόμενος δὲν ὑπολογίζει τοὺς κινδύνους οὔτε ἀπὸ τοὺς πολέμους οὔτε τὶς ταλαιπωρίες ἀπὸ τὸν ξενιτεμό, ἔχοντας σκοπὸ τὴν ἐξ αἰτίας τῆς ἀνδραγαθίας, ἄνοδο σὲ ἀξίωμα. Τελικὴ ὁλοκλήρωσι δὲ τοῦ σκοποῦ [του] [εἶναι] τὸ κέρδος ἀπὸ τὸ ἀξίωμα. Ἔχει λοιπὸν καὶ ἡ δική μας [μοναχική] πολιτεία τὸν σκοπὸ καὶ τὴν δική της τελικὴ ὁλοκλήρωσι τοῦ σκοποῦ, χάριν τῆς ὁποίας κάθε πόνο καὶ κόπο ὑπομένουμε μὲ προθυμία. Γι᾽ αὐτό [τὸ λόγο] λοιπὸν ἡ ἀσιτία ἀπὸ τὶς νηστεῖες δὲν μᾶς καταπονεῖ, ὁ κόπος τῶν ἀγρυπνιῶν μᾶς εὐχαριστεῖ, ἡ ἀνάγνωσι καὶ ἡ μελέτη τῶν Γραφῶν γίνεται μὲ προθυμία καὶ ὁ μόχθος στὴν ἐργασία καὶ ἡ ὑπακοὴ καὶ ἡ ἀποστέρησι ὅλων τῶν γηΐνων πραγμάτων καὶ ἡ διαβίωσι σ᾽ αὐτὴν ἐδῶ τὴν ἔρημο ἐπιτελοῦνται μὲ ἡδονή. Ἐσεῖς δὲ οἱ ὁποῖοι καταφρονήσατε τὴν πατρίδα καὶ τὴν

γένους, καὶ ὅλου τοῦ κόσμου, καὶ τὴν ξενιτείαν καταδεξάμενοι, καὶ πρὸς ἡμᾶς ἀνθρώπους ἀγροίκους καὶ ἰδιώτας παραγενόμενοι, εἴπατέ μοι ποῖός ἐστιν ὁ ὑμέτερος σκοπός; Καὶ εἰς ὁποῖον τέλος ἀφορῶντες, τοῦτο πεποιήκατε; Ἀποκριθέντες δέ, εἴπομεν· διὰ τὴν βασιλείαν τῶν οὐρανῶν. Πρὸς ὅπερ ὁ ἀββᾶς Μωυσῆς, καλῶς, μέν φησι, περὶ τοῦ τέλους εἰρήκατε· τίς δέ ἐστιν ὁ σκοπός, πρὸς ὃν ἀποβλέποντες, καὶ μὴ ἐκκλίνοντες τῆς εὐθείας ὁδοῦ, δυνάμεθα τυχεῖν τῆς βασιλείας τῶν οὐρανῶν; Οὐκ εἰρήκατε. Καὶ ὅτε ἀγνοεῖν ὡμολογήσαμεν, ὁ γέρων ἀπεκρίνατο· τέλος μὲν οὖν τῆς ἡμετέρας ἐπαγγελίας, ὡς εἴρηται, ἡ βασιλεία ἐστὶ τοῦ Θεοῦ· σκοπὸς δέ, ἡ τῆς καρδίας καθαρότης· ἧς χωρίς, ἀδύνατόν ἐστιν εἰς ἐκεῖνο τὸ τέλος ἐλθεῖν. Ἐν τούτῳ τοίνυν τῷ σκοπῷ, πάντοτε ὁ ἡμέτερος νοῦς ἔστω· κἄν ποτε συμβῇ πρὸς ὀλίγον τὴν καρδίαν τῆς εὐθείας ἐκκλῖναι ὁδοῦ, παραυτίκα ταύτην ἐπανάξωμεν, ὡς

οἰκογένειά [σας] καὶ ὅλον τὸν κόσμο καὶ στέρξατε στὸν ξενιτεμὸ καὶ ἤρθατε σ᾽ ἐμᾶς, [ποὺ εἴμεθα] ἄνθρωποι ἄξεστοι καὶ ἀμαθεῖς, πεῖτε μου ποῖος εἶναι ὁ δικός σας σκοπός; Καὶ ἀποβλέποντας σὲ ποιὰ τελικὴ ὁλοκλήρωσι τοῦ σκοποῦ [σας], [τό] ἔχετε κάνει αὐτό;» Καὶ ἀπαντώντας [σ᾽ ἐκεῖνον], εἴπαμε: «Χάριν τῆς βασιλείας τῶν οὐρανῶν». Σχετικὰ μ᾽ αὐτή [τὴν ἀπάντησί μας], ὁ ἀββᾶς Μωυσῆς εἶπε: Ὅσον ἀφορᾶ στὴν τελικὴ ὁλοκλήρωσι τοῦ σκοποῦ, ἔχετε πεῖ σωστά. Ποιὸς ὅμως εἶναι ὁ σκοπὸς πρὸς τὸν ὁποῖο ἐὰν ἀποβλέπωμε καὶ ἐὰν δὲν παρεκκλίνωμε ἀπὸ τὴν εὐθεῖα ὁδό, μποροῦμε νὰ ἐπιτύχουμε τὴν βασιλεία τῶν οὐρανῶν; Δὲν ἔχετε πεῖ. Καὶ ὅταν παραδεχθήκαμε, ὅτι [τόν] ἀγνοοῦμε, ὁ Γέροντας ἀποκρίθηκε: «Τελικὴ μὲν ὁλοκλήρωσι τοῦ σκοποῦ τῆς δικῆς μας [μοναχικῆς] πολιτείας εἶναι, ὅπως εἰπώθηκε, ἡ βασιλεία τῶν οὐρανῶν. Σκοπὸς ὅμως [εἶναι] ἡ καθαρότητα τῆς καρδίας, χωρὶς τὴν ὁποία εἶναι ἀδύνατον νὰ φθάσουμε σ᾽ ἐκείνη τὴν τελικὴ ὁλοκλήρωσι τοῦ σκοποῦ. Σ᾽ αὐτὸν λοιπὸν τὸν σκοπό, ἂς εἶναι ὁ νοῦς μας πάντοτε καὶ ἂν ποτὲ συμβῇ γιὰ λίγο ἡ καρδία [μας] νὰ παρεκκλίνῃ ἀπὸ τὴν εὐθεία ὁδό, ἀμέσως νὰ τὴν ἐπαναφέρουμε, διευ-

περ τεκτονικῷ κανόνι, τῷ σκοπῷ ἀπευθύνοντες. Τοῦτο καὶ ὁ μακάριος Παῦλος ὁ Ἀπόστολος ἐπιστάμενος, φησί· τῶν μὲν ὄπισθεν ἐπιλανθανόμενος, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος, κατὰ σκοπὸν διώκω, ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως τοῦ Θεοῦ[1]*. Ὑπὲρ τούτου τοίνυν τοῦ σκοποῦ, καὶ ἡμεῖς πάντα διαπραττόμεθα· ὑπὲρ τούτου, πάντων καταφρονοῦμεν, καὶ πατρίδος, καὶ γένους, καὶ χρημάτων, καὶ ὅλου τοῦ κόσμου· ἵνα τὴν καθαρότητα τῆς καρδίας κτησώμεθα. Εἰ δὲ τοῦ σκοποῦ τούτου λήθην ποιησόμεθα, ἐπάναγκές ἐστιν, ὡς ἐν σκοτίᾳ περιπατοῦντας, καὶ ἔξω τῆς εὐθείας βαδίζοντας, πολλὰ προσκόπτειν, καὶ πολλὰ πλανᾶσθαι. Τοῦτο γὰρ πολλοῖς συνέβη· οἵ τινες ἐν ἀρχῇ τῆς ἀποταγῆς καταφρονήσαντες πλούτου, καὶ χρημάτων, καὶ ὅλου του κόσμου, ὕστερον ὑπὲρ δικέλλης, καὶ ῥαφίδος, καὶ καλάμου, καὶ βιβλίου, συγκινοῦσι τὸν θυμόν καὶ τὴν ὀργήν· οὐκ ἂν τοῦτο παθόντες, εἰ ἐμνημόνευον τοῦ σκο-*

θύνοντας [«ἰσιάζοντας»] αὐτήν, [τὴν καρδία μας] μὲ γνώμονα τὸν σκοπό [μας]. Αὐτὸ καὶ ὁ μακάριος Παῦλος, ὁ Ἀπόστολος, ἐπειδὴ γνωρίζει, λέγει: «Ξεχνώντας ἀφ᾽ ἑνός, ὅσα [ἔγιναν] πίσω μου, στὸ παρελθόν, ἀφ᾽ ἑτέρου ἐπεκτεινόμενος σὲ ὅσα [εἶναι] μπροστά μου, στὸ μέλλον, σύμφωνα μὲ τὸν σκοπό [μου], γιὰ τὸ βραβεῖο τῆς ἄνω κλήσεως [τοῦ καλέσματος στὴν Βασιλεία] τοῦ Θεοῦ». Γιὰ χάρι αὐτοῦ, λοιπόν, τοῦ σκοποῦ ἐπιτελοῦμε καὶ ἐμεῖς τὰ πάντα. Γιὰ αὐτόν, καταφρονοῦμε τὰ πάντα, καὶ τὴν πατρίδα καὶ τὴν οἰκογένεια καὶ τὰ χρήματα καὶ ὅλο τὸν κόσμο, ὥστε νὰ ἀποκτήσουμε τὴν καθαρότητα τῆς καρδίας. Ἐὰν ὅμως λησμονήσουμε τὸν σκοπὸ αὐτό, εἶναι ἀναπόφευκτο, ἐπειδὴ περπατᾶμε στὸ σκοτάδι καὶ βαδίζουμε ἔξω ἀπὸ τὴν εὐθεῖα ὁδό, νὰ σκοντάψουμε πολλὲς φορὲς καὶ νὰ ἐξαπατηθοῦμε πολλὲς φορές. Αὐτὸ ἄλλωστε συνέβη σὲ πολλούς, οἱ ὁποῖοι ἐνῶ στὴν ἀρχὴ τῆς ἀποταγῆς [τους] κατεφρόνησαν τὸν πλοῦτο καὶ τὰ χρήματα καὶ ὅλον τὸν κόσμο, ὕστερα γιὰ τὸ σκαλιστήρι καὶ τὴ βελόνα καὶ τὸν κοντυλοφόρο καὶ τὸ βιβλίο, διεγείρουν τὸν θυμὸ καὶ τὴν ὀργή. Δὲν θὰ τὸ πάθαιναν αὐτό, ἐὰν θυμόντουσαν τὸν σκο-

ποῦ, δι' ὅν, πάντων τῶν πραγμάτων κατεφρόνησαν. Διὰ γὰρ τὴν τῶν πλησίον ἀγάπην, πλούτου καταφρονοῦμεν· ἵνα μὴ ὑπὲρ τούτου μαχόμενοι, καὶ τὴν τῆς ὀργῆς διάθεσιν αὐξάνοντες, ἐκπέσωμεν τῆς ἀγάπης. Ὅταν οὖν ἐν ταῖς μικραῖς ὕλαις, τὴν αὐτὴν τῆς ὀργῆς διάθεσιν πρὸς τὸν ἀδελφὸν ἐπιδεικνύμεθα, ἐκπεπτώκαμεν τοῦ σκοποῦ, καὶ ὄφελος οὐδὲν ἡμῖν τῆς ἀποταγῆς. Ὅπερ καὶ ὁ μακάριος Ἀπόστολος ἐπιστάμενος, ἔλεγε· κἂν δῶ τὸ σῶμα μου ἵνα καυθήσωμαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι[2]. Ὅθεν μανθάνομεν τὴν τελείωσιν, οὐ παραχρῆμα τῇ γυμνότητι, καὶ τῇ ἀποταγῇ τῶν πραγμάτων ἐπισυμβαίνειν, ἀλλὰ μετὰ τὴν τῆς ἀγάπης κατόρθωσιν· ἧς τινος τὰ ἰδιώματα, ὁ αὐτὸς Ἀπόστολος διαγράφει· ἡ ἀγάπη, λέγων, οὐ ζηλοῖ, οὐ φυσιοῦται, οὐκ ὀργίζεται, οὐ φθονεῖ, οὐ περπερεύεται, οὐ λογίζεται τὸ κακόν[3]. Ταῦτα δὲ πάντα, καθαρότητα συνίστησι καρδί-

πό, γιὰ τὸν ὁποῖο κατεφρόνησαν ὅλα τὰ πράγματα. Διότι γιὰ τὴν ἀγάπη τῶν πλησίον [ἀδελφῶν] καταφρονοῦμε τὸν πλοῦτο, γιὰ νὰ μὴν ἐκπέσουμε τῆς ἀγάπης, φιλονεικώντας γιὰ χάρι αὐτοῦ [τοῦ πλούτου] καὶ αὐξάνοντας τὴν διάθεσι τῆς ὀργῆς. Ὅταν, λοιπόν, γιὰ ἀσήμαντα ὑλικὰ πράγματα ἐκδηλώνουμε τὴν ἴδια διάθεσι ὀργῆς ἐναντίον τοῦ ἀδελφοῦ, ἔχουμε ἤδη ἐκπέσει τοῦ σκοποῦ καὶ κανένα ὄφελος [δὲν ὑπάρχει] σὲ μᾶς ἐξ αἰτίας τῆς ἀποταγῆς [μας], τὸ ὁποῖο καὶ ὁ μακάριος Ἀπόστολος, ἐπειδὴ [τό] γνώριζε ἔλεγε: «Καὶ ἂν δώσω τὸ σῶμα μου, γιὰ νὰ καῇ, ἀλλὰ δὲν ἔχω ἀγάπη, τίποτα δὲν ὠφελοῦμαι». Ἑπομένως μαθαίνουμε ὅτι ἡ τελείωσι [ὡς πρὸς τὴν ἀρετή] δὲν ἐπέρχεται εὐθὺς ἀμέσως μὲ τὴν ἔνδεια καὶ τὴν ἀπάρνησι τῶν πραγμάτων, ἀλλὰ μετὰ τὸ κατόρθωμα τῆς ἀγάπης, τῆς ὁποίας τὰ χαρακτηριστικὰ ὁ ἴδιος Ἀπόστολος περιγράφει λέγοντας: «Ἡ ἀγάπη δὲν ζηλεύει, δὲν ὑπερηφανεύεται, δὲν ὀργίζεται, δὲν φθονεῖ, δὲν καυχησιολογεῖ, δὲν σκέπτεται τὸ κακό». Ὅλα αὐτὰ βέβαια, συνιστοῦν τὴν καθαρότητα τῆς καρ-

ας. Διὰ ταύτην δεῖ πάντα πράττειν· καὶ χρημάτων καταφρονεῖν· καὶ νηστείας καὶ ἀγρυπνίας ἡδέως ἀνέχεσθαι· καὶ ἀναγνώσμασι καὶ ψαλμοῖς προσομιλεῖν· οὐ μέντοι διὰ τὰ προειρημένα, ἐκείνης ἀμελεῖν, εἴποτε συμβῇ κατά τινα ἀναγκαίαν, καὶ κατὰ Θεὸν ἀσχολίαν, ἀπὸ τῆς συνήθους νηστείας καὶ ἀναγνώσεως ἐμποδισθῆναι. Οὔτε γὰρ τοσοῦτόν ἐστι κέρδος νηστείας, ὅσον ὀργῆς ζημία· οὐδὲ τοσαύτη ἐκ τῆς ἀναγνώσεως ὠφέλεια, ὅση βλάβη ἐκ τοῦ περιφρονῆσαι τοῦ ἀδελφοῦ, καὶ λυπῆσαι τοῦτον. Καὶ γὰρ αἱ νηστεῖαι, καὶ ἀγρυπνίαι, καὶ ἡ μελέτη τῶν Γραφῶν, καὶ ἡ γύμνωσις τοῦ πλούτου, καὶ ἡ ἀποταγὴ ὅλου τοῦ κόσμου, οὐκ ἔστι τελειότης, καθὰ εἴρηται, ἀλλὰ τελειότητος ἐργαλεῖα. Ἐπειδὴ οὐκ ἐν τούτοις εὑρίσκεται ἡ τελειότης, ἀλλὰ διὰ τούτων προσγίνεται. Εἰς μάτην τοίνυν ἐπὶ νηστείᾳ, καὶ ἀγρυπνίᾳ, καὶ ἀκτημοσύνῃ, καὶ ἀναγνώσει Γραφῶν ἐγκαυχώμεθα, ὅταν μὴ τὴν πρὸς τὸν Θεόν, καὶ τὸν πλησίον ἀγάπην

δίας. Γι᾽ αὐτὴν πρέπει νὰ κάνουμε τὰ πάντα. Καὶ τὰ χρήματα νὰ καταφρονοῦμε καὶ μὲ εὐχαρίστησι νὰ ὑπομένουμε τὶς νηστεῖες καὶ τὶς ἀγρυπνίες καὶ νὰ ἀσχολούμεθα μὲ ἀναγνώσματα καὶ ψαλμούς. Ἀλλὰ ὄχι ὅμως χάριν αὐτῶν πού [μόλις] πρὶν εἶπα, νὰ ἀμελήσουμε ἐκείνη [δηλαδὴ τὴν ἀγάπη], ἐὰν κάποτε συμβῇ ἐξ αἰτίας κάποιας ἀναγκαίας καὶ σύμφωνης μέ [τὸ θέλημα] τοῦ Θεοῦ ἀσχολίας, νὰ ἐμποδισθοῦμε ἀπὸ τὴν συνηθισμένη [μας] νηστεία καὶ ἀνάγνωσι. Διότι καὶ τὸ κέρδος τῆς νηστείας δὲν εἶναι τόσο, ὅση [εἶναι] ἡ ζημία τῆς ὀργῆς. Οὔτε [εἶναι] τόση μεγάλη ἡ ὠφέλεια ἀπὸ τὴν ἀνάγνωσι, ὅσο [εἶναι μεγάλη] ἡ βλάβη ἀπὸ τὸ νὰ περιφρονήσῃς τὸν ἀδελφὸ καὶ νὰ τὸν λυπήσῃς. Διότι καὶ οἱ νηστεῖες καὶ οἱ ἀγρυπνίες καὶ ἡ μελέτη τῶν Γραφῶν καὶ ἡ στέρησι τοῦ πλούτου καὶ ἡ ἀποταγὴ ὅλου τοῦ κόσμου, δὲν συνιστοῦν, ὅπως [ἤδη] ἔχει εἰπωθῆ, τὴν τελειότητα, ἀλλὰ τὰ ἐργαλεῖα τῆς τελειότητος, ἐπειδὴ δὲν βρίσκεται σ᾽ αὐτὰ ἡ τελειότητα, ἀλλὰ μέσῳ αὐτῶν ἐπακολουθεῖ. Μάταια ἑπομένως καυχόμεθα γιὰ νηστεία καὶ ἀγρυπνία καὶ ἀκτημοσύνη καὶ ἀνάγνωσι Γραφῶν, ὅταν δὲν κατορθώσαμε τὴν ἀγάπη πρὸς τὸν

κατορθώσωμεν. Ὁ γὰρ κατορθώσας τὴν ἀγάπην, ἐν ἑαυτῷ ἔχει τὸν Θεόν· καὶ ὁ νοῦς αὐτοῦ ἀεὶ μετὰ τοῦ Θεοῦ ἐστι.

Πρὸς ταῦτα ὁ Γερμανός· καὶ τίς δύναται τῇ σαρκὶ ταύτῃ συνδεδεμένος, ἔχειν τὸν νοῦν ἀεὶ μετὰ τοῦ Θεοῦ, ὡς μηδὲν ἄλλο ἐνθυμεῖσθαι; Μὴ περὶ ἐπισκέψεως ἀσθενούντων· μὴ περὶ ὑποδοχῆς ξένων· μὴ περὶ ἐργοχείρου, ἢ τῶν λοιπῶν χρειῶν τοῦ σώματος, ἀναγκαίων οὐσῶν καὶ ἀπαραιτήτων; Τὸ τελευταῖον, πῶς δυνήσεται διάνοια ἀνθρώπου, τὸν ἀόρατον καὶ ἀκατάληπτον Θεὸν ἀεὶ βλέπειν, καὶ ἀχώριστος αὐτοῦ εἶναι. Ὁ Μωυσῆς εἶπεν· ὁρᾷν μὲν ἀεὶ Θεόν, καὶ ἀχώριστον εἶναι αὐτοῦ, τῷ τρόπῳ ᾧ νομίζετε, ἀδύνατον ἀνθρώπῳ σάρκα φοροῦντι, καὶ ἀσθενείᾳ συνεζευγμένῳ. Ἑτέρῳ δὲ τρόπῳ, δυνατὸν ὁρᾷν Θεόν. Ἡ γὰρ τοῦ Θεοῦ θεωρία, πολλαχῶς λαμβάνεται καὶ θεωρεῖται. Καὶ γὰρ ὁ Θεός, οὐκ ἐν μόνῃ τῇ μακαρίᾳ, καὶ ἀκαταλήπτῳ αὐτοῦ οὐσίᾳ γνωρίζεται· τοῦτο γὰρ

Θεὸ καὶ τὸν πλησίον. Διότι ἐκεῖνος ποὺ κατόρθωσε τὴν ἀγάπη ἔχει μέσα του τὸν Θεὸ καὶ ὁ νοῦς του εἶναι πάντοτε μαζὶ μὲ τὸν Θεό».

Σχετικὰ μ᾽ αὐτά [ρώτησε] ὁ Γερμανός: «Καὶ ποιὸς μπορεῖ, ὅταν εἶναι συνδεδεμένος μ᾽ αὐτὴν [ἐδῶ] τὴν σάρκα, νὰ ἔχῃ τὸν νοῦ του πάντοτε προσηλωμένο στὸ Θεό, ὥστε νὰ μὴν σκέπτεται τίποτε ἄλλο; Μήτε γιὰ ἐπίσκεψι ἐκείνων, ποὺ ἀσθενοῦν, μήτε γιὰ τὴν ὑποδοχὴ τῶν ξένων μήτε γιὰ τὸ ἐργόχειρο ἢ τὶς ὑπόλοιπες ἀνάγκες τοῦ σώματος, οἱ ὁποῖες εἶναι ἀναγκαῖες καὶ ἀπαραίτητες; Καὶ τέλος πάντων, πῶς θὰ μπορέσῃ ἡ διάνοια τοῦ ἀνθρώπου νὰ βλέπῃ συνέχεια τὸν ἀόρατο καὶ ἀκατάληπτο Θεὸ καὶ νὰ εἶναι ἀχώριστη ἀπὸ Ἐκεῖνον». Ὁ Μωυσῆς εἶπε, ὅτι τὸ νὰ βλέπῃ μέν [κανείς] πάντοτε τὸν Θεὸ καὶ νὰ εἶναι ἀχώριστος ἀπ᾽ αὐτόν, μὲ τὸν τρόπο μὲ τὸν ὁποῖο νομίζετε, [εἶναι] ἀδύνατον σὲ ἄνθρωπο, ποὺ φέρει σάρκα καὶ εἶναι συνδεδεμένος μὲ τὴν ἀσθένεια. Μὲ ἄλλο ὅμως τρόπο [εἶναι] δυνατόν [ὁ ἄνθρωπος] νὰ βλέπῃ τὸν Θεό. Διότι ἡ θεωρία τοῦ Θεοῦ μὲ πολλοὺς τρόπους κατορθώνεται καὶ ἐνεργεῖται. Καὶ βέβαια ὁ Θεὸς δὲν γνωρίζεται μόνον ἐντὸς τῆς μακαρίας καὶ ἀκαταλήπτου Αὐτοῦ οὐσίας. Διότι αὐ-

ἐν τῷ μέλλοντι αἰῶνι, τοῖς Ἁγίοις αὐτοῦ μόνοις τετήρηται· ἀλλὰ καὶ ἐκ τῆς μεγαλειότητος, καὶ καλλονῆς τῶν αὐτοῦ κτισμάτων· καὶ ἐκ τῆς καθ' ἡμέραν γινομένης διοικήσεως αὐτοῦ καὶ προνοίας, γνωρίζεται· καὶ ἐκ τῆς δικαιοσύνης αὐτοῦ· καὶ ἐκ τῶν θαυμασίων, ὧν καθ' ἑκάστην γενεὰν εἰς τοὺς Ἁγίους αὐτοῦ ἐπιδείκνυται. Ὅταν γὰρ ἐννοήσωμεν τὸ ἀμέτρητον τῆς αὐτοῦ δυνάμεως· καὶ τὸν ἀκοίμητον αὐτοῦ ὀφθαλμόν, τὸν τὰ κρυπτὰ τῶν καρδιῶν ἐφορῶντα, καὶ ὅν λαθεῖν οὐδὲν δύναται· φόβῳ καρδίας συσχεθέντες, τοῦτον θαυμάζομέντε καὶ προσκυνοῦμεν. Ὅταν ἐννοήσωμεν ὅτι ἀριθμηταὶ αὐτῷ εἰσι σταγόνες ὑετοῦ[4]*, καὶ ψάμμος θαλάσσης, καὶ ἀστέρες οὐρανοῦ, ἐκπληττόμεθα ἐπὶ τῷ μεγαλείῳ τῆς φύσεως καὶ τῆς σοφίας. Ὅταν ἐννοήσωμεν τὴν ἄρρητον καὶ ἀδιήγητον αὐτοῦ σοφίαν, καὶ φιλανθρωπίαν, καὶ τὴν ἀκατάληπτον μακροθυμίαν, βαστάζουσαν τὰ ἀναρίθμητα πταίσματα τῶν ἁμαρτανόντων, δοξάζομεν*

τὸ ἐπιφυλάσσεται μόνο γιὰ τοὺς Ἁγίους Αὐτοῦ στὸν μέλλοντα αἰῶνα. Ἀλλὰ γνωρίζεται καὶ ἀπὸ τὸ μεγαλεῖο καὶ τὴν ὡραιότητα τῶν δημιουργημάτων Του καὶ ἀπὸ τὴν καθημερινὴ διακυβέρνησι καὶ πρόνοιά Του καὶ ἀπὸ τὴν δικαιοσύνη Του καὶ ἀπὸ τὰ θαυμαστά [σημεῖα], τὰ ὁποῖα σὲ κάθε γενεά [ἀνθρώπων] παρουσιάζει στοὺς Ἁγίους Του. Διότι, ὅταν ἐννοήσουμε τὸ ἀμέτρητο τῆς δυνάμεώς Του καὶ τὸν ἀκοίμητο ὀφθαλμό Του, ὁ ὁποῖος ἐπιβλέπει τὰ κρύφια τῶν καρδιῶν καὶ τοῦ ὁποίου τίποτε δὲν μπορεῖ νὰ διαφύγῃ τὴν προσοχή, ἀφοῦ καταληφθοῦμε ἀπὸ τὸν φόβο τῆς καρδίας [μας], Αὐτὸν καὶ θαυμάζουμε καὶ προσκυνοῦμε. Ὅταν ἐννοήσουμε, ὅτι εἶναι δυνατὸν νὰ ἀριθμηθοῦν ἀπ' Αὐτὸν οἱ σταγόνες τῆς βροχῆς καὶ ἡ ἄμμος τῆς θαλάσσης καὶ τὰ ἀστέρια τοῦ οὐρανοῦ, ἐκπληττόμεθα ἀπὸ τὸ μεγαλεῖο τῆς φύσεως καὶ τῆς σοφίας. Ὅταν ἐννοήσουμε τὴν ἄρρητη καὶ ἀπερίγραπτη Αὐτοῦ σοφία καὶ φιλανθρωπία καὶ τὴν ἀκατάληπτη μακροθυμία, ἡ ὁποία σηκώνει τὰ ἀναρίθμητα σφάλματα ὅσων ἁμαρτάνουν, Τὸν δο-

τοῦτον. Ὅταν ἐννοήσωμεν τὴν μεγάλην αὐτοῦ εἰς ἡμᾶς ἀγάπην, ὅτι μηδὲν ἀγαθὸν ἡμῶν ἐργασαμένων, κατηξίωσεν ἄνθρωπος γενέσθαι, Θεὸς ὤν, ἵνα σώσῃ ἡμᾶς ἐκ τῆς πλάνης, διεγειρόμεθα πρὸς τὸν πόθον αὐτοῦ. Ὅταν ἐννοήσωμεν, ὅτι τὸν ἀντίδικον ἡμῶν διάβολον[5] *αὐτὸς ἐν ἡμῖν νικῶν, ὑπὲρ μόνης τῆς προαιρέσεως, καὶ τῆς ἐπὶ τὸ ἀγαθὸν νεύσεως, αἰωνίαν ἡμῖν δωρεῖται ζωήν, προσκυνοῦμεν αὐτόν. Εἰσὶ δὲ καὶ ἄλλαι τοιουτότροποι ἀναρίθμητοι θεωρίαι, αἵτινες κατὰ τὴν ἀναλογίαν τῆς ἐργασίας ἡμῶν, καὶ κατὰ τὸ μέτρον τῆς καθάρσεως ἐν ἡμῖν ἀναφύονται, δι' ὧν ὁρᾶται Θεὸς καὶ νοεῖται. Πάλιν οὖν ἠρώτησεν ὁ Γερμανός· πόθεν οὖν συμβαίνει τοῦτο; Ὅτι πολλάκις μὴ θελόντων ἡμῶν, πολλαὶ ἐνθυμήσεις, καὶ πονηροὶ λογισμοὶ παρενοχλοῦσι, καὶ σχεδὸν ἀγνοούντων ἡμῶν, κλέπτουσιν ἡμᾶς, λανθανόντως καὶ λεπτῶς ἐπεισερχόμενοι· ὡς μὴ μόνον μὴ δύνασθαι κωλύειν ἔρχεσθαι αὐτούς, ἀλ-*

ξάζουμε. Ὅταν ἐννοήσουμε τὴν μεγάλη Του ἀγάπη γιὰ μᾶς, ὅτι δηλαδή, ἐνῶ τίποτε τὸ ἀγαθὸ δὲν ἐργαστήκαμε, [μᾶς] ἔκανε τὴν τιμὴ νὰ γίνῃ ἄνθρωπος, ἐνῶ εἶναι ὁ Θεός, γιὰ νὰ μᾶς σώσῃ ἀπὸ τὴν πλάνη, διεγειρόμεθα πρὸς τὸν πόθο Του. Ὅταν ἐννοήσουμε, ὅτι μὲ τὸ νὰ νικᾷ ὁ Ἴδιος μέσα μας τὸν ἐχθρό μας, τὸν διάβολο, [ὅμως] καὶ μόνον γιὰ χάρι τῆς προαιρέσεως καὶ τῆς ροπῆς [μας] πρὸς τὸ ἀγαθό, μᾶς δωρίζει τὴν αἰώνιο ζωή, Τὸν προσκυνοῦμε. Ὑπάρχουν δὲ καὶ ἄλλες παρόμοιες ἀναρίθμητες θεωρίες, μέσῳ τῶν ὁποίων ὁρᾶται ὁ Θεός καὶ νοεῖται, οἱ ὁποῖες παρουσιάζονται μέσα μας σύμφωνα μὲ τὴν ἀναλογία τῆς ἐργασίας μας καὶ κατὰ τὸ μέτρο τῆς ἐντός μας καθαρότητος. Ρώτησε λοιπόν, πάλι ὁ Γερμανός: «Πῶς συμβαίνει πράγματι αὐτό; Γιατὶ πολλὲς φορές, ἐνῶ ἐμεῖς δὲν θέλουμε, πολλὲς σκέψεις καὶ πονηροὶ λογισμοὶ μᾶς ἐνοχλοῦν ἔντονα καὶ δίχως σχεδὸν νὰ τοὺς ἀντιληφθοῦμε μᾶς κλέπτουν εἰσχωρώντας μέσα [στὸν νοῦ μας] κρυφὰ καὶ ἀνεπαίσθητα, ὥστε ὄχι μόνο νὰ μὴν μποροῦμε νὰ τοὺς ἐμποδίσουμε νὰ ἔρχωνται, ἀλλὰ

λὰ καὶ δυσχέρειαν πολλὴν εἶναι ἐπιγινώσκειν αὐτούς; Καὶ εἰ δυνατόν ἐστι τὴν διάνοιαν παντελῶς σχολάζειν ἀπὸ τούτων, καὶ μηδαμῶς παρεχοχλεῖσθαι, μαθεῖν ἀξιοῦμεν. Ὁ Μωυσῆς εἶπεν· διάνοιαν μὲν μὴ παρενοχλεῖσθαι ταῖς ἐνθυμήσεσι ταύταις, ἀδύνατον· δέχεσθαι δὲ ταύτας, καὶ ἐμμελετᾷν αὐταῖς, ἢ ἀποῤῥίπτειν αὐτάς, παντὶ τῷ σπουδάζοντι δυνατόν. Ὥσπερ γὰρ τὸ ἔρχεσθαι αὐτάς, οὐκ ἔστιν ἐν ἡμῖν· οὕτως ἡ ἀποδίωξις αὐτῶν, ἐν ἐξουσίᾳ κεῖται ἡμῶν· καὶ ἡ ἐπανόρθωσις δὲ τῆς ἡμετέρας διανοίας, ἐν τῇ ἡμῶν ἐστι προαιρέσει, καὶ σπουδῇ. Ὅταν γὰρ συνετῶς, καὶ συνεχῶς μελετῶμεν τὸν νόμον τοῦ Θεοῦ, εἰς ψαλμούς τε καὶ ᾠδὰς ἀδολεσχῶμεν, νηστείαις τε καὶ ἀγρυπνίαις προσασχολώμεθα, καὶ μνημονεύωμεν συνεχῶς τῶν μελλόντων, τῆς τε βασιλείας τῶν οὐρανῶν, καὶ τῆς γεέννης τοῦ πυρός, καὶ πάντων τῶν ἔργων τοῦ Θεοῦ, οἱ πονηροὶ λογισμοὶ ἐλαττοῦνται, καὶ τόπον οὐχ εὑρίσκουσιν. Ὅταν δὲ κο-

καὶ νὰ ὑπάρχῃ μεγάλη δυσκολία [ἀκόμα καὶ] νὰ τοὺς ἀντιληφθοῦμε; Καὶ ζητοῦμε νὰ μάθουμε, ἐὰν εἶναι δυνατὸν ἡ διάνοια νὰ μὴν παρενοχλῆται καθόλου καὶ νὰ μείνῃ ἐντελῶς ἀργὴ ἀπ᾽ αὐτούς [τοὺς λογισμούς]». Ὁ Μωυσῆς, εἶπε: «Τὸ νὰ μὴν παρενοχλῆται βέβαια ἡ διάνοια ἀπὸ αὐτὲς τὶς σκέψεις [εἶναι] ἀδύνατον. Τὸ νὰ δέχεται ὅμως αὐτὲς καὶ νὰ τὶς μελετᾷ ἐντός του [νὰ ἐνασχολῆται] ἢ νὰ τὶς ἀπορρίπτῃ [εἶναι] δυνατὸν στὸν καθένα, ποὺ εἶναι προσεκτικὸς καὶ ἐπιμελής, [ποὺ ἔχει νῆψι]. Διότι, ἐφόσον τό [πρόβλημα], ὅτι αὐτές [οἱ σκέψεις] ἔρχονται, δὲν ὑπάρχει μέσα μας, ὡς ἐκ τούτου ἡ ἐκδίωξι αὐτῶν, βρίσκεται στὴν ἐξουσία μας καὶ ἡ ἐπανόρθωσι βέβαια τῆς διανοίας μας εἶναι στὴν προαίρεσι καὶ στὴν ἐπιμέλειά μας. Διότι ὅταν μὲ φρόνησι καὶ συνέχεια [παντοτινά] μελετοῦμε τὸν νόμο τοῦ Θεοῦ, [ὅταν] ἀδολεσχοῦμε [ἀσχολούμεθα καὶ μελετοῦμε ἐσωτερικά] ψαλμοὺς καὶ ᾠδές, [ὅταν] ἐπιδιδώμεθα ἐπιπλέον σὲ νηστεῖες καὶ ἀγρυπνίες καὶ σκεπτώμαστε συνεχῶς αὐτὰ ποὺ θὰ γίνουν στὸ μέλλον, [δηλαδὴ] καὶ τὴν Βασιλεία τῶν οὐρανῶν καὶ τὴν γέεννα τοῦ πυρὸς καὶ ὅλα τὰ ἔργα τοῦ Θεοῦ, [τότε] οἱ πονηροὶ λογισμοὶ ἐλαττώνονται καὶ δὲν βρίσκουν τόπο [νὰ σταθοῦν]. Ὅταν ὅ-

σμικαῖς φροντίσι καὶ σαρκικοῖς πράγμασιν ἐνασχολώμεθα, καὶ ὁμιλίαις ματαίαις, ἢ ἀργαῖς ἑαυτοὺς ἐκδιδόαμεν, πλεονάζουσιν ἐν ἡμῖν οἱ φαῦλοι λογισμοί. Ὥσπερ γὰρ μύλον ἐξ ὑδάτων κινούμενον, ἀδύνατον ἀργῆσαι τῆς κινήσεως· ἐν ἐξουσίᾳ δέ ἐστι τοῦ ἐφεστῶτος τῷ μύλῳ σῖτον ἀλέσαι, ἢ ζιζάνιον· οὕτως ἡ διάνοια ἡμῶν ἀεικίνητος οὖσα, οὐ δύναται ἀργεῖν ἀπὸ λογισμῶν· ἐν ἡμῖν δέ ἐστι, δοῦναι αὐτῇ, ἢ πνευματικὴν μελέτην, ἢ σαρκικὴν ἐργασίαν. Πρὸς ταῦτα θαυμάζοντας ἡμᾶς ὁ γέρων βλέπων, καὶ ἐκπληττομένους, καὶ πρὸς τοὺς λόγους αὐτοῦ ἀκορέστῳ πόθῳ διακειμένους, πρὸς ὀλίγον σιωπήσας, πάλιν εἶπεν· Ἐπειδὴ εἰς μῆκος τοσοῦτον, τὸν λόγον ἐξέτεινεν ὁ ὑμέτερος πόθος, καὶ ἔτι πρόθυμοί ἐστε· ὡς ἐκ τούτου στοχάζεσθαί με, διψᾷν ὑμᾶς ἐν ἀληθείᾳ τῆς τελειότητος τὴν διδαχήν· βούλομαι ὑμῖν περὶ τοῦ ἐξαιρέτου ἀγαθοῦ τῆς διακρίσεως, διαλεχθῆναι· ἥτις μεταξὺ τῶν λοιπῶν ἀρετῶν,

μως ἀσχολούμεθα μὲ κοσμικὲς φροντίδες καὶ σαρκικὲς ὑποθέσεις καὶ παραδίδουμε τοὺς ἑαυτούς μας σὲ μάταιες ἢ ἀργὲς συνομιλίες, πλεονάζουν μέσα μας οἱ πονηροὶ λογισμοί. Διότι, ὅπως ἀκριβῶς ὁ μύλος ποὺ κινεῖται ἀπὸ τὰ νερά [εἶναι] ἀδύνατον νὰ σταματήσῃ τὴν κίνησί του, ἀλλὰ εἶναι στὴν ἐξουσία ἐκείνου ποὺ ἐπιστατεῖ τὸν μύλο νὰ ἀλέσῃ σιτάρι ἢ ζιζάνια, κατὰ τὸν ἴδιο τρόπο ἡ διάνοιά μας, ἡ ὁποία εἶναι ἀεικίνητη, δὲν μπορεῖ νὰ καταπαύσῃ ἀπὸ τοὺς λογισμούς. Σ᾽ ἐμᾶς ὅμως βρίσκεται [ἡ ἐξουσία] νὰ δώσουμε σ᾽ αὐτὴν ἢ πνευματικὴ μελέτη ἢ σαρκικὴ ἀσχολία». Καθὼς ὁ Γέροντας μᾶς ἔβλεπε, ὅτι θαυμάζαμε γι᾽ αὐτά, καὶ ἤμαστε γεμάτοι κατάπληξι καὶ ὅτι διακατεχόμαστε ἀπὸ ἀκόρεστο πόθο γιὰ τοὺς λόγους του, ἀφοῦ σιώπησε γιὰ λίγο, εἶπε: «Ἐπειδὴ ὁ πόθος σας παράτεινε σὲ τόσο πολὺ μάκρος τὸν λόγο καὶ ἀκόμη εἶστε πρόθυμοι [νὰ ἀκούσετε], ὡς ἐκ τούτου [μὲ κάνετε] νὰ σκέπτωμαι ὅτι ἐσεῖς διψᾶτε ἀληθινὰ γιὰ τὴν διδαχὴ τῆς τελειότητος. Ἐπιθυμῶ νὰ συνδιαλεχθῶ μὲ σᾶς σχετικὰ μὲ τὸ ξεχωριστὸ ἀγαθὸ τῆς διακρίσεως, ἡ ὁποία μεταξὺ τῶν ὑπολοίπων ἀρετῶν,

ἀκρόπολίς τις, καὶ βασιλὶς τυγχάνει. Καὶ δεῖξαι τὴν ὑπεροχὴν αὐτῆς, καὶ τὸ ὕψος, καὶ τὴν ὠφέλειαν, οὐ μόνον ἐκ τῶν ἡμετέρων λόγων, ἀλλὰ καὶ ἀρχαίαις τῶν Πατέρων γνώμαις, τοῦ Κυρίου τὴν χάριν κατὰ τὴν ἀξίαν καὶ τὸν πόθον τῶν ἀκροωμένων, τοῖς ἐξηγουμένοις παρέχοντος. Ἔστι γὰρ οὐ μικρὰ ἀρετή, ἀλλὰ καὶ τῶν ἐπισημοτάτων τοῦ Ἁγίου Πνεύματος χαρισμάτων τυγχάνουσα· ἐν οἷς φησιν ὁ Ἀπόστολος· ἄλλῳ δίδοται διὰ τοῦ Πνεύματος, λόγος σοφίας· ἄλλῳ, λόγος γνώσεως, κατὰ τὸ αὐτὸ πνεῦμα· ἄλλῳ, πίστις, ἐν τῷ αὐτῷ πνεύματι· ἄλλῳ, χαρίσματα ἰαμάτων· ἄλλῳ, διακρίσεις πνευμάτων[6]. Εἶτα συμπληρωθέντος τοῦ καταλόγου τῶν πνευματικῶν χαρισμάτων, ἐπιφέρει· πάντα δὲ ταῦτα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα. Ὁρᾶτε τοίνυν οὐ γήινον, οὐδὲ μικρὸν εἶναι τῆς διακρίσεως τὸ δῶρον, ἀλλὰ τῆς θείας χάριτος μέγιστον δῶρον· ᾗ τινι εἰ μὴ ὁ μοναχὸς πάσῃ δυνάμει καὶ σπουδῇ ἐπακο-

ἀναγνωρίζεται [ὡς] κάποια ἀκρόπολι καὶ βασίλισσα. Καὶ νά [σᾶς] ἀποδείξω τὴν ὑπεροχή της καὶ τὸ ὕψος καὶ τὴν ὠφέλειά [της] ὄχι μόνο ἐκ τῶν λόγων μου, ἀλλὰ καὶ μὲ τὶς παλαιὲς γνῶμες τῶν Πατέρων, ἐπειδὴ ὁ Κύριος παρέχει τὴν Χάρι σ' ἐκείνους ποὺ ἑρμηνεύουν, σύμφωνα μὲ τὴν ἀξία καὶ τῶν πόθο ἐκείνων ποὺ παρακολουθοῦν. Εἶναι λοιπόν [ἡ διάκρισι] μία ἀρετή, ὄχι μικρή, ἀλλὰ ἡ ὁποία καὶ τὰ πλέον ἐπίσημα ἀπὸ τὰ χαρίσματα τοῦ Ἁγίου Πνεύματος κατορθώνει, γιὰ τὰ ὁποῖα λέγει ἐπιπλέον ὁ Ἀπόστολος: «Σὲ ἄλλον δίδεται διὰ τοῦ [Ἁγίου] Πνεύματος λόγος σοφίας· σὲ ἄλλον λόγος γνώσεως κατὰ τὸ ἴδιο Πνεῦμα· σὲ ἄλλον πίστι ἐν τῷ ἰδίῳ Ἁγίῳ Πνεύματι. Σὲ ἄλλον [δίδονται] χαρίσματα ἰαμάτων, σὲ ἄλλον διακρίσεις πνευμάτων». Ἔπειτα, ἀφοῦ συμπληρώθηκε ὁ κατάλογος τῶν πνευματικῶν χαρισμάτων, προσθέτει: «Ὅλα δὲ αὐτά [τά] ἐνεργεῖ τὸ ἕνα καὶ τὸ αὐτό [Ἅγιον] Πνεῦμα». Βλέπετε λοιπόν, ὅτι δὲν εἶναι οὔτε γήϊνο, οὔτε μικρὸ τὸ χάρισμα τῆς διακρίσεως, ἀλλὰ τὸ μέγιστο δῶρο τῆς θείας Χάριτος, στὴν ὁποία, ἐὰν ὁ μοναχὸς μὲ ὅλη τὴν δύναμι καὶ τὴν ἐπιμέλειά [του] δὲν ὑπακού-

λουθήσῃ καὶ τῶν ἀνερχομένων εἰς αὐτὸν πνευμάτων τὴν διάκρισιν βεβαίῳ λογισμῷ κτήσηται, ἐπάναγκές ἐστιν αὐτόν, ὡς ἐν νυκτὶ πλανώμενον, οὐ μόνον τοῖς χαλεπωτάτοις τῆς κακίας βόθροις περιπίπτειν, ἀλλὰ καὶ ἐν τοῖς ὁμαλοῖς καὶ ὀρθοῖς προσκόπτειν. Μέμνημαι γοῦν ποτε ἐν τοῖς χρόνοις τῆς νεότητός μου, γενόμενος ἐν τοῖς μέρεσι Θηβαΐδος, ὅπου ὁ μακάριος Ἀντώνιος διέτριβε, Γέροντας συναχθῆναι πρὸς αὐτόν, καὶ ζήτησιν μετ᾽ αὐτοῦ ποιεῖσθαι περὶ τελειότητος ἀρετῆς· ποία ἄρα πασῶν ἂν εἴη μείζων τῶν ἀρετῶν, καὶ δυναμένη τὸν μοναχὸν ἐκ τῶν δικτύων τοῦ διαβόλου καὶ τῆς ἀπάτης αὐτοῦ, ἀβλαβῆ διαφυλάττειν; Ἕκαστος τοίνυν, κατὰ τὴν κατάληψιν τῆς αὐτοῦ διανοίας, ἐδίδου γνώμην. Καὶ οἱ μέν, ἔλεγον νηστείαν καὶ ἀγρυπνίαν· ὡς διὰ τούτων τῆς διανοίας λεπτυνομένης, καὶ ἁγνείας προσγινομένης, εὐχερέστερον τῷ Θεῷ δύνασθαι προσεγγίζειν. Ἄλλοι δέ, τὴν ἀκτημοσύνην, καὶ καταφρόνη-

σῃ καὶ ἐὰν δὲν ἀποκτήσῃ μὲ ἀκλόνητο λογισμὸ τὴν διάκρισι τῶν πνευμάτων, ποὺ ἀνεβαίνουν [στὸν νοῦν του], εἶναι ἀναπόφευκτο, ὡσὰν νὰ περιπλανᾶται κατὰ τὴν νύκτα, ὅτι αὐτὸς ὄχι μόνον ὑποπίπτει στοὺς φοβερώτερους βόθρους τῆς κακίας ἀλλὰ καὶ στὰ ἐπίπεδα καὶ τὰ ἰσώματα σκοντάφτει. Θυμᾶμαι, γιὰ παράδειγμα, κάποτε στοὺς χρόνους τῆς νεότητός μου, ὅταν πῆγα στὰ μέρη τῆς Θηβαΐδος, ὅπου διέμενε ὁ μακάριος Ἀντώνιος, ὅτι Γέροντες συναθροίστηκαν σ᾽ αὐτὸν καὶ συζητοῦσαν μαζί του γιὰ τὴν τελειότητα τῆς ἀρετῆς, ποιὰ νὰ εἶναι ἄραγε ἡ μεγαλύτερη ἀπὸ ὅλες τὶς ἀρετὲς καὶ ἐκείνη, ποὺ μπορεῖ νὰ διαφυλάξῃ ἀβλαβῆ τὸν μοναχὸ ἀπὸ τὰ δίκτυα τοῦ διαβόλου καὶ τῆς ἀπάτης του; Ὁ καθένας, λοιπόν, σύμφωνα μὲ τὴν ἀντίληψι τῆς δικῆς του διανοίας, ἔδινε τήν γνώμη [του]. Καὶ ἄλλοι μὲν ἔλεγαν, ὅτι ἡ νηστεία καὶ ἡ ἀγρυπνία [εἶναι οἱ μεγαλύτερες ἀπὸ τὶς ἀρετές]. Διότι, ἐπειδὴ μέσῳ αὐτῶν ἐκλεπτύνεται ἡ διάνοια καὶ ἐπέρχεται ἡ ἁγνότητα [ἔλεγαν] ὅτι εὐκολώτερα μπορεῖ [ὁ ἄνθρωπος] νὰ πλησιάζῃ στὸν Θεό. Ἄλλοι δέ [ἔλεγαν] ὅτι ἡ ἀκτημοσύνη καὶ ἡ καταφρόνη-

σιν τῶν οἰκείων πραγμάτων· ὡς ἐκ τούτου τῆς διανοίας ἐκλυτρουμένης τῶν πολυπλόκων σχοινίων τῆς κοσμικῆς μερίμνης, δύνασθαι εὐχερέστερον τῷ Θεῷ προσεγγίζειν. Ἄλλοι τῆς ἐλεημοσύνης τὴν ἀρετὴν προέκριναν· ὡς τοῦ Κυρίου ἐν Εὐαγγελίοις λέγοντος· δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου· ἐπείνασα γάρ, καὶ ἐδώκατέ μοι φαγεῖν· καὶ τὰ ἑξῆς[7]. Καὶ ὅτε τοῦτον τὸν τρόπον, διαφόροις ἀρεταῖς ἕκαστος, κατὰ τὴν δοκοῦσαν αὐτῷ γνώμην, ἔλεγε Θεῷ μᾶλλον δύνασθαι τὸν ἄνθρωπον προσεγγίζειν, καὶ παρεληλύθει τὸ πολὺ μέρος τῆς νυκτός, τῇ ζητήσει ταύτῃ προσαναλωθέν· ἔσχατος πάντων ὁ μακάριος Ἀντώνιος ἀπεκρίνατο· ταῦτα μὲν πάντα, ἃ εἰρήκατε, καὶ ἀναγκαῖα τυγχάνει, καὶ συμφέροντα τοῖς ζητοῦσι τὸν Θεόν, καὶ πρὸς αὐτὸν ἐπιθυμοῦσι ἐλθεῖν· ἀλλὰ ταύταις ταῖς ἀρεταῖς τὰ πρωτεῖα παρασχεῖν οὐ συγχω-

σι τῶν δικῶν μας πραγμάτων [εἶναι οἱ μεγαλύτερες ἀπὸ τὶς ἀρετές]. Διότι ἐξ αἰτίας αὐτοῦ ἡ διάνοια ἀπαλλασσόμενη ἀπὸ τὰ πολύπλοκα δεσμὰ τῆς κοσμικῆς μέριμνας [ἔλεγαν] ὅτι εὐκολώτερα μπορεῖ [ὁ ἄνθρωπος] νὰ πλησιάζῃ στὸν Θεό. Ἄλλοι ξεχώριζαν τὴν ἀρετὴ τῆς ἐλεημοσύνης, ὅπως τὸ λέγει ὁ Κύριος στὰ Εὐαγγέλια: «Ἐλᾶτε οἱ εὐλογημένοι τοῦ Πατρός μου νὰ κληρονομήσετε τὴν ἑτοιμασμένη γιὰ σᾶς βασιλεία ἀπὸ καταβολῆς κόσμου, διότι ἐπείνασα καὶ μοῦ δώσατε νὰ φάγω», καὶ τὰ ἑξῆς. Καὶ ὅταν μὲ αὐτόν τὸν τρόπο, ἔλεγε ὁ καθένας, σύμφωνα μὲ τὴν γνώμη, ποὺ τοῦ φαινόταν σωστή, ὅτι μέσῳ διαφορετικῶν ἀρετῶν μπορεῖ ὁ ἄνθρωπος νὰ πλησιάζῃ τὸν Θεὸ καὶ πέρασε τὸ μεγαλύτερο μέρος τῆς νύκτας, τὸ ὁποῖο δαπανήθηκε στὴν συζήτησι αὐτή, τελευταῖος ὅλων ἀποκρίθηκε ὁ μακάριος Ἀντώνιος: «Ὅλα βέβαια αὐτά, τὰ ὁποῖα εἴπατε καὶ ἀναγκαῖα τυχαίνει νὰ εἶναι καὶ συμφέροντα γιὰ ἐκείνους, ποὺ ἐπιζητοῦν τὸν Θεὸ καὶ ἐπιθυμοῦν νὰ ἔρθουν πρὸς Αὐτόν. Ἀλλὰ δὲν μᾶς ἐπιτρέπει νὰ προσφέρουμε σ᾽ αὐτὲς τὶς ἀρετὲς τὰ

ρεῖ ἡμῖν, τὸ εὑρηκέναι ἡμᾶς πολλοὺς καὶ νηστείαις καὶ ἀγρυπνίαις κατατριβέντας, καὶ ἐν ἐρήμῳ ἑαυτοὺς ἀποχωρήσαντας· καὶ ἀκτημοσύνην εἰς ἄκρον ἀσκήσαντας οὕτως, ὡς μηδὲ τὴν καθημερινὴν τροφὴν ἑαυτοῖς καταλιμπάνειν· καὶ τὴν ἐλεημοσύνην κατορθώσαντας ἐπιτοσοῦτον, ὡς μὴ ἐπαρκεῖν αὐτοῖς τὰ ὄντα πρὸς διάδοσιν· καὶ μετὰ ταῦτα, ἐλεεινῶς ἐκπεπτωκότας τῆς ἀρετῆς, καὶ πρὸς κακίαν ὀλισθήσαντας. Τί τοίνυν τὸ ποιῆσαν αὐτοὺς ἀποσφαλῆναι τῆς εὐθείας ὁδοῦ; Οὐκ ἄλλο τι, κατὰ τὸν ἐμὸν ὅρον, καὶ τὴν ἐμὴν γνώμην, ἢ τὸ μὴ ἐσχηκέναι αὐτοὺς τὸ τῆς διακρίσεως χάρισμα. Αὕτη γὰρ διδάσκει τὸν ἄνθρωπον, καταλιμπάνοντα τὴν ἐφ' ἑκάτερα μέρη ὑπερβολήν, ὁδῷ βασιλικῇ βαδίζειν· καὶ οὔτε δι' ἐγκρατείας ἀμέτρου συγχωρεῖ ἐκ τῶν δεξιῶν κλέπτεσθαι, οὔτε πρὸς ἀδιαφορίαν καὶ χαύνωσιν ἐκ τῶν ἀριστερῶν κατασύρεσθαι. Καὶ γὰρ ὀφθαλμός τις τῆς ψυχῆς καὶ λύχνος, ἡ διάκρισις ὑπάρ-

πρωτεῖα, τό [γεγονός], ὅτι ἐμεῖς βρήκαμε ὅτι πολλοὶ καταδαπανήθηκαν σὲ νηστεῖες καὶ ἀγρυπνίες καὶ ἀποσύρθηκαν στὴν ἔρημο καὶ ἤσκησαν τὴν ἀκτημοσύνη στὸ ἔπακρο, κατὰ τέτοιο τρόπο, ὥστε οὔτε τὴν καθημερινὴ τροφὴ νὰ μὴν ἀφήνουν στοὺς ἑαυτούς τους καὶ ὅτι κατόρθωσαν τὴν ἐλεημοσύνη σὲ τέτοια ἔκτασι, ὥστε γιὰ τὸν σκοπὸ τῆς προσφορᾶς, νὰ μὴν τοὺς ἐπαρκοῦν τὰ ὑπάρχοντά [τους]. Καὶ μετὰ ἀπὸ αὐτά [βρήκαμε], ὅτι μὲ τρόπο ἐλεεινὸ ἐξέπεσαν ἀπὸ τὴν ἀρετὴ καὶ διωλίσθησαν πρὸς τὴν κακία. Ποιό [εἶναι] λοιπὸν ἐκεῖνο, τὸ ὁποῖο [τούς] ἔκανε νὰ ἐκτραποῦν ἀπὸ τὴν εὐθεία ὁδό; Τίποτε ἄλλο, σύμφωνα μὲ τὴν δική μου ἑρμηνεία καὶ τὴν δική μου γνώμη παρά [μόνο] τὸ ὅτι αὐτοὶ δὲν εἶχαν τὸ χάρισμα τῆς διακρίσεως. Διότι αὐτὴ διδάσκει τὸν ἄνθρωπο, ἀφοῦ ἐγκαταλείψῃ τὴν ὑπερβολὴ καὶ ἀπὸ τὰ δύο μέρη, νὰ βαδίσῃ τὴν βασιλικὴ ὁδό. Καὶ δέν [τοῦ] ἐπιτρέπει οὔτε ἕνεκα τῆς ἄμετρης ἐγκράτειας νὰ κλέπτεται ἀπὸ τὰ δεξιά, οὔτε νὰ κατασύρεται ἀπὸ τὰ ἀριστερὰ πρὸς τὴν ἀδιαφορία καὶ τὴν χαύνωσι. Καὶ βέβαια εἶναι ἡ διάκρισις κάποιος ὀφθαλμὸς τῆς ψυχῆς καὶ λυ-

χει, κατ' ἐκείνην τὴν εὐαγγελικὴν φωνὴν τὴν λέγουσαν· ὁ λύχνος τοῦ σώματός ἐστιν ὁ ὀφθαλμός· ἐὰν οὖν ὁ ὀφθαλμός σου ἁπλοῦς γένηται, ὅλον τὸ σῶμά σου φωτεινὸν ἔσται· εἰ δὲ ὁ ὀφθαλμός σου σκοτεινός [recte: πονηρός][α] γένηται, ὅλον τὸ σῶμά σου σκοτεινὸν ἔσται[8]. Καὶ γὰρ οὕτως ἔχει· διότι πάσας τὰς ἐνθυμήσεις, καὶ τὰς πράξεις τοῦ ἀνθρώπου ἡ διάκρισις διερευνῶσα, διαστέλλει καὶ διαχωρίζει πᾶν φαῦλον καὶ ἀπαρέσκον Θεῷ πρᾶγμα, καὶ μακρὰν ἀπ' αὐτοῦ ποιεῖ τὴν πλάνην. Καὶ τοῦτο μάθοι τις ἂν καὶ ἀπὸ τῶν ἐν ταῖς θείαις Γραφαῖς ἱστορουμένων. Ὁ γὰρ Σαοὺλ ἐκεῖνος, ὁ πρῶτος πιστευθεὶς τὴν βασιλείαν τοῦ Ἰσραήλ[9], ἐπειδὴ τοῦτον τὸν τῆς διακρίσεως ὀφθαλμὸν οὐκ ἔσχε, σκοτωθεὶς τὴν διάνοιαν, οὐκ ἔγνω διακρῖναι, ὅτι μᾶλλον τοῦ προσενεγκεῖν θυσίαν, ἀρεστὸν ὑπῆρχε Θεῷ, τὸ ὑπακοῦσαι αὐτὸν τῷ τοῦ Ἁγίου Σαμουὴλ παραγγέλματι· καὶ ἐξ ὧν ἐνόμιζε θεραπεύειν τὸν Θεόν, ἐξ ἐ-

χνάρι σύμφωνα μὲ τὴν εὐαγγελικὴ ἐκείνη φωνή, ποὺ λέγει: «Τὸ λυχνάρι τοῦ σώματος εἶναι ὁ ὀφθαλμός. Ἐὰν λοιπὸν ὁ ὀφθαλμός σου γίνῃ καθαρός, ὅλο τὸ σῶμα σου θὰ εἶναι φωτεινό. Ἐὰν ὅμως ὁ ὀφθαλμός σου γίνῃ σκοτεινός, ὅλο τὸ σῶμα σου θὰ εἶναι σκοτεινό». Καὶ πράγματι ἔτσι ἔχει. Διότι ἡ διάκρισις, ἀφοῦ ἐξετάσῃ ἀκριβῶς ὅλες τὶς σκέψεις καὶ τὶς πράξεις τοῦ ἀνθρώπου διακρίνει καὶ ξεχωρίζει κάθε πονηρὸ πρᾶγμα, τὸ ὁποῖο καὶ δὲν εὐαρεστεῖ τὸν Θεό, ἐπιπλέον ἀπομακρύνει ἀπὸ αὐτόν [τὸν ἄνθρωπο] τὴν πλάνη. Καὶ αὐτὸ μπορεῖ νὰ τὸ μάθῃ κανεὶς καὶ ἀπὸ ἐκεῖνα, ποὺ ἐξιστοροῦνται στὴν Ἁγία Γραφή. Διότι ὁ Σαούλ, ὁ πρῶτος πού [τοῦ] ἐμπιστεύθηκε [ὁ Θεός] τὴν βασιλεία τοῦ Ἰσραήλ, ἐπειδὴ αὐτόν [ἀκριβῶς], τὸν ὀφθαλμὸ τῆς διακρίσεως δέν [τόν] εἶχε, καθὼς ἦταν σκοτισμένη ἡ διάνοιά [του], δὲν γνώριζε νὰ διακρίνῃ, ὅτι ἀπὸ τὸ νὰ προσφέρῃ θυσία ἦταν περισσότερο ἀρεστὸ στὸν Θεὸ τὸ νὰ ὑπακούσῃ στὴν ἐντολὴ τοῦ Ἁγίου Σαμουήλ. Καὶ ἀπὸ αὐτὰ μὲ τὰ ὁποῖα νόμιζε ὅτι ὑπηρετεῖ τὸν Θεό, ἐξ αἰτί-

κείνων προσκρούει, καὶ ἀπόβλητος γίνεται τῆς βασιλείας· οὐκ ἂν τοῦτο παθών, εἰ τὸ φῶς τῆς διακρίσεως ἐν ἑαυτῷ ἐτύγχανε κεκτημένος. Ταύτην καὶ ὁ Ἀπόστολος ἥλιον ὀνομάζει, κατὰ τὸ εἰρημένον ὑπ᾽ αὐτοῦ· ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν[10]. *Αὕτη καὶ τῆς ἡμετέρας ζωῆς λέγεται κυβέρνησις, κατὰ τὸ γεγραμμένον· οἷς οὐκ ἔστι κυβέρνησις, πίπτουσιν ὥς περ φύλλα*[11]. *Αὕτη, βούλευμα ὑπὸ τῆς Γραφῆς λέγεται, οὗτινος χωρίς, οὐδὲν πράττειν ὑπὸ τῆς Γραφῆς παιδευόμεθα· οὕτως, ὡς μηδὲ αὐτὸν τὸν πνευματικὸν οἶνον, ὃς εὐφραίνει καρδίαν ἀνθρώπου*[12], *χωρὶς αὐτῆς συγχωρεῖσθαι πίνειν, κατὰ τὸ φάσκον λόγιον· μετὰ βουλῆς οἰνοπότει*[13]*· καὶ πάλιν, ὥς περ φησι πόλις κατεσκαμμένη καὶ ἀτείχιστος, οὕτως ἐστὶν ἄνθρωπος, ὃς οὐ μετὰ βουλῆς πάντα πράττει*[14]. *Ἐν ταύτῃ σοφία, ἐν ταύτῃ νόησίς τε καὶ αἴσθησις συνίσταται· ὧν χωρίς, οὔτε ὁ ἐνδότερος ἡμῶν οἶκος δύναται κτισθῆναι, οὔ-*

ας ἐκείνων δυσαρεστεῖ [τὸν Θεό] καὶ γίνεται ἀπόβλητος τῆς βασιλείας. Δὲν θά [τό] πάθαινε αὐτό, ἐὰν τύχαινε νὰ ἔχῃ ἀποκτήσει μέσα του τὸ φῶς τῆς διακρίσεως. Αὐτὴν [τὴν διάκρισι δηλαδή] καὶ ὁ Ἀπόστολος ὀνομάζει ἥλιο, σύμφωνα μὲ ἐκεῖνο, ποὺ ἔχει εἰπωθῆ ἀπὸ τὸν ἴδιο: «Ὁ ἥλιος νὰ μὴ δύσῃ [ἐνῶ θὰ εἶστε] πάνω στὸν παροργισμό σας». Αὐτή [ἡ διάκρισις] λέγεται καὶ κυβέρνησι τῆς ζωῆς μας, σύμφωνα μ᾽ ἐκεῖνο, ποὺ ἔχει γραφῆ: «Σ᾽ ὅσους δὲν ὑπάρχει κυβέρνησι, [αὐτοί] πέφτουν, ὅπως τὰ φύλλα». Αὐτὴ ἀποκαλεῖται ἀπὸ τήν [Ἁγία] Γραφή, ἡ κατόπιν σκέψεως ἀπόφασι, χωρὶς τὴν ὁποία διδασκόμεθα ἀπὸ τήν [Ἁγία] Γραφή, νὰ μὴν κάνουμε τίποτα· ἔτσι, ὥστε οὔτε αὐτὸ τὸ πνευματικὸ κρασί, τὸ ὁποῖο εὐφραίνει τὴν καρδία τοῦ ἀνθρώπου, νὰ μὴν ἐπιτρέπεται νὰ πιοῦμε χωρὶς αὐτήν, σύμφωνα μὲ τὸ ρητό, ποὺ λέει: «Κατόπιν προσεκτικῆς σκέψεως, πίνε κρασί». Καὶ πάλι, ὅπως λέει: «Πόλι κατεδαφισμένη καὶ ἀτείχιστη, ἔτσι εἶναι ὁ ἄνθρωπος, ὁ ὁποῖος δὲν ἐνεργεῖ πάντοτε μετὰ ἀπὸ προσεκτικὴ σκέψι». Σ᾽ αὐτὴν [τὴν διάκρισι βρίσκεται] ἡ σοφία, σ᾽ αὐτὴν συνενώνονται ἡ νόησι μαζὶ καὶ ἡ αἴσθησι, χωρὶς τὶς ὁποῖες δὲν εἶναι δυνατὸν νὰ οἰκοδομηθῇ ὁ ἐσώτερος οἶκος μας οὔ-

τε ὁ πνευματικὸς πλοῦτος συναθροισθῆναι, κατὰ τὸ εἰρημένον· μετὰ σοφίας κτίζεται οἶκος, καὶ μετὰ συνέσεως ἀνορθοῦται, καὶ μετὰ φρονήσεως πληροῦνται τὰ ταμιεῖα πλούτου[15]*. Αὕτη εἴρηται καὶ στερεὰ τροφή, τῶν διὰ τὴν ἕξιν τὰ αἰσθητήρια γεγυμνασμένα ἐχόντων, πρὸς διάκρισιν ἀγαθοῦτε καὶ κακοῦ*[16]*. Διὰ τούτων τοίνυν προφανῶς ἀποδείκνυται, μηδεμίαν, ἄνευ τοῦ χαρίσματος τῆς διακρίσεως, ἀρετὴν συνίστασθαι, ἢ βεβαίαν διαμένειν ἕως τέλους· πασῶν γὰρ τῶν ἀρετῶν γεννήτρια καὶ ὁ φύλαξ ὑπάρχει. Οὗτος μὲν ὁ ὅρος καὶ ἡ γνώμη Ἀντωνίου, ᾧ καὶ σύμψηφοι οἱ λοιποὶ Πατέρες ἐγένοντο. Ἵνα δὲ καὶ ἀπὸ νεαρῶν παραδειγμάτων, καὶ τῶν ἐν τοῖς χρόνοις ἡμῶν, βεβαιώσωμεν τὸν ὅρον τοῦ Ἁγίου Ἀντωνίου· ἀναμνήσθητε καὶ ὑμεῖς τοῦ γέροντος Ἥρωνος, καὶ τοῦ ἐλεεινοῦ πτώματος, οὗ ὑπέστη πρὸ ὀλίγων τούτων ἡμερῶν ἐπ' ὄψιν ἡμῶν· ποίῳ τρόπῳ τῇ χλεύῃ τοῦ διαβόλου, ἀπὸ τοῦ ὕψους ἐ-*

τε νὰ συγκεντρωθῇ ὁ πνευματικὸς πλοῦτος, σύμφωνα μ' ἐκεῖνο, ποὺ ἔχει εἰπωθῆ: «Μὲ σοφία κτίζεται τὸ σπίτι καὶ μὲ σύνεσι ἀνυψώνεται καὶ μὲ φρόνησι γεμίζουν τὰ θησαυροφυλάκιά του ἀπὸ πλοῦτο». Αὐτὴ ἔχει ὀνομασθῆ καὶ στερεὰ τροφή, ἐξ αἰτίας τῆς παρουσίας της σ' ἐκείνους, ποὺ ἔχουν γυμνασμένα τὰ αἰσθητήριά τους γιὰ τὴν διάκρισι καὶ τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ. Μέσῳ αὐτῶν, λοιπόν, ἀποδεικνύεται προφανῶς, ὅτι χωρὶς τὸ χάρισμα τῆς διακρίσεως καμία ἀρετὴ δὲν ἀποκτᾶται οὔτε παραμένει σταθερὴ ἕως τέλους, διότι [ἡ διάκρισι] εἶναι μητέρα καὶ φύλακας ὅλων τῶν ἀρετῶν». Αὐτὸς μέν [εἶναι] ὁ ὁρισμός καὶ ἡ γνώμη τοῦ Ἀντωνίου, μὲ τὴν ὁποία συμφώνησαν καὶ οἱ ὑπόλοιποι Πατέρες. Γιὰ νὰ ἐπιβεβαιώσουμε ὅμως τὸν ὁρισμὸ τοῦ Ἁγίου Ἀντωνίου καὶ ἀπὸ πρόσφατα παραδείγματα καὶ ἀπὸ σύγχρονα μὲ μᾶς, θυμηθεῖτε κι ἐσεῖς τὸν Γέροντα Ἥρωνα καὶ τὴν ἐλεεινὴ πτῶσι, τὴν ὁποία ὑπέστη λίγο πρὶν ἀπ' αὐτὲς τὶς ἡμέρες, μπροστὰ στὰ μάτια μας. Μὲ ποιὸ τρόπο, ἀπὸ τὸν ἐμπαιγμὸ τοῦ διαβόλου, γκρεμίστηκε ἀπὸ

κείνου τῆς πολιτείας, εἰς τὸ βάθος τοῦ θανάτου κατηνέχθη. Τοῦτον γὰρ μεμνήμεθα, πεντήκοντα ἔτη ἐν τῇ ἀγχερήμῳ διατρίψαντα· μεγάλῃ σκληραγωγίᾳ, καὶ συντόνῳ ἐγκρατείᾳ κεχρημένον· καὶ τὴν ἀκροτάτην ἔρημον καὶ μόνωσιν ὑπὲρ πάντας τοὺς ἐνταῦθα διατρίψαντα, καὶ μεταδιώξαντα· ὃς μετὰ τοσούτους πόνους καὶ ἀγῶνας ἐμπαιχθεὶς ὑπὸ τοῦ διαβόλου, καὶ εἰς βαρύτατον πτῶμα ὀλισθήσας, πάντας τοὺς ἐν ἀγχερήμῳ πατέρας καὶ ἀδελφούς, εἰς ἀπαραμύθητον πένθος ἐνέβαλεν· οὐκ ἂν τοῦτο παθών, εἰ ἔτυχεν ἠσφαλισμένος τῇ τῆς διακρίσεως ἀρετῇ· ἥτις ἐδίδαξεν ἂν αὐτόν, μὴ τῷ ἰδίῳ λογισμῷ, ἀλλὰ τῇ συμβουλίᾳ τῶν πατέρων καὶ ἀδελφῶν πείθεσθαι. Ἐπιτοσοῦτον γὰρ τῷ ἰδίῳ λογισμῷ ἀκολουθῶν, τὴν νηστείαν, καὶ τὸ ἀφιδιάζειν ἀπὸ τῶν ἀνθρώπων μετεδίωξεν, ὡς μηδὲ κατὰ τὴν ἑορτὴν τοῦ Ἁγίου Πάσχα παραγίνεσθαι ἐν τῇ Ἐκκλησίᾳ, ἵνα μὴ συνερχόμενος τοῖς πατράσι καὶ ἀδελφοῖς, καὶ συ-

ἐκεῖνο τὸ ὕψος τῆς πολιτείας στὸ βάθος τοῦ θανάτου. Διότι τὸν ἐνθυμούμεθα ἐπὶ πενήντα χρόνια ἀσκούμενο στὴν γειτονικὴ ἔρημο ἐφαρμόζοντας μεγάλη σκληραγωγία καὶ αὐστηρὴ ἐγκράτεια. Καὶ ὅτι τὴν βαθυτάτη ἐρημία καὶ μόνωσι περισσότερο ἀπὸ ὅλους ἐδῶ ἐβίωσε καὶ ἐπεδίωξε, ὁ ὁποῖος μετὰ ἀπὸ τόσους πολλοὺς κόπους καὶ ἀγῶνες ἀφοῦ ἐμπαίχθηκε ἀπὸ τὸν διάβολο καὶ γλίστρησε σὲ βαρύτατη πτῶσι, ὅλους τοὺς πατέρες καὶ ἀδελφοὺς στὴν γειτονικὴ ἔρημο τοὺς βύθισε σὲ πένθος ἀπαρηγόρητο. [Καὶ ὅτι] δὲν θά [τό] πάθαινε αὐτό, ἐὰν βρισκόταν ἀσφαλισμένος μὲ τὴν ἀρετὴ τῆς διακρίσεως, ἡ ὁποία θὰ τὸν δίδασκε νὰ μὴν ἔχῃ ἐμπιστοσύνη στὸν δικό του λογισμὸ ἀλλὰ στὴν συμβουλὴ τῶν πατέρων καὶ ἀδελφῶν. Διότι ἀκολουθώντας τόσον καιρὸ τὸν δικό του λογισμό, ἐπεδίωξε τὴν νηστεία καὶ τὴν ἐρημιτικὴ ζωή [σὲ τέτοιο βαθμό], ὥστε οὔτε κατὰ τὴν ἑορτὴ τοῦ Ἁγίου Πάσχα νὰ μὴν παρευρίσκεται στὴν Ἐκκλησία, γιὰ νὰ μὴν ἀναγκασθῇ συνευρισκόμενος μὲ τοὺς πατέρες καὶ τοὺς ἀδελφοὺς καὶ συν-

νεσθίων αὐτοῖς, ἀναγκασθῇ μεταλαβεῖν ὀσπρίου, ἢ ἄλλου τινὸς τῶν προσφερομένων ἐν τῇ τραπέζῃ, καὶ δόξῃ ἐκπεπτωκέναι τοῦ ἰδίου σκοποῦ καὶ ὅρου. Οὗτος οὖν ἐπιπολὺ τῷ ἰδίῳ θελήματι ἐξαπατηθείς, ἄγγελον τοῦ Σατανᾶ ὑποδεξάμενος, τοῦτον ὡς ἄγγελον φωτὸς[17] *προσκυνήσας, προστάττεται ὑπ᾽ αὐτοῦ κατὰ τὸ μεσονύκτιον εἰς φρέαρ βαθύτατον ῥῖψαι ἑαυτόν˙ ὥστε αὐτὸν γνῶναι, διὰ πείρας, ὡς οὐδαμῶς κινδύνῳ λοιπόν τινι ὑποκείσεται, διὰ τὴν προσοῦσαν αὐτῷ μεγάλην ἀρετήν, καὶ τοὺς κατὰ Θεὸν καμάτους. Ὁ δὲ μὴ διακρίνας τῷ λογισμῷ τὸν ταῦτα συμβουλεύοντα, ἀλλὰ σκοτωθεὶς τὴν διάνοιαν, ἐνέβαλεν ἑαυτόν, κατὰ τὸ μεσονύκτιον, ἐν τῷ φρέατι. Καὶ μετ᾽ οὐ πολύ, ἐπιγνόντες οἱ ἀδελφοὶ τὸ συμβάν, μόλις αὐτὸν μετὰ καμάτου πολλοῦ, ἠδυνήθησαν ἡμιθανῆ ἀνασπᾶσαι. Μετὰ οὖν τὸ ἀνασπασθῆναι αὐτόν, ἐπιζήσας δύο ἡμέρας, τῇ τρίτῃ ἀπέθανε, καταλιπὼν τοῖς ἀδελφοῖς καὶ τῷ πρεσβυτέρῳ Παφ-*

τρώγοντας μαζί τους, νὰ φάῃ ὄσπριο ἢ κάτι ἄλλο ἀπὸ τὰ προσφερόμενα στὴν τράπεζα καὶ φανῇ, ὅτι ἐξέπεσε τοῦ δικοῦ του σκοποῦ καὶ κανόνα. Αὐτὸς λοιπόν, ἐξαπατημένος γιὰ πολὺ καιρὸ ἀπὸ τὸ δικό του θέλημα, ἀφοῦ ὑποδέχθηκε ἄγγελο τοῦ Σατανᾶ προσκυνώντας αὐτὸν σὰν ἄγγελο φωτός, προστάζεται ἀπ᾽ αὐτὸν νὰ ρίξῃ κατὰ τὰ μεσάνυκτα τὸν ἑαυτό του μέσα σὲ βαθύτατο πηγάδι, ὥστε νὰ γνωρίσῃ ὁ ἴδιος ἀπὸ πεῖρα, ὅτι μὲ κανέναν τρόπο εἰς τὸ ἑξῆς δὲν θὰ βρεθῇ σὲ κάποιο κίνδυνο ἐξ αἰτίας τῆς μεγάλης ἀρετῆς, ποὺ ἀπέκτησε καὶ τῶν κατὰ Θεὸν κόπων [του]. Αὐτὸς ὅμως, ἐπειδὴ δὲν διέκρινε μὲ τὸν λογισμό του, ἐκεῖνον πού [τόν] συμβούλευε αὐτά, ἀλλὰ μὲ σκοτισμένη τὴν διάνοιά [του] ἔπεσε κατὰ τὰ μεσάνυκτα, μέσα στὸ πηγάδι. Καὶ ὄχι πολὺ ἀργότερα, ἀφοῦ οἱ ἀδελφοὶ ἔμαθαν τὸ συμβάν, μετὰ πολλοῦ κόπου, μόλις μπόρεσαν νὰ τὸν ἀνασύρουν ἡμιθανῆ. Μετὰ λοιπόν τό [γεγονός] τῆς ἀνελκύσεώς του [μέσα ἀπὸ τὸ πηγάδι], ἀφοῦ ἔζησε δύο ἡμέρες, τὴν τρίτη πέθανε, ἀφήνοντας στοὺς ἀδελφοὺς καὶ στὸν πρεσβύτερο Παφ-

νουτίῳ, πένθος ἀπαραμύθητον· ὅς τις φιλανθρωπίᾳ κινούμενος πολλῇ, καὶ μεμνημένος τῶν πολλῶν αὐτοῦ καμάτων· καὶ τῶν πολυαριθμήτων ἐτῶν, ὧν ἐν τῇ ἐρήμῳ διεκαρτέρησεν, οὐκ ἐχώρισεν αὐτὸν τῆς μνήμης καὶ τῆς προσφορᾶς τῶν ἀναπεπαυμένων, ἵνα μὴ συναριθμηθῇ τοῖς βιαιοθανίτοις. Τί εἴπω περὶ ἐκείνων τῶν δύο ἀδελφῶν, οἵ τινες ἔμενον πέραν τῆς ἐρήμου Θηβαΐδος, ὅπου ποτὲ ὁ μακάριος Ἀντώνιος ἔμενεν; Οὗτοι γὰρ ἀδιακρίτῳ λογισμῷ κινηθέντες, ἔδωκαν ἑαυτοῖς γνώμην πορευθῆναι εἰς τὴν ἐνδοτέραν ἔρημον, μεγάλην οὖσαν καὶ ἀγεώργητον· κρίναντες παρ᾽ ἑαυτοῖς, μὴ λαβεῖν τροφὴν παρὰ ἀνθρώπου, εἰμὴ ἣν αὐτοῖς ὁ Κύριος θαυματοποιῶν παράσχῃ. Καὶ ὅτε πλανωμένους αὐτοὺς κατὰ τὴν ἔρημον, καὶ ἐξατονοῦντας τῇ πείνῃ πόρρωθεν οἱ Μάζικες ἐθεάσαντο, ὅπερ ἔθνος πάντων σχεδὸν τῶν ἀπηγριωμένων ἐθνῶν ἀγριώτερον καὶ ὠμότερον καθέστηκεν, μεταβαλόντες, ἐκ

νούτιο πένθος ἀπαρηγόρητο, ὁ ὁποῖος κινούμενος ἀπὸ πολλὴ φιλανθρωπία καὶ ἐνθυμούμενος τοὺς πολλούς του κόπους καὶ τὰ πολυάριθμα χρόνια κατὰ τὰ ὁποῖα ὑπέμεινε καρτερικὰ στὴν ἔρημο, δὲν τὸν ξεχώρισε ἀπὸ τὸ μνημόσυνο καὶ τὴν προσφορὰ γιὰ τοὺς κεκοιμημένους, γιὰ νὰ μὴν συναριθμηθῇ στοὺς αὐτόχειρες. Τί νὰ πῶ σχετικὰ μ᾽ ἐκείνους τοὺς δύο ἀδελφούς, οἱ ὁποῖοι ἔμεναν πέρα ἀπὸ τὴν ἔρημο τῆς Θηβαΐδος, ὅπου κάποτε ἔμενε ὁ μακάριος Ἀντώνιος; Διότι αὐτοὶ ἀπὸ ἀδιάκριτο λογισμὸ κινούμενοι, ἀπεφάσισαν νὰ πᾶνε στὴν ἐνδότερη ἔρημο, ποὺ εἶναι μεγάλη καὶ ἀκαλλιέργητη, ἀφοῦ ἔλαβαν τὴν ἀπόφασι, κατὰ τὴν κρίσι τους, νὰ μὴν δεχθοῦν τροφὴ ἀπὸ ἄνθρωπο, παρὰ μόνον ἐκείνη τὴν ὁποία ὁ Κύριος θὰ τοὺς προσέφερε κατὰ θαυματουργικὸ τρόπο. Καὶ ὅταν, περιπλανώμενους στὴν ἔρημο καὶ ἐξασθενημένους ἀπὸ τὴν πεῖνα, τοὺς εἶδαν ἀπὸ μακριὰ οἱ Μάζικες, ἔθνος, τὸ ὁποῖο ἔχει γίνει ἀγριώτερο καὶ βαναυσότερο ἀπὸ ὅλα σχεδὸν τὰ ἄγρια ἔθνη, ἀφοῦ μετέβαλαν ἀ-

θείας προνοίας, τὴν σύντροφον ἀγριότητα εἰς φιλανθρωπίαν, μετὰ ἄρτων αὐτοῖς ὑπήντησαν· ὁ μὲν εἷς τῶν προειρημένων δύο ἀδελφῶν, διακρίσεως αὐτῷ ὑπεισελθούσης, μετὰ χαρᾶς καὶ εὐχαριστίας ὑπεδέξατο τοὺς ἄρτους· λογισάμενος, ὡς οὐκ ἂν οἱ οὕτως ὠμοί, καὶ ἄγριοι, καὶ ἀεὶ χαίροντες τῷ αἵματι τῶν ἀνθρώπων, συνεπάθουν αὐτοῖς ἐξητονηκόσιν ἤδη, καὶ τροφὴν προσήνεγκαν, εἰ μὴ ὁ Θεὸς τούτους ἐκίνησεν· ὁ δὲ ἄλλος τὴν τροφὴν παραιτησάμενος ὡσανεὶ ὑπὸ ἀνθρώπων αὐτῷ προσενεχθεῖσαν, καὶ ἐμμείνας τῇ ἀδιακρίτῳ βουλῇ, τῇ ἀτονίᾳ τῆς ἀσιτίας ἐξέλιπεν. Εἰ καὶ τὰ μάλιστα τοίνυν τὴν ἀρχὴν ἀμφότεροι κακῶς βουλευσάμενοι, ἀλόγιστον καὶ ὀλεθρίαν γνώμην ἑαυτοῖς παρέσχον, ὅμως ὁ εἷς, ὑπεισελθούσης αὐτῷ τῆς διακρίσεως, τοῦτο ὃ προπετῶς καὶ ἀπαραφυλάκτως ὥρισε, καλῶς ἐπανωρθώσατο· ὁ δὲ ἄλλος, ἐν τῇ ἄφρονι προλήψει διακαρτερήσας, καὶ διακρίσεως ἐκτὸς εὑρεθείς, θάνατον, ὃν

πὸ θεία πρόνοια τὴν χαρακτηριστική [τους] ἀγριότητα σὲ φιλανθρωπία, ἦρθαν νὰ τοὺς συναντήσουν φέροντας μαζί τους ψωμιά. Ὁ μὲν ἕνας ἀπὸ τοὺς δύο ἀδελφούς, γιὰ τοὺς ὁποίους μιλήσαμε προηγουμένως, ἀφοῦ ἐνήργησε ἐσωτερικὰ σ᾽ αὐτὸν ἡ διάκρισι, μὲ χαρὰ καὶ εὐγνωμοσύνη ἐδέχθη τὰ ψωμιά, ἀφοῦ σκέφτηκε, ὅτι οἱ τόσο βάναυσοι καὶ ἄγριοι [Μάζικες], οἱ ὁποῖοι πάντοτε χαίρονται μὲ τὸ αἷμα τῶν ἀνθρώπων, δὲν θὰ τοὺς συμπαθοῦσαν, ἐπειδὴ εἶχαν ἤδη ἐξαντληθῆ καί [δὲν θὰ τούς] προσέφεραν τροφή, ἐὰν ὁ Θεὸς δὲν παρακινοῦσε αὐτούς. Ὁ δὲ ἄλλος, ἀποδιώχνοντας τὴν τροφὴ ὡσὰν νὰ εἶχε προσφερθῆ σ᾽ αὐτὸν ἀπὸ ἀνθρώπους καὶ ἐμμένοντας στὴν ἀδιάκριτη ἀπόφασί [του], ἐξ αἰτίας τῆς ἀδυναμίας ἀπὸ τὴν ἀσιτία, πέθανε. Ἑπομένως ἂν καὶ στὴν ἀρχὴ καὶ οἱ δύο, ἀφοῦ σκέφθηκαν κακῶς στὸ μέγιστο βαθμό, πρότειναν στοὺς ἑαυτούς τους ἐξωφρενικὴ καὶ ὀλέθρια ἀπόφασι, ὅμως ὁ ἕνας ἀφοῦ ἐνήργησε ἐσωτερικὰ σ᾽ αὐτὸν ἡ διάκρισι, ἐκεῖνο, τὸ ὁποῖο ἀπεφάσισε μὲ ἐπιπολαιότητα καὶ ἀπροσεξία, [τό] ἐπανόρθωσε σωστά. Ὁ δὲ ἄλλος ἐπειδὴ ἐπέμεινε στὴν πρώτη ἐξωφρενική [ἐκείνη] ἰδέα καὶ ἐπειδὴ βρέθηκε χωρὶς διάκρισι, τὸν θάνατο, τὸν ὁποῖο

ὁ Κύριος ἀποστρέφειν ἠβουλήθη, αὐτὸς ἑαυτῷ ἐπεσπάσατο. Τί δὲ εἴπω καὶ περὶ ἐκείνου, οὗτινος τὸ ὄνομα οὐ βούλομαι εἰπεῖν, διότι περιέστιν; Ὅς τις δαίμονα πολλάκις ὡς ἄγγελον ὑποδεχόμενος, καὶ ἀποκαλύψεις δι᾽ αὐτοῦ λαμβάνων, καὶ φῶς συνεχῶς λυχνιαῖον ἐν τῇ κέλλῃ αὐτοῦ βλέπων, ὕστερον προστάσσεται ὑπ᾽ αὐτοῦ, τὸν ἴδιον υἱὸν συμμένοντα αὐτῷ ἐν τῷ μοναστηρίῳ, θυσίαν προσενεγκεῖν τῷ Θεῷ, ὡς ἐκ τούτου τῆς τοῦ πατριάρχου Ἀβραὰμ τιμῆς ἀξιωθησόμενος· οὗ τινος τῇ συμβουλίᾳ τοσοῦτον ὑπήχθη, ὥστε ἔργῳ τὴν τοῦ υἱοῦ σφαγὴν ἂν ἐξετέλεσεν, εἰ μὴ τοῦτον ὁ υἱὸς θεασάμενος παρὰ συνήθειαν μάχαιραν ἀκονοῦντα καὶ δεσμὰ ἑτοιμάζοντα, οἷς τοῦτον ὥς περ ὁλοκαύτωμα συσφίγγειν ἔμελλε, φυγῇ τὴν σωτηρίαν ἐκομίσατο; Μακρὸν ἂν εἴη, τὴν ἀπάτην ἐκείνην τοῦ μεσοποταμηνοῦ διηγήσασθαι· ὃς τοσαύτην ἐγκράτειαν ἐπιδειξάμενος, καὶ ἐν κελλίῳ ἀποκεκλεισμένος ἔτη πολ-

ὁ Κύριος θέλησε νὰ ἀποτρέψῃ, ὁ ἴδιος [τόν] προξένησε στὸν ἑαυτό του. Τί νὰ πῶ δὲ καὶ γιὰ ἐκεῖνον, τοῦ ὁποίου τὸ ὄνομα δὲν θέλω νὰ πῶ, διότι εἶναι [ἀκόμα] στὴ ζωή; Ὁ ὁποῖος πολλὲς φορές, ἀφοῦ ὑπεδέχετο δαίμονα ὡς ἄγγελο καὶ ἐλάμβανε μέσῳ αὐτοῦ ἀποκαλύψεις καὶ ἔβλεπε μέσα στὸ κελλί του θαμπὸ φῶς, [ὅπως τὸ φῶς ἀπὸ λυχνάρι], ὕστερα προστάζεται ἀπὸ αὐτόν [τὸν δαίμονα δηλαδή], νὰ προσφέρῃ θυσία στὸν Θεὸ τὸν γιό του, ὁ ὁποῖος ἔμενε μαζί του στὸ μοναστήρι, γιὰ νὰ ἀξιωθῇ ἕνεκα αὐτοῦ, τῆς τιμῆς τοῦ Πατριάρχου Ἀβραάμ. [Στοῦ δαίμονος] αὐτοῦ τὴν συμβουλὴ τόσο πολὺ ὑποτάχθηκε, ὥστε ἐμπράκτως θὰ ἐκτελοῦσε τὴν σφαγὴ τοῦ γιοῦ του, ἐὰν ὁ γιός [του] δὲν ἐξασφάλιζε τὴν σωτηρία [του] μὲ τὴν φυγή, ὅταν τὸν εἶδε -πρᾶγμα ποὺ δὲν συνήθιζε νὰ τὸ κάνῃ- νὰ ἀκονίζῃ μαχαίρι καὶ νὰ ἑτοιμάζῃ δεσμά, μὲ τὰ ὁποῖα εἶχε σκοπὸ νά [τόν] δέσῃ σφιχτά, ὅπως ἀκριβῶς τὸ σφάγιο στὴν δι᾽ ὁλοκαυτώματος θυσία. Θὰ ἦταν πολὺ σὲ μάκρος τὸ νὰ διηγηθῶ τὴν πλάνη ἐκείνου, ποὺ καταγόταν ἀπὸ τὴν Μεσοποταμία, ὁ ὁποῖος ἀφοῦ ἐπέδειξε τόση μεγάλη ἐγκράτεια καὶ ἔμεινε ἔγκλειστος σὲ κελλὶ γιὰ πολλὰ χρό-

λά· οὕτως ὕστερον διαβολικαῖς ἀποκαλύψεσι καὶ ἐνυπνίοις ἐνεπαίχθη, ὡς μετὰ τοσούτους καμάτους καὶ ἀρετάς, αἷς πάντας ὑπερέβαλλε τοὺς ἐκεῖ καθημένους μοναχούς, πρὸς ἰουδαϊσμὸν καὶ περιτομὴν καταπεσεῖν. Καὶ γὰρ βουλόμενος αὐτὸν ὁ διάβολος ἀπατῆσαι, πολλάκις αὐτῷ ἐδείκνυεν ἀληθῆ ἐνύπνια· ἵνα διὰ τούτων, εὐπαράδεκτον ποιήσῃ, ἣν ἔμελλεν αὐτῷ ἐπ᾽ ἐσχάτων ὑποτίθεσθαι πλάνην. Δείκνυσι τοίνυν αὐτῷ ἐν μιᾷ νυκτί, τὸν δῆμον τῶν Χριστιανῶν μετὰ τῶν Ἀποστόλων καὶ Μαρτύρων, σκοτεινόντε καὶ πάσης αἰσχύνης πεπληρωμένον, καὶ ἐν λύπῃ καὶ πένθει κατατετηγμένον· καὶ ἐκ τοῦ ἐναντίου, τῶν Ἰουδαίων τὸν δῆμον, μετὰ Μωυσέως καὶ τῶν Προφητῶν, λαμπρῷ φωτὶ περιαυγαζόμενον, καὶ ἐν χαρᾷ καὶ ἱλαρότητι διάγοντα· καὶ συνεβούλευε ὁ ἀπατεών, ὡς εἰ βούλοιτο τῆς μακαριότητος καὶ χαρᾶς τοῦ δήμου τῶν Ἰουδαίων μετασχεῖν, περιτομὴν αὐτὸν λαμβάνειν· ὃ δὴ καὶ ἀπατηθεὶς ἐποίησε. Πρόδηλον οὖν ἐκ

νια, κατὰ τέτοιο τρόπο ὕστερα ἐξαπατήθηκε μὲ διαβολικὲς ἀποκαλύψεις καὶ ὄνειρα, ὥστε μετὰ ἀπὸ τόσους κόπους καὶ ἀρετές, ἕνεκα τῶν ὁποίων ξεπερνοῦσε ὅλους τοὺς μοναχούς, ποὺ κάθονταν ἐκεῖ, νὰ ἐκπέσῃ στὸν ἰουδαϊσμὸ καὶ τὴν περιτομή. Καὶ διότι καὶ θέλοντας ὁ διάβολος νὰ τὸν ἐξαπατήσῃ, πολλὲς φορὲς ἔδειχνε σ᾽ αὐτὸν ἀληθινὰ ὄνειρα, γιὰ νὰ κάνῃ δι᾽ αὐτῶν [τῶν ὀνείρων] εὔκολα πιστευτὴ τὴν πλάνη, τὴν ὁποία εἶχε σκοπὸ στὸ τέλος νὰ τοῦ ὑποβάλῃ. Μία νύκτα, λοιπόν, δείχνει σ᾽ αὐτὸν τὴν σύναξι τῶν Χριστιανῶν μαζὶ μὲ τοὺς Ἀποστόλους καὶ τοὺς Μάρτυρες, νὰ εἶναι σκοτεινὴ καὶ μαζὶ γεμάτη ἀπὸ κάθε ἀτιμία καὶ νὰ ἔχῃ λιώσει ἀπὸ τὴν λύπη καὶ τὸ πένθος καὶ ἀντίθετα τὸν λαὸ τῶν Ἰουδαίων μαζὶ μὲ τὸν Μωυσῆ καὶ τοὺς Προφῆτες νὰ καταυγάζεται μὲ λαμπρὸ φῶς καὶ νὰ βρίσκεται σὲ κατάστασι χαρᾶς καὶ ἱλαρότητος. Καὶ τὸν συμβούλευσε ὁ ἀπατεώνας, ὅτι ἐὰν αὐτὸς ἤθελε νὰ συμμετάσχῃ στὴ μακαριότητα καὶ τὴν χαρὰ τοῦ λαοῦ τῶν Ἰουδαίων, νὰ λάβῃ τὴν περιτομή, [γεγονὸς] τὸ ὁποῖο, ἐξαπατημένος, πράγματι καὶ ἔκανε. [Εἶναι] ἑπομένως πρόδηλο ἀ-

πάντων τῶν εἰρημένων, ὅτι οὐκ ἂν ἐνεπαίχθησαν οἱ εἰρημένοι πάντες οὕτως ἐλεεινῶς καὶ ἀθλίως, εἰ τὸ χάρισμα τῆς διακρίσεως ἔτυχον κεκτημένοι. Πρὸς ταῦτα ὁ Γερμανὸς εἶπε· καὶ νέοις παραδείγμασι, καὶ ὅροις τῶν ἀρχαίων πατέρων, ἱκανῶς ἀπεδείχθη τὴν διάκρισιν, πηγὴν καὶ ῥίζαν καὶ κεφαλὴν καὶ σύνδεσμον εἶναι πασῶν τῶν ἀρετῶν· ποίῳ δὲ τρόπῳ δυνάμεθα ταύτην κτήσασθαι, ἐπιθυμοῦμεν μαθεῖν; Καὶ πῶς ἐπιγνῶναι τὴν ἀληθῆ καὶ ἐκ Θεοῦ διάκρισιν, καὶ τὴν ψευδώνυμον καὶ ἐπίπλαστον καὶ διαβολικήν; Τότε ὁ ἀββᾶς Μωυσῆς εἶπεν· ἀληθὴς διάκρισις οὐ προσγίνεται, εἰ μὴ ἐξ ἀληθινῆς ταπεινώσεως, τῷ μὴ μόνον ἅπερ πράττομεν, ἀλλὰ καὶ ἅπερ ἐνθυμούμεθα, ἀποκαλύπτειν τοῖς πατράσι· καὶ ἐν μηδενὶ τῷ ἰδίῳ λογισμῷ πιστεύειν, ἀλλὰ καὶ κατὰ πάντα τοῖς λόγοις τῶν γερόντων ἀκολουθεῖν, καὶ ἐκεῖνο καλὸν εἶναι πιστεύειν, ὅπερ ἂν αὐτοὶ δοκιμάσωσιν. Αὕτη δὲ ἡ ἐργασία, οὐ μόνον

πὸ ὅλα ὅσα ἔχουν εἰπωθῆ, ὅτι δὲν θὰ εἶχαν ἐξαπατηθῆ ἔτσι ἐλεεινὰ καὶ ἄθλια ὅλοι ὅσοι ἀναφέρθηκαν, ἐὰν τύχαινε νὰ ἔχουν ἀποκτήσει τὸ χάρισμα τῆς διακρίσεως». Σχετικὰ μ᾽ αὐτὰ εἶπε ὁ Γερμανός: «Καὶ μὲ νέα παραδείγματα καὶ μὲ ἑρμηνεῖες τῶν παλαιῶν Πατέρων ἀποδείχθηκε ἀρκετά, ὅτι ἡ διάκρισι εἶναι ἡ πηγὴ καὶ ἡ ρίζα καὶ ἡ κεφαλὴ καὶ ὁ σύνδεσμος ὅλων τῶν ἀρετῶν. Ἐπιθυμοῦμε ὅμως νὰ μάθουμε: μὲ ποιὸν τρόπο μποροῦμε νὰ τὴν ἀποκτήσουμε; Καὶ πῶς [μποροῦμε] νὰ ἀναγνωρίσουμε τὴν ἀληθινὴ καὶ προερχόμενη ἀπὸ τὸν Θεὸ διάκρισι ἀπὸ αὐτήν, ποὺ φέρει ψευδῶς τὸ ὄνομά της καί [εἶναι] ὑποκριτικὴ καὶ διαβολική;» Τότε ὁ ἀββᾶς Μωυσῆς εἶπε: «Ἀληθινὴ διάκρισι δὲν ἀποκτᾶται, παρὰ μόνο ἀπὸ τὴν ἀληθινὴ ταπείνωσι, μὲ τὸ νὰ ἀποκαλύπτουμε στοὺς Πατέρες [μας] ὄχι μόνο ὅσα κάνουμε, ἀλλὰ καὶ ὅσα ἀκριβῶς σκεπτόμεθα καὶ σὲ καμία περίπτωσι νὰ μὴν δίνουμε πίστι στὸν δικό μας λογισμὸ ἀλλὰ νὰ ἀκολουθοῦμε σὲ ὅλα τοὺς λόγους τῶν Γερόντων καὶ νὰ πιστεύουμε, ὅτι εἶναι καλὸ ἐκεῖνο ἀκριβῶς, ποὺ αὐτοὶ κατόπιν δοκιμῆς [πείρας] θεωροῦν ὡς καλό. Ἐξάλλου αὐτὴ ἡ ἐργασία, ὄχι μόνο

διὰ τῆς ἀληθοῦς διακρίσεως, καὶ ὀρθῆς ὁδοῦ τὸν μοναχὸν ἀβλαβῆ διαμένειν παρασκευάζει, ἀλλὰ μὴν καὶ ἀπὸ πασῶν τῶν παγίδων τοῦ διαβόλου ἀβλαβῆ τοῦτον διαφυλάττει. Ἀδύνατον γὰρ τὸν κρίσει καὶ γνώμῃ τῶν προβεβηκότων ἑαυτοῦ ῥυθμίζοντα βίον, ἀπάτῃ δαιμόνων περιπεσεῖν. Καὶ γὰρ καὶ πρὶν ἀξιωθῆναί τινα τοῦ χαρίσματος τῆς διακρίσεως, αὐτὸ τὸ φανεροῦν καὶ ἀποκαλύπτειν τὰ φαύλας ἐνθυμήσεις τοῖς πατράσι, μαραίνει ταύτας καὶ ἀσθενεστέρας ποιεῖ. Ὥσπερ γὰρ ὄφις ἀπὸ σκοτεινῆς τρυμαλιᾶς ἐξενεχθεὶς εἰς φῶς, σπουδάζει φυγῇ χρήσασθαι καὶ ἀφανισμῷ· οὕτω καὶ οἱ πονηροὶ λογισμοί, διὰ τῆς ἀρίστης ὁμολογίας καὶ ἐξαγορεύσεως φανερωθέντες, σπουδάζουσι φεύγειν ἀπὸ τοῦ ἀνθρώπου. Καὶ ὅπως τὴν ἀρετὴν ταύτην ἀκριβέστερον καὶ ἀπὸ παραδείγματος μάθητε, τοῦ ἀββᾶ Σεραπίωνος τὸ ἔργον, ὅπερ αὐτὸς τοῖς παραβάλλουσι, φυλακῆς χάριν, προσέφερε συνεχῶς, διηγήσομαι. Ἔλεγε

μέσῳ τῆς ἀληθινῆς διακρίσεως καὶ τῆς ὀρθῆς μεθόδου ἐξοπλίζει τὸν μοναχὸ ὥστε νὰ παραμείνῃ ἀβλαβής, ἀλλὰ πράγματι καὶ ἀπὸ ὅλες τὶς παγίδες τοῦ διαβόλου τὸν προφυλάσσει ἀβλαβῆ. Διότι [εἶναι] ἀδύνατον, ἐκεῖνος, ποὺ ρυθμίζει τὴν ζωή του μὲ βάση τὴν κρίσι καὶ τὴν γνώμη τῶν προχωρημένων [τῶν Γερόντων δηλαδή], νὰ πέσῃ στὴν ἀπάτη τῶν δαιμόνων. Διότι καὶ πρὶν νὰ ἀξιωθῆ κάποιος τοῦ χαρίσματος τῆς διακρίσεως, αὐτό, δηλαδὴ τὸ νὰ φανερώνῃ καὶ νὰ ἀποκαλύπτῃ τὶς πονηρὲς σκέψεις στοὺς Πατέρες, τὶς μαραίνει καί [τίς] κάνει ἀσθενέστερες . Γιατί, ὅπως ἀκριβῶς, ὅταν τὸ φίδι βγῆ μέσα ἀπὸ σκοτεινὴ τρύπα στὸ φῶς, σπεύδει νὰ φύγῃ καὶ νὰ κρυφθῆ, κατὰ τὸν ἴδιο τρόπο καὶ οἱ πονηροὶ λογισμοί, ἀφοῦ φανερωθοῦν μὲ τὴν ἀκριβῆ ὁμολογία καὶ ἐξαγόρευσι, σπεύδουν νὰ φύγουν ἀπὸ τὸν ἄνθρωπο. Καὶ γιὰ νὰ μάθετε καὶ μὲ ἀκριβέστερο τρόπο μέσῳ παραδείγματος, αὐτὴν τὴν ἀρετή, θά [σᾶς] διηγηθῶ τὸ ἔργο τοῦ ἀββᾶ Σεραπίωνος, τὸ ὁποῖο ἀκριβῶς αὐτὸς ἀνέφερε συνεχῶς χάριν ἐπαγρυπνήσεως, σ᾽ ἐκείνους, πού [τόν] ἐπισκέπτοντο. Δηλαδὴ ἔ-

γὰρ οὕτως· ὅταν ὑπῆρχον νεώτερος, συνέμενον τῷ ἀββᾷ μου· καὶ ὡς ἠσθίομεν, ἀνιστάμενος τῆς τραπέζης, κατ᾽ ἐνέργειαν τοῦ δαίμονος, ἔκλεπτον παξαμᾶν, καὶ τοῦτον ἔτρωγον λάθρα τοῦ ἀββᾶ μου. Ὡς οὖν ἔμεινα τοῦτο ποιῶν ἐπὶ χρόνον, κατακυριευθεὶς οὐκ ἠδυνάμην αὐτοῦ περιγενέσθαι· μόνον δὲ ἐκρινόμην ὑπὸ τῆς ἰδίας συνειδήσεως, τῷ δὲ γέροντι ᾐσχυνόμην εἰπεῖν. Συνέβη δὲ κατ᾽ οἰκονομίαν τοῦ φιλανθρώπου Θεοῦ, ἀδελφούς τινας ἐλθεῖν πρὸς τὸν γέροντα, ὠφελείας χάριν· καὶ ἠρώτων αὐτὸν περὶ τῶν ἰδίων λογισμῶν. Ἀπεκρίθη δὲ ὁ γέρων· ὅτι οὐδὲν οὕτω βλάπτει τοὺς μοναχούς, καὶ χαροποιεῖ τοὺς δαίμονας, ὡς τὸ κρύπτειν τοὺς ἰδίους λογισμοὺς ἀπὸ τῶν πνευματικῶν πατέρων· ἐλάλησε δὲ αὐτοῖς καὶ περὶ ἐγκρατείας. Τούτων δὲ λεγομένων, εἰς ἐμαυτὸν ἐλθὼν καὶ λογισάμενος, ὅτι ὁ Θεὸς ἀπεκάλυψε τῷ γέροντι τὰ πταίσματά μου· καὶ κατανυγείς, ἠρξάμην κλαίειν· καὶ ἐξέβαλον τὸν παξαμᾶν ἐκ τοῦ κόλπου μου,

λεγε κατ᾽ αὐτὸν τὸν τρόπο: «Ὅταν ἤμουν νεώτερος ἔμενα μαζὶ μὲ τὸν Γέροντά μου καὶ καθὼς τρώγαμε, ἀφοῦ σηκωνόμουν ἀπὸ τὴν τράπεζα ἀπὸ ἐνέργεια τοῦ δαίμονα, ἔκλεβα παξιμάδι καὶ τὸ ἔτρωγα κρυφὰ ἀπὸ τὸν Γέροντά μου. Κατ᾽ αὐτόν, λοιπόν, τὸν τρόπο ἐξακολούθησα νὰ κάνω αὐτὸ γιὰ καιρό [καί] ἐπειδὴ ἤμουν ἐξ ὁλοκλήρου κυριευμένος [ἀπ᾽ αὐτὸ τὸ πάθος], δὲν μποροῦσα νά [τό] ὑπερνικήσω. Μόνον βέβαια καταδικαζόμουν ἀπὸ τὴν ἴδια τὴν συνείδησί μου, ἀλλὰ στὸν Γέροντα ντρεπόμουν νὰ [τό] πῶ. Συνέβη δὲ ἀπὸ οἰκονομία τοῦ φιλανθρώπου Θεοῦ, νὰ ἔλθουν στὸν Γέροντα κάποιοι ἀδελφοὶ χάριν [πνευματικῆς] ὠφελείας καὶ τὸν ρωτοῦσαν γιὰ τοὺς δικούς τους λογισμούς. Καὶ ἀποκρίθηκε ὁ Γέροντας, ὅτι τίποτε δὲν βλάπτει τόσο τοὺς μοναχοὺς καὶ χαροποιεῖ τοὺς δαίμονες, ὅπως τὸ νὰ ἀποκρύπτουν τοὺς λογισμούς τους ἀπὸ τοὺς πνευματικούς τους Πατέρες. Τοὺς μίλησε δὲ καὶ σχετικὰ μὲ τὴν ἐγκράτεια. Ἐν ὅσῳ δὲ ἐλέγοντο αὐτά, ἀφοῦ ἦρθα στὸν ἑαυτό μου καὶ σκέφτηκα, ὅτι ὁ Θεὸς ἀπεκάλυψε στὸν Γέροντα τὰ παραπτώματά μου καὶ καθὼς κατανύχτηκα ἄρχισα νὰ κλαίω. Καὶ ἔβγαλα τὸ παξιμάδι ἀπὸ τὸν κόρφο μου,

ὃν κακῶς εἰώθειν κλέπτειν· ῥίψας δὲ ἐμαυτὸν εἰς τὸ ἔδαφος, ᾔτουν συγγνώμην περὶ τῶν παρελθόντων· καὶ εὐχὴν ὑπὲρ ἀσφαλείας τῶν μελλόντων. Τότε λέγει ὁ γέρων· ὦ τέκνον, ἠλευθέρωσέ σε, καὶ ἐμοῦ σιωπῶντος, ἡ σὴ ἐξομολόγησις· καὶ τὸν τιτρώσκοντά σε δαίμονα, διὰ τῆς σιωπῆς, ἐξειπὼν τὰ κατὰ σεαυτόν, κατέσφαξας· ὃν καὶ μέχρι τοῦ νῦν κατακυριεῦσαί σου ἐποίησας, μήτε ἀντιλέγων, μήτε ἐλέγχων αὐτόν· οὐκ ἔτι δὲ ἀπὸ τοῦ νῦν τόπον ἕξει ἐν σοί, ἐκ τῆς καρδίας σου εἰς τὸ φανερὸν ἐξενεχθείς. Οὔπω δὲ συνετέλεσεν ὁ γέρων λαλῶν, καὶ ἰδοὺ ἡ ἐνέργεια ὤφθη ὡς λαμπὰς πυρὸς ἐξελκομένη ἐκ τοῦ κόλπου μου· καὶ ἐπλήρωσε τὸν οἶκον δυσωδίας, ὥστε νομίζειν τοὺς παρόντας, ὅτι πλῆθος τεαφίου ἐστὶ τὸ καιόμενον. Τότε οὖν εἶπεν ὁ γέρων· ἰδοὺ τῶν ἐμῶν λόγων, καὶ τῆς σῆς ἐλευθερώσεως, παρέσχε Κύριος τὴν ἀπόδειξιν, διὰ τοῦ γενομένου σημείου. Οὕτως

τὸ ὁποῖο συνήθιζα νὰ κλέβω. Ἀφοῦ δὲ ἔριξα τὸν ἑαυτό μου στὸ ἔδαφος, ζητοῦσα συγχώρεσι γιὰ ὅσα [ἔπραξα] στὸ παρελθὸν καὶ εὐχὴ γιά [πνευματική] σταθερότητα τῶν μελλοντικῶν [μου πράξεων]. Τότε λέγει ὁ Γέροντας: «Ὦ παιδί [μου], σὲ ἐλευθέρωσε, ἂν καὶ ἐγὼ σιωποῦσα, ἡ δική σου ἐξομολόγησι. Καὶ τὸ δαίμονα ποὺ σὲ ἔπληττε, μὲ τὴν σιωπή, ἀφοῦ ἐξαγορεύθηκες τὰ σχετικὰ μὲ τὸν ἑαυτό σου, κατέσφαξες ἐκεῖνον ποὺ μέχρι καὶ τώρα ἔκανες νὰ σὲ κατακυριεύσῃ, ἐπειδὴ οὔτε [τοῦ] προέβαλες ἀντίρρησι, οὔτε τὸν ἤλεγχες. Ἀλλὰ ἀπὸ τώρα δὲν θὰ ἔχῃ πλέον τόπο μέσα σὲ σένα, ἀφοῦ βγῆκε ἀπὸ τὴν καρδία σου [ἔξω καὶ ἀποκαλύφθηκε] στὰ φανερά». Δὲν εἶχε δὲ ἀκόμα τελειώσει νὰ μιλᾷ ὁ Γέροντας καὶ ἰδοὺ ἡ ἐνέργεια [τοῦ διαβόλου] φάνηκε σὰν πύρινη λαμπάδα, νὰ βγαίνῃ ἀπὸ τὸν κόρφο μου καὶ γέμισε τὸ σπίτι ἀπὸ δυσωδία, ὥστε νὰ νομίζουν, ὅσοι ἦταν παρόντες, ὅτι εἶναι μεγάλη ποσότητα ἀπὸ θειάφι ἐκεῖνο ποὺ καίγεται. Τότε λοιπόν, εἶπε ὁ Γέροντας: «Ἰδού, ὁ Κύριος ἔδωσε, μὲ τὸ σημεῖο, ποὺ ἔγινε, τὴν ἀπόδειξι τῶν δικῶν

οὖν ἀπέστη ἀπ᾽ ἐμοῦ διὰ τῆς ἐξομολογήσεως, τὸ πάθος τῆς γαστριμαργίας, καὶ ἡ διαβολικὴ ἐνέργεια ἐκείνη· ὡς μηκέτι μηδὲ εἰς ἔννοιάν με ἐλθεῖν τῆς τοιαύτης ἐπιθυμίας. Ἰδοὺ τοίνυν καὶ ἐκ τῶν εἰρημένων ὑπὸ τοῦ ἀββᾶ Σεραπίωνος μανθάνομεν, ὅτι τότε ἀξιούμεθα τοῦ χαρίσματος τῆς ἀληθινῆς διακρίσεως, ὅταν μὴ τῷ κριτηρίῳ τῆς ἑαυτῶν διανοίας καταπιστεύσωμεν, ἀλλὰ τῇ διδαχῇ καὶ διατυπώσει τῶν πατέρων. Καὶ γὰρ οὐ δι᾽ ἄλλου τινὸς ἐλαττώματος οὕτως ὁ διάβολος κατὰ κρημνῶν φέρει τὸν μοναχόν, ὡς διὰ τοῦ πεῖσαι αὐτόν, ἀθετεῖν μὲν τὰς τῶν πατέρων νουθεσίας, ἀκολουθεῖν δὲ τῇ ἰδίᾳ κρίσει, καὶ τῷ ἑαυτοῦ θελήματι. Ἐχρῆν δὲ ἡμᾶς καὶ ἐκ τῶν ἀνθρωπίνων τεχνῶν, καὶ ἐπιστημῶν τὰ παραδείγματα λαμβάνοντας, παιδεύεσθαι, εἰ γὰρ ταῦτα, καὶ χερσὶ ψηλαφῶντες, καὶ ὀφθαλμοῖς ὁρῶντες, καὶ ὠσὶν ἀκούοντες, ἀφ᾽ ἑαυτῶν κατορθῶσαι ἀδυνατοῦμεν· δεόμεθα δὲ τοῦ καλῶς διδάσκοντος, καὶ κανονίζον-

μου λόγων καὶ τῆς δικῆς σου ἀπαλλαγῆς [ἀπὸ τὴν δαιμονικὴ ἐνέργεια]». Κατ᾽ αὐτὸν τὸν τρόπο λοιπόν, μὲ τὴν ἐξομολόγησι ἀπομακρύνθηκε ἀπὸ μένα τὸ πάθος τῆς γαστριμαργίας καὶ ἐκείνη ἡ διαβολικὴ ἐνέργεια, ὥστε ποτὲ πλέον νὰ μὴν ἔρθω σὲ συγκατάθεσι γιὰ μιὰ τέτοιου εἴδους ἐπιθυμία». Νὰ λοιπόν, καὶ ἀπὸ αὐτά, ποὺ εἰπώθηκαν ἀπὸ τὸν ἀββᾶ Σεραπίωνα μαθαίνουμε, ὅτι τότε ἀξιωνόμαστε τοῦ χαρίσματος τῆς ἀληθινῆς διακρίσεως, ὅταν δὲν δίδουμε πίστι στὸ κριτήριο τῆς δικῆς μας διανοίας, ἀλλὰ στὴν διδασκαλία καὶ τὸν ὁρισμὸ τῶν Πατέρων. Καὶ διότι μέσῳ κανενὸς ἄλλου ἐλαττώματος δὲν ὁδηγεῖ τόσο, ὁ διάβολος τὸν μοναχὸ στὸν γκρεμό, ὅσο μὲ τὸ νὰ τὸν πείσῃ νὰ ἀθετῇ μὲν τὶς νουθεσίες τῶν Πατέρων, νὰ ἀκολουθῇ δὲ τὴν δική του κρίσι καὶ τὸ δικό του θέλημα. Ἔπρεπε βέβαια ἐμεῖς νὰ διδασκώμαστε, παίρνοντας παραδείγματα καὶ ἀπὸ τὶς ἀνθρώπινες τέχνες καὶ ἐπιστῆμες, ἐφόσον πράγματι αὐτά [ποὺ εἶναι σχετικὰ μ᾽ αὐτὲς τὶς τέχνες], ἂν καὶ τὰ ψηλαφοῦμε μὲ τὰ χέρια καὶ τὰ βλέπουμε μὲ τὰ μάτια καὶ τ᾽ ἀκοῦμε μὲ τὰ αὐτιά, ἀδυνατοῦμε ἀπὸ μόνοι μας νά [τὰ] κατορθώσουμε, ἀλλὰ ἔχουμε ἀνάγκη ἀπὸ ἐκεῖνον, ποὺ καλῶς διδάσκει καὶ ἐκπαιδεύει, [νὰ μᾶς τὰ

τος· πῶς οὐ μωρόν, τὴν πνευματικὴν τέχνην, τὴν πασῶν τεχνῶν δυσχερεστέραν, νομίζειν μὴ δεῖσθαι διδασκάλου; Ἥτις καὶ ἀόρατος καὶ κεκρυμμένη ὑπάρχει, καὶ μόνῃ καθαρότητι καρδίας θεωρουμένη· ἧς τινος τέχνης ἡ ἀποτυχία, οὐ πρόσκαιρον ζημίαν, ἀλλὰ ψυχῆς ἀπώλειαν τίκτει, καὶ θάνατον αἰώνιον. Ὁ Γερμανὸς εἶπε· πρόφασιν ἡμῖν αἰσχύνης καὶ προκάλυμμα ἐπιβλαβοῦς εὐλαβείας τίκτειν εἴωθε, τό, πολλάκις τινὰς τῶν πατέρων ἀκούσαντας παρὰ ἀδελφῶν λογισμούς, μὴ μόνον τούτους μὴ θεραπεῦσαι, ἀλλὰ καὶ καταγνῶναι αὐτῶν, καὶ εἰς ἀπόγνωσιν ἐμβαλεῖν· ὥσπερ γὰρ καὶ ἡμεῖς αὐτοὶ τοῦτο ἔγνωμεν συμβάν, ἐν τοῖς μέρεσι τῆς Συρίας. Ἀδελφὸς γάρ τίς τινι τῶν ἐκεῖσε γερόντων ἐξεῖπε τοὺς ἰδίους λογισμούς, μετὰ πάσης ἁπλότητος καὶ ἀληθείας, ἀναισχύντως ἀπογυμνώσας τὰ κρυπτὰ τῆς ἑαυτοῦ καρδίας· ὁ δὲ πάραυτα τῷ ἀκοῦσαι, ἤρξατο ἀγανακτεῖν καὶ κινεῖσθαι κατὰ τοῦ ἀδελφοῦ, μεμφόμενος αὐτὸν

διδάξῃ]. Πῶς δέν [εἶναι] ἀνόητο νὰ νομίζουμε, ὅτι ἡ πνευματικὴ τέχνη δὲν χρειάζεται διδάσκαλο, [ποὺ εἶναι] ἀπὸ ὅλες τὶς τέχνες ἡ δυσκολώτερη; Αὐτὴ εἶναι καὶ ἀόρατη καὶ κρυμμένη καὶ τέτοια ποὺ θεωρεῖται μόνο μὲ τὴν καθαρότητα τῆς καρδίας· αὐτῆς τῆς τέχνης ἡ ἀποτυχία δὲν προξενεῖ μιὰ προσωρινὴ ζημία, ἀλλὰ τὴν ἀπώλεια τῆς ψυχῆς καὶ τὸν αἰώνιο θάνατο». Εἶπε ὁ Γερμανός: «Συνηθίζει νὰ γεννᾷ μέσα μας [ὅταν θέλουμε νὰ ἐξομολογηθοῦμε] πρόφασι ντροπῆς καὶ πρόσχημα [ὑπεκφυγὴ τῆς ἐξομολογήσεως] εὐλαβείας ἐπιβλαβοῦς, τὸ ὅτι πολλὲς φορὲς κάποιοι ἀπὸ τοὺς Πατέρες, ἐνῶ ἄκουσαν λογισμοὺς ἀπὸ ἀδελφούς, ὄχι μόνον δὲν τοὺς θεράπευσαν, ἀλλὰ καὶ τοὺς κατεδίκασαν καί [τούς] βύθισαν στὴν ἀπόγνωσι· ὅπως πράγματι καὶ ἐμεῖς οἱ ἴδιοι ἐμάθαμε ὅτι συνέβη αὐτὸ στὰ μέρη τῆς Συρίας: Κάποιος δηλαδὴ ἀδελφός, ἐξαγορεύτηκε τοὺς λογισμούς του σὲ κάποιον ἀπὸ τοὺς ἐκεῖ Γέροντες μὲ ὅλη τὴν ἁπλότητα καὶ τὴν ἀλήθεια, ἀποκαλύπτοντας χωρὶς ντροπὴ τὰ κρύφια τῆς καρδίας του. Ἐκεῖνος ὅμως ἀμέσως μόλις ἄκουσε, ἄρχισε νὰ ἀγανακτῇ καὶ νὰ ταράζεται ἐναντίον τοῦ ἀδελφοῦ κατηγορώντας τον

ἐπὶ ταῖς τοιαύταις φαύλαις ἐνθυμήσεσιν· ὡς ἐκ τούτου πολλοὺς ἀκούσαντας, ἐρυθριᾷν ἐξαγγέλειν τοὺς ἰδίους λογισμοὺς τοῖς γέρουσιν. Ὁ ἀββᾶς Μωυσῆς εἶπε· καλὸν μέν ἐστι, καθὰ προεῖπον, μὴ ἀποκρύπτειν τοὺς ἰδίους λογισμοὺς ἀπὸ τῶν πατέρων· οὐ μέντοι τοῖς τυχοῦσι λέγειν· ἀλλὰ καὶ γέρουσι πνευματικοῖς καὶ διάκρισιν ἔχουσιν ἐξαγγέλλειν, οὐχὶ τοῖς διὰ χρόνον πεπολιωμένοις. Ἐπειδὴ πολλοὶ πρὸς τὴν ἡλικίαν ἀποβλέποντες, καὶ τοὺς ἑαυτῶν λογισμοὺς ἐξειπόντες, ἀντὶ θεραπείας εἰς ἀπόγνωσιν διὰ τῆς ἀπειρίας τῶν ἀκουόντων ἐνέπεσον. Ἦν γάρ τις τῶν ἀδελφῶν πάνυ σπουδαῖος, καὶ σφοδρῶς ὀχληθεὶς ὑπὸ τοῦ δαίμονος τῆς πορνείας, ἦλθε πρός τινα γέροντα, καὶ ἀνήγγειλεν αὐτῷ τοὺς ἰδίους λογισμούς· ἐκεῖνος δὲ ἀκούσας ἄπειρος ὤν, ἀγανακτῶν, ἄθλιον ἔλεγε τὸν ἀδελφὸν καὶ ἀνάξιον τοῦ μοναχικοῦ σχήματος, ὡς τοιούτους δεξάμενον λογισμούς. Ταῦτα ἀκούσας ὁ ἀδελφός, ἀπογνοὺς ἑαυτοῦ, καὶ κα-

γιὰ αὐτοῦ τοῦ εἴδους τὶς πονηρὲς σκέψεις, ὥστε ἐξ αἰτίας αὐτοῦ πολλοὶ ποὺ ἄκουσαν [αὐτὸ τὸ γεγονός] νὰ ντρέπωνται νὰ ἐξαγορεύωνται τοὺς λογισμούς τους στοὺς Γέροντες». Ὁ ἀββᾶς Μωυσῆς εἶπε: «Εἶναι βέβαια, καλό, ὅπως προεῖπα, νὰ μὴν ἀποκρύπτουμε τοὺς λογισμούς μας ἀπὸ τοὺς Πατέρες. Ἀλλὰ ὅμως [δὲν εἶναι καλό] νά [τούς] λέμε σὲ ὅποιους τύχει ἀλλὰ νὰ ἐξαγορευώμεθα σὲ Γέροντες, πού [εἶναι] καὶ πνευματικοὶ καὶ ἔχουν διάκρισι, ὄχι σὲ ὅσους ἔχουν γίνει γέροντες [μόνο] ἐξ αἰτίας τοῦ χρόνου. Ἐπειδὴ πολλοί, καθὼς ἔστρεψαν τὴν προσοχή τους στὴν ἡλικία καὶ ἐξαγορεύτηκαν τοὺς λογισμούς τους, ἀντὶ γιὰ θεραπεία περιέπεσαν στὴν ἀπόγνωσι ἐξ αἰτίας τῆς ἀπειρίας ἐκείνων, ποὺ τοὺς ἄκουσαν. Ἦταν, λοιπόν, κάποιος ἀπὸ τοὺς ἀδελφοὺς πολὺ ἐπιμελὴς [μοναχός] καὶ ἐπειδὴ ἐνοχλήθηκε ἔντονα ἀπὸ τὸν δαίμονα τῆς πορνείας, ἦρθε σὲ κάποιο Γέροντα καὶ τοῦ ἐξαγορεύθηκε τοὺς λογισμούς του. Ἐκεῖνος δέ, ὅταν [τούς] ἄκουσε, ἐπειδὴ ἦταν ἄπειρος, ἐν ἀγανακτήσει ἀποκαλοῦσε τὸν ἀδελφὸ ἄθλιο καὶ ἀνάξιο τοῦ μοναχικοῦ σχήματος, διότι δέχθηκε τέτοιου εἴδους λογισμούς. Ὅταν ἄκουσε αὐτὰ ὁ ἀδελφός, φθάνοντας σὲ ἀπόγνωσι γιὰ τὸν ἑαυτό του, ἀφοῦ ἐγκα-

ταλείψας τὸν ἴδιον τόπον, ἐπὶ τὸν κόσμον ἐπανήρχετο. Κατὰ δὲ Θεοῦ οἰκονομίαν, ὑπαντᾷ αὐτῷ ὁ ἀββᾶς Ἀπολλώς, τῶν Γερόντων ὁ δοκιμώτατος· καὶ βλέπων αὐτὸν τεταραγμένον, καὶ πάνυ σκυθρωπόν, ἠρώτα αὐτὸν λέγων· τέκνον, τίς ἡ αἰτία τῆς τοσαύτης στυγνότητος; Ὁ δέ, τὴν μὲν ἀρχὴν ἐκ τῆς πολλῆς ἀθυμίας, οὐδὲν ἀπεκρίθη· ὕστερον δὲ πολλὰ παρακληθεὶς ὑπὸ τοῦ Γέροντος, τὰ καθ᾽ ἑαυτὸν ἐξεῖπε, λέγων· ὅτι λογισμοὶ πολλάκις ὀχλοῦσί μοι, καὶ ἀπελθὼν ἀνήγγειλα τῷδε τῷ γέροντι· καὶ κατὰ τὸν λόγον αὐτοῦ, οὐκ ἔστι μοι σωτηρίας ἐλπίς· ἀπογνοὺς οὖν ἐμαυτοῦ, ἀπέρχομαι εἰς τὸν κόσμον. Ταῦτα ὁ πατὴρ Ἀπολλὼς ἀκούσας, πολλὰ παρεκάλει καὶ ἐνουθέτει τὸν ἀδελφόν, λέγων· μὴ ξενίζου, τέκνον, μηδὲ ἀπελπίσῃς σεαυτόν. Ἐγὼ γὰρ ἐν τοιαύτῃ ἡλικίᾳ καὶ πολιᾷ ὑπάρχων, σφόδρα ὑπὸ τούτων τῶν λογισμῶν ὀχλοῦμαι. Μὴ οὖν ἀθυμήσῃς ἐπὶ τῇ τοιαύτῃ πυρώσει, ἥτις, οὐ τοσοῦτον ἀν-

τέλειψε τὸν τόπο του, ἐπέστρεφε στὸν κόσμο. Κατ᾽ οἰκονομίαν ὅμως τοῦ Θεοῦ, τὸν συναντᾶ ὁ ἀββᾶς Ἀπολλώς, ὁ ὁποῖος [εἶναι] ὁ πλέον ἔμπειρος ἀπὸ τοὺς Γέροντες. Καὶ βλέποντας αὐτὸν νὰ ἔχῃ ταραχθῆ καί [νὰ εἶναι] πάρα πολὺ σκυθρωπός, τὸν ρώτησε λέγοντας: «Παιδί [μου], ποιά [εἶναι] ἡ αἰτία τῆς τόσο μεγάλης [σου] κατήφειας;» Ἐκεῖνος ὅμως, στὴν ἀρχὴ ἀπὸ τὴν πολλή του βαρυθυμία δὲν ἀποκρίθηκε τίποτα. Ὕστερα ὅμως, ἀφοῦ ὁ Γέροντας πολύ [τόν] παρακάλεσε, ἐξαγορεύτηκε τὰ σχετικά μ᾽ αὐτόν, λέγοντας, ὅτι πολλὲς φορὲς μὲ ἐνοχλοῦν λογισμοὶ καὶ ἀφοῦ πῆγα σ᾽ αὐτὸν τὸν Γέροντα [τούς] ἐξαγορεύτηκα καὶ σύμφωνα μὲ τὸν λόγο του δὲν ὑπάρχει γιὰ μένα ἐλπίδα σωτηρίας. Ἐπειδή, λοιπόν, ἔφθασα σὲ ἀπόγνωσι γιὰ τὸν ἑαυτό μου, ἐπιστρέφω στὸν κόσμο. Ὅταν ἄκουσε αὐτὰ ὁ πατὴρ Ἀπολλώς, νουθετοῦσε καὶ παρακαλοῦσε πολλὲς φορὲς τὸν ἀδελφό, λέγοντας: «Μὴν παραξενεύεσαι, παιδί [μου], οὔτε νὰ ἀπελπίζεσαι. Διότι ἐγώ, ἐνῶ εἶμαι σ᾽ αὐτὴν ἐδῶ τὴν γεροντικὴ ἡλικία, ἐνοχλοῦμαι σφόδρα ἀπὸ αὐτοὺς τοὺς λογισμούς. Μὴ λοιπὸν βαρυθυμήσῃς ἀπὸ αὐτοῦ τοῦ εἴδους τὴν πύρωσι, ἡ ὁποία δὲν θεραπεύεται τόσο μὲ τὴν ἀν-

θρωπίνῃ σπουδῇ θεραπεύεται, ὅσον τῇ τοῦ Θεοῦ φιλανθρωπίᾳ. Μόνον δὲ τὴν σήμερον χάρισαί μοι, καὶ ὑπόστρεψον εἰς τὸ κελλίον σου. Ἐποίησε δὲ ὁ ἀδελφὸς οὕτω. Καὶ ἀπελθὼν ἀπ᾽ αὐτοῦ ὁ ἀββᾶς Ἀπολλῶς, ἀπῆλθεν εἰς τὸ κελλίον τοῦ ἀπαγορεύσαντος τὸν ἀδελφὸν Γέροντος. Καὶ στὰς ἔξω, ἐδεήθη τοῦ Θεοῦ μετὰ δακρύων, λέγων· Κύριε, ὁ τοὺς πειρασμοὺς ὑπὲρ τοῦ συμφέροντος ἐπάγων, μετάστρεψον τὸν πόλεμον τοῦ ἀδελφοῦ, εἰς τοῦτον τὸν γέροντα· ἵνα διὰ πείρας εἰς τὸ γῆρας αὐτοῦ μάθῃ, ἅπερ ἐν τῷ μακρῷ χρόνῳ οὐκ ἐδιδάχθη· ὅπως συμπάσχῃ τοῖς πολεμουμένοις. Ὡς δὲ τὴν εὐχὴν ἐτέλεσεν, ὁρᾷ αἰθίοπα στήκοντα πλησίον τοῦ κελλίου, καὶ βέλη ἀφιέντα κατὰ τοῦ γέροντος· ἀφ᾽ ὧν τρωθείς, εὐθέως ὡς ἐκ μέθης, ὧδε κἀκεῖσε περιεφέρετο. Μὴ δυνάμενος δὲ καρτερῆσαι, ἐξελθὼν τοῦ κελλίου, τῇ αὐτῇ ὁδῷ, ᾗ καὶ ὁ νεώτερος, ἐπὶ τὸν κόσμον ἐχώρει. Ὁ δὲ ἀββᾶς Ἀπολλῶς νοήσας τὸ γεγονός, ὑ-

θρώπινη ἐπιμέλεια, ὅσο μὲ τὴν φιλανθρωπία τοῦ Θεοῦ. Ὅμως χάρισέ μου μόνο τὴν σημερινὴ [ἡμέρα] καὶ ἐπίστρεψε στὸ κελλί σου». Καὶ ἔπραξε κατ᾽ αὐτὸν τὸν τρόπο ὁ ἀδελφός. Καὶ φεύγοντας ἀπὸ ἐκεῖνον ὁ ἀββᾶς Ἀπολλώς, πῆγε στὸ κελλὶ τοῦ Γέροντα ἐκείνου, ποὺ ἐξουθένωσε τὸν ἀδελφό. Καὶ ἀφοῦ στάθηκε ἔξω, προσευχήθηκε μετὰ δακρύων στὸν Θεό, λέγοντας: «Κύριε, [Ἐσύ], ποὺ ἐπιφέρεις τοὺς πειρασμοὺς χάριν τοῦ συμφέροντός [μας], στρέψε τὸν πόλεμο τοῦ ἀδελφοῦ σ᾽ αὐτὸν ἐδῶ τὸν Γέροντα, γιὰ νὰ μάθῃ ἀπὸ πεῖρα στὰ γεράματά του, ἐκεῖνα ἀκριβῶς τὰ ὁποῖα μέσα στὸν μακρὸ χρόνο [τῆς ζωῆς του] δὲν ἐδιδάχθη, γιὰ νὰ συμπάσχῃ μ᾽ ἐκείνους ποὺ πολεμοῦνται». Ὅταν δὲ τελείωσε τὴν προσευχή, βλέπει ἕνα [πρόσωπο] μὲ μαύρη ὄψι νὰ στέκῃ κοντὰ στὸ κελλὶ καὶ νὰ ρίχνῃ βέλη ἐναντίον τοῦ Γέροντος, ἀπὸ τὰ ὁποῖα καθὼς ἀμέσως πληγώθηκε, περιφερόταν ἐδῶ κι ἐκεῖ σὰν μεθυσμένος. Μὴ μπορῶντας δὲ νὰ ὑπομείνῃ, βγαίνοντας ἀπὸ τὸ κελλί, ἔπαιρνε τὸν ἴδιο δρόμο γιὰ τὸν κόσμο, τὸν ὁποῖο [εἶχε πάρει] καὶ ὁ νεώτερος [ἀδελφός]. Ὁ δὲ ἀββᾶς Ἀπολλὼς ἐννοήσας τὸ τί συμβαίνει, πῆγε καὶ

πήντησεν αὐτῷ, λέγων· ποῦ πορεύῃ; Τίς δὲ ἡ αἰτία τῆς κατεχούσης σε ταύτης ταραχῆς; Αἰσθανθεὶς δὲ ὅτι ἐγνώσθη τὰ κατ᾽ αὐτὸν τῷ Ἁγίῳ, ἀπὸ τῆς αἰσχύνης οὐδὲν ἔλεγεν. Εἶπε δὲ αὐτῷ ὁ ἀββᾶς Ἀπολλώς· ὑπόστρεψον εἰς τὸ κελλίον σου, καὶ τοῦ λοιποῦ ἐπίγνωθι τὴν ἀσθένειάν σου· καὶ ἔχε σεαυτόν, ἢ ἀγνοηθέντα ὑπὸ τοῦ διαβόλου, ἢ καταφρονηθέντα· διὸ οὐκ ἠξιώθης τῆς πρὸς αὐτὸν πάλης. Τί δὲ λέγω πάλης; Προσβολῆς γὰρ αὐτοῦ ἕως μιᾶς ἡμέρας ὑπενεγκεῖν οὐκ ἠδυνήθης. Τοῦτο δέ σοι συνέβη, ὅτι νεώτερον ὑπὸ τοῦ κοινοῦ ἐχθροῦ πολεμούμενον δεξάμενος, ἀντὶ τοῦ πρὸς τὸν ἀγῶνα ἀλεῖψαι, εἰς ἀπόγνωσιν ἐνέβαλες· μὴ λογισάμενος τὸ σοφὸν ἐκεῖνο παράγγελμα, λέγον· ῥῦσαι ἀπαγομένους εἰς θάνατον· καὶ ἐκπριᾶν κτεινομένους μὴ φείσῃ[18]. Ἀλλ᾽ οὐδὲ τὴν παραβολὴν τοῦ Σωτῆρος ἡμῶν, τὴν λέγουσαν κάλαμον συντεθλασμένον μὴ συντρίβειν καὶ λῖνον καπνιζόμενον μὴ σβεννύειν[19]. Οὐδεὶς

τὸν συνάντησε, λέγοντας: «Ποῦ πηγαίνεις; Καὶ ποιὰ εἶναι ἡ αἰτία αὐτῆς τῆς ταραχῆς, ποὺ σὲ διακατέχει;» Ἐπειδὴ ὅμως κατάλαβε, ὅτι ἔγιναν γνωστὰ στὸν Ἅγιο τὰ σχετικὰ μ᾽ αὐτόν, ἀπὸ τὴν μεγάλη [του] ντροπὴ δὲν ἔλεγε τίποτα. Εἶπε δὲ ὁ ἀββᾶς Ἀπολλῶς σ᾽ αὐτόν: «Ἐπίστρεψε στὸ κελλί σου καὶ στὸ ἑξῆς ἔχε ἐπίγνωσι τῆς ἀσθενείας σου καὶ θεώρησε τὸν ἑαυτό σου, ὅτι ἢ ἀγνοήθηκε ἀπὸ τὸν διάβολο ἢ περιφρονήθηκε, γι᾽ αὐτό [καί] δὲν ἀξιώθηκες [στὴ ζωή σου, μέχρι σήμερα] τὴν πάλη ἐναντίον του. Καὶ τί πάλη λέω; [Καὶ χαρὰ στὴν πάλη]! Διότι δὲν μπόρεσες νὰ ὑποφέρῃς τὴν προσβολή του [οὔτε] γιὰ μία ἡμέρα. Αὐτὸ ὅμως σοῦ συνέβη, διότι, ὅταν δέχθηκες νεώτερο [ἀδελφό], ὁ ὁποῖος ἐπολεμᾶτο ἀπὸ τὸν κοινό [μας] ἐχθρό, [τὸν διάβολο], ἀντὶ νὰ τὸν ἀλείψῃς[α´] [νὰ τὸν προγυμνάσῃς καὶ ἐνισχύσῃς] γιὰ τὸν ἀγῶνα, [τόν] βύθισες στὴν ἀπόγνωσι, χωρὶς νὰ ὑπολογίσῃς τὴν σοφὴ ἐκείνη ἐντολή, ποὺ λέγει: «Σῶσε ἐκείνους, ποὺ τοὺς ὁδηγοῦν στὸ θάνατο καὶ μὴν ἀποφύγῃς νὰ ἐξαγοράσῃς ἐκείνους, ποὺ εἶναι ὑπὸ ἐκτέλεσι». Ἀλλά [δὲν ὑπολόγισες] οὔτε τὴν παραβολὴ τοῦ Σωτῆρα μας, ἡ ὁποία λέγει: «Καλάμι, ποὺ ἔχει σπάσει, νὰ μήν [τό] συντρίψῃς καὶ φυτίλι, πού βγάζει ἀκόμα καπνὸ νὰ μὴν [τό] σβήσῃς». Διότι κα-

γὰρ τοῦ ἐχθροῦ φέρειν ἠδύνατο τὰς ἐπιβουλάς, ἀλλ' οὐδὲ τὸν ἔμπυρον τῆς φύσεως βρασμὸν σβέσαι, εἰμὴ ἡ τοῦ Θεοῦ χάρις ἐφρούρει τὴν ἀνθρωπίνην ἀσθένειαν. Τοιγαροῦν συμπληρωθείσης τῆς περὶ ἡμᾶς σωτηριώδους ταύτης οἰκονομίας, κοιναῖς εὐχαῖς τὸν Θεὸν ἱκετεύσωμεν· ὅπως καὶ τὴν κατὰ σοῦ ἀφεθεῖσαν μάστιγα παραγάγῃ. Αὐτὸς γὰρ ἀλγεῖν ποιεῖ, καὶ πάλιν ἀποκαθίστησιν· ἔπαισε, καὶ αἱ χεῖρες αὐτοῦ ἰάσαντο[20]*· ταπεινοῖ, καὶ ἀνυψοῖ· θανατοῖ, καὶ ζωογονεῖ· κατάγει εἰς ᾅδου, καὶ ἀνάγει*[21]*. Ταῦτα εἰπών, καὶ ἐπευξάμενος, παραχρῆμα τοῦ ἐπενεχθέντος αὐτῷ πολέμου ἀπήλλαξε· παραινέσας αὐτῷ αἰτεῖν παρὰ Θεοῦ, δοθῆναι αὐτῷ γλῶσσαν παιδείας, τοῦ γνῶναι ἐν καιρῷ, ἡνίκα δεῖ εἰπεῖν λόγον*[22]*. Ἐκ πάντων οὖν τῶν εἰρημένων μανθάνομεν, ὅτι οὐκ ἄλλη εὑρεθήσεται ὁδὸς σωτηρίας ἀσφαλής, ὡς τὸ ἐξαγγέλειν τοὺς ἰδίους λογισμοὺς τοῖς διακριτικωτάτοις τῶν Πατέρων· καὶ ἀ-*

νεὶς δὲν μποροῦσε νὰ σηκώσῃ τὶς ἐπιβουλὲς τοῦ ἐχθροῦ, ἀλλὰ οὔτε καὶ νὰ σβήσῃ τὸν γεμάτο φλόγα βρασμὸ τῆς φύσεως, ἐὰν ἡ Χάρις τοῦ Θεοῦ δὲν στεκόταν φρουρὸς στὴν ἀνθρώπινη ἀδυναμία. Ἑπομένως, ἀφοῦ ὁλοκληρώθηκε διὰ τῆς συνεργίας μας ἡ σωτηριώδης πρὸς ἐμᾶς αὐτὴ οἰκονομία, ἂς ἱκετεύσουμε τὸν Θεὸ μὲ κοινὲς προσευχές, καὶ γιὰ νὰ ἀπομακρύνῃ τὴν μάστιγα, τὴν ὁποία ἐξαπέστειλε ἐναντίον σου. Διότι Αὐτός [μᾶς] κάνει νὰ πονοῦμε καὶ πάλι [μᾶς] ἐπαναφέρει στὴν προτέρα κατάστασι, ἐκτύπησε καὶ οἱ χεῖρες Αὐτοῦ ἐθεράπευσαν, ταπεινώνει καὶ ἀνυψώνει, θανατώνει καὶ ζωογονεῖ, κατεβάζει στὸν Ἅδη καὶ ἀνεβάζει». Ἀφοῦ εἶπε αὐτὰ καὶ προσευχήθηκε, εὐθὺς ἀμέσως [τόν] ἀπήλλαξε ἀπὸ τὸν πόλεμο, ποὺ εἶχε κινηθῆ ἐναντίον του καὶ ἀφοῦ τὸν νουθέτησε νὰ ζητᾷ ἀπὸ τὸν Θεὸ νὰ τοῦ δοθῇ λόγος παιδαγωγικός [διάκρισι], γιὰ νὰ γνωρίζῃ τὴν κατάλληλη στιγμή, ὅταν πρέπει νὰ μιλήσῃ. Ἀπ' ὅλα αὐτὰ λοιπόν, ποὺ εἰπώθηκαν, μαθαίνουμε, ὅτι ἄλλη ὁδὸς σωτηρίας ἀσφαλὴς δὲν θὰ βρεθῇ, ὅπως τὸ νὰ ἐξαγορευώμεθα τοὺς λογισμούς μας στοὺς πλέον διακριτικοὺς ἀπὸ τοὺς Πατέρες. Καὶ ἀ-

πὸ τούτων πρὸς ἀρετὴν κανονίζεσθαι, καὶ μὴ τῷ ἰδίῳ λογισμῷ καὶ κριτηρίῳ ἀκολουθεῖν. Οὐδὲ γὰρ κατὰ τὸ συμβαῖνον εἰ περιτύχοι τις ἑνὶ γέροντι ἁπλουστέρῳ, ἢ ὀλίγοις ἀπείροις, ἐκ τούτου δεῖ φεύγειν ἐξαγγέλλειν τοὺς ἰδίους λογισμοὺς τοῖς δοκιμωτάτοις τῶν Πατέρων, καὶ καταφρονεῖν τῆς παραδόσεως τῶν προγόνων. Ὅτι γὰρ καὶ αὐτοὶ οὐκ ἀφ᾿ ἑαυτῶν κινούμενοι, ἀλλ᾿ ἐκ Θεοῦ, καὶ τῶν θεοπνεύστων Γραφῶν, παραδεδώκασι τοῖς μεταγενεστέροις, τὸ ἐπερωτᾶν τοὺς προωδευκότας, ἔξεστι μὲν καὶ ἀπὸ ἄλλων πολλῶν, τῶν ἐν τῇ θεοπνεύστῳ Γραφῇ κειμένων, μαθεῖν· ἐξαιρέτως δὲ καὶ ἐκ τῆς κατὰ τὸν ἅγιον Σαμουὴλ ἱστορίας· ὃς ἐκ νηπίου ἀνατεθεὶς τῷ Θεῷ ὑπὸ τῆς μητρός, καὶ ἀξιωθεὶς θείας ὁμιλίας, οὐκ ἐπίστευσε τῷ ἰδίῳ λογισμῷ· ἀλλ᾿ ἅπαξ καὶ δὶς κληθεὶς ὑπὸ τοῦ Θεοῦ, ἀνατρέχει πρὸς τὸν γέροντα Ἠλεί, καὶ τῇ τούτου διδαχῇ τυποῦται καὶ κανονίζεται, πῶς δεῖ ὑποκρίνεσθαι τῷ Θεῷ[23]*· καὶ ὃν*

πὸ αὐτοὺς νὰ βάζουμε κανόνα [ποὺ καθορίζει τὴν ἀσκητική μας πρᾶξι] μὲ σκοπὸ τὴν ἀρετὴ καὶ νὰ μὴν ἀκολουθοῦμε τὸν δικό μας λογισμὸ καὶ τὸ δικό μας κριτήριο. Οὔτε βέβαια, ὅπως συμβαίνει, πρέπει νὰ ἀποφεύγῃ κανεὶς νὰ ἐξαγορεύεται τοὺς λογισμούς του στοὺς πλέον ἐμπείρους ἀπὸ τοὺς Πατέρες, ἐὰν ποτὲ ἔτυχε νὰ προσέλθῃ σὲ ἕναν Γέροντα πιὸ ἁπλὸ ἢ στοὺς λίγους ἀπείρους καὶ νὰ καταφρονῇ [ὡς ἐκ τούτου] τὴν παράδοσι τῶν προγόνων. Διότι καὶ αὐτοί [οἱ πρόγονοι] τὸ νὰ συμβουλευώμεθα ἐκείνους ποὺ ἔχουν προοδεύσει, [τό] ἄφησαν ὡς παράδοσι στοὺς μεταγενεστέρους, παρακινούμενοι ὄχι ἀπὸ τοὺς ἑαυτούς τους, ἀλλὰ ἀπὸ τὸν Θεὸ καὶ τὶς θεόπνευστες Γραφές. Εἶναι βέβαια δυνατὸν καὶ ἀπὸ ἄλλα πολλά, τὰ ὁποῖα βρίσκονται μέσα στὴν θεόπνευστη Ἁγία Γραφὴ νά [τό] πληροφορηθοῦμε [αὐτό], ἐξαιρετικὰ ὅμως καὶ ἀπὸ τὴν ἱστορία σχετικὰ μὲ τὸν Ἅγιο Σαμουήλ, ὁ ὁποῖος, ἂν καὶ ἀπὸ τὴν νηπιακή του ἡλικία ἀφιερώθηκε στὸν Θεὸ ἀπὸ τὴν μητέρα του καὶ ἀξιώθηκε Θεϊκῆς συνομιλίας, δὲν ἐμπιστεύθηκε τὸ δικό του λογισμό, ἀλλὰ ἂν καὶ κλήθηκε μία καὶ δύο φορὲς ἀπὸ τὸν Θεό, τρέχει πίσω στὸν Γέροντα Ἠλεὶ καὶ παίρνει τάξι καὶ κανόνα σύμφωνα μὲ τὴν διδασκαλία ἐκείνου, πῶς πρέπει νὰ δίνῃ ἀπάντησι στὸν Θεό· καὶ ἐκεῖνον,

τῇ ἰδίᾳ κλήσει ἄξιον ἑαυτοῦ ὁ Θεὸς ἐψηφίσατο, τοῦτον βούλεται τῇ διατυπώσει καὶ διαταγῇ τοῦ γέροντος παιδαγωγεῖσθαι· ὡς ἐκ τούτου δηλαδή, πρὸς ταπείνωσιν ὁδηγηθησόμενον. Καὶ τὸν Παῦλον δὲ δι᾽ ἑαυτοῦ καλῶν, καὶ προδιαλεγόμενος ὁ Χριστός, δυνάμενος εὐθὺς ἀνοῖξαι αὐτοῦ τοὺς ὀφθαλμούς, καὶ τῆς τελειότητος τὴν ὁδὸν γνωρίσαι, πρὸς Ἀνανίαν παραπέμπει, καὶ παρ᾽ αὐτοῦ κελεύει μαθεῖν τὴν ὁδὸν τῆς ἀληθείας, λέγων· Ἐγείρου, εἴσελθε εἰς τὴν πόλιν, κἀκεῖ σοι λεχθήσεταί τί σε δεῖ ποιεῖν[24]*. Διδάσκων ἡμᾶς διὰ τούτων, τῇ ὁδηγίᾳ τῶν προωδευκότων ἀκολουθεῖν· ἵνα μήποτε τὸ ἐπὶ Παύλου καλῶς λεγόμενον, κακῶς νοηθέν, παράδειγμα πρὸς αὐθάδειαν γένηται τοῖς μεταγενεστέροις· ἑκάστου βουλομένου παραπλησίως τῷ Παύλῳ ἐκ Θεοῦ, καὶ μὴ διὰ τῶν Πατέρων, ἐπὶ τὴν ἀλήθειαν ὁδηγεῖσθαι. Καὶ ὅτι ταῦτα τοῦτον ἔχει τὸν τρόπον, ἔξεστιν οὐκ ἀπὸ τῶν εἰρημένων μόνον μαθεῖν, ἀλλὰ καὶ*

τὸν ὁποῖον μὲ τὸ δικό Του κάλεσμα, ἐνέκρινε ὁ Θεὸς ἄξιό Του, θέλει νὰ παιδαγωγηθῇ μὲ τὸν κανονισμὸ καὶ τὴν διαταγὴ τοῦ Γέροντος, γιὰ νὰ ὁδηγηθῇ φυσικά, ἐξ αἰτίας αὐτοῦ στὴν ταπείνωσι. Ἐπίσης δὲ καὶ τὸν Παῦλο, πού [τόν] κάλεσε καί [τοῦ] μίλησε προηγουμένως ὁ Ἴδιος ὁ Χριστός, ἂν καὶ μποροῦσε ἀμέσως νά [τοῦ] ἀνοίξῃ τοὺς ὀφθαλμούς του καὶ νά [τοῦ] μάθῃ τὴν ὁδὸ τῆς τελειότητος, [τόν] στέλνει κοντὰ στὸν Ἀνανίαν καὶ διατάζει νὰ μάθῃ ἀπὸ ἐκεῖνον τὴν ὁδὸ τῆς ἀληθείας, λέγοντάς [του]: «Σήκω! Μπὲς στὴν πόλι καὶ ἐκεῖ θὰ σοῦ εἰπωθῇ, τί πρέπει νὰ κάνῃς»· διδάσκοντάς μας, μέσω αὐτῶν, νὰ ἀκολουθοῦμε τὴν ὁδηγία ἐκείνων, ποὺ ἔχουν προοδεύσει, γιὰ νὰ μὴν ἀποβῇ ποτὲ ἐκεῖνο τὸ ὁποῖο εἰπώθηκε σωστὰ κάποτε γιὰ τὸν Παῦλο, ἐὰν κακῶς ἐννοηθῇ, ὑπόδειγμα πρὸς αὐθάδεια στοὺς μεταγενεστέρους, ἐὰν ὁ καθένας ἐπιθυμῇ παρόμοια μὲ τὸν Παῦλο νὰ ὁδηγηθῇ στὴν ἀλήθεια ἀπὸ τὸν Θεὸ καὶ ὄχι μέσῳ τῶν Πατέρων. Καὶ ὅτι αὐτά, αὐτὸν τὸν τρόπο ἔχουν, εἶναι δυνατὸν νά [τό] μάθουμε, ὄχι μόνο ἀπὸ ἐκεῖνα ποὺ εἰπώθηκαν, ἀλλὰ καὶ

ἀφ' ὧν ἔργοις αὐτοῖς ἔδειξεν ὁ Ἀπόστολος, ἐν οἷς γράφει λέγων· ὅτι ἀνῆλθον εἰς Ἱεροσόλυμα ἰδεῖν Πέτρον, καὶ Ἰάκωβον, καὶ ἀνεθέμην τὸ Εὐαγγέλιον αὐτοῖς, ὃ κηρύσσω· μήποτε εἰς κενὸν τρέχω, ἢ ἔδραμον[25]*· καίτοι συνοδευούσης αὐτῷ τῆς χάριτος τοῦ Ἁγίου Πνεύματος, διὰ τῆς δυνάμεως τῶν σημείων, ὧν ἐποίει. Τίς τοίνυν οὕτως ὑπερήφανος καὶ ἀλαζὼν ὑπάρχει, ὥστε τῇ ἰδίᾳ γνώμῃ καὶ κρίσει στοιχεῖν; Ὅταν τὸ σκεῦος τῆς ἐκλογῆς δεῖσθαι τῆς συμβουλίας τῶν πρὸ αὐτοῦ Ἀποστόλων ὁμολογῇ; Προφανῶς οὖν καὶ διὰ τούτων ἀποδέδεικται, ὅτι οὐδενὶ ὁδὸν τελειώσεως ὁ Κύριος ἀποκαλύπτει, εἰμὴ τοῖς διὰ πνευματικῶν Πατέρων ἐπὶ ταύτην ὁδηγουμένοις. Καθὼς καὶ διὰ τοῦ Προφήτου λέγει· ἐπερώτησον τὸν πατέρα σου, καὶ ἀναγγελεῖ σοι· τοὺς πρεσβυτέρους σου, καὶ ἐροῦσί σοι*[26]*. Πάσῃ τοίνυν δυνάμει καὶ πάσῃ σπουδῇ, τὸ ἀγαθὸν τῆς διακρίσεως χάρισμα ἐν ἑαυτοῖς ὀφείλομεν κτήσασθαι· ὅπερ δυ-*


ἀπὸ αὐτὰ τὰ ὁποῖα μὲ τὰ ἴδια [του] τὰ ἔργα ἔδειξε ὁ Ἀπόστολος, μεταξὺ τῶν ὁποίων [ἔργων του] γράφει [καὶ τὰ ἑξῆς]: ὅτι ἀνέβηκα στὰ Ἱεροσόλυμα νὰ δῶ τὸν Πέτρο καὶ τὸν Ἰάκωβο καὶ ἀνακοίνωσα σ' αὐτοὺς τὸ Εὐαγγέλιο, τὸ ὁποῖο κηρύσσω, μὴ τυχὸν κάποτε ματαίως ἀγωνίζωμαι ἢ ἀγωνίστηκα, ἂν καὶ τὸν συνόδευε ἡ Χάρις τοῦ Ἁγίου Πνεύματος μὲ τὴν δύναμι τῶν θαυμάτων, τὰ ὁποῖα ἔκανε. Ποιὸς λοιπὸν εἶναι τόσο ὑπερήφανος καὶ ἀλαζόνας, ὥστε νὰ ἀκολουθῇ τὴν δική του γνώμη καὶ κρίσι; Ὅταν τὸ σκεῦος τῆς ἐκλογῆς, [ὁ Παῦλος] ὁμολογῇ ὅτι ἔχει ἀνάγκη τῆς συμβουλῆς τῶν πρὶν ἀπ' αὐτὸν Ἀποστόλων; Προφανῶς λοιπόν, καὶ ἀπὸ αὐτὰ ἔχει ἀποδειχθῆ, ὅτι δὲν ἀποκαλύπτει σὲ κανέναν ὁ Κύριος τὴν ὁδὸ τῆς τελειώσεως, παρὰ μόνο σ' ἐκείνους, ποὺ ὁδηγοῦνται πάνω σ' αὐτὴν ἀπὸ τοὺς πνευματικούς [τους] Πατέρες. Καθὼς καὶ μέσῳ τοῦ Προφήτου λέγει: «Ρώτησε τὸν πατέρα σου γιὰ νὰ μάθῃς καὶ θὰ σοῦ κάνῃ γνωστά, [ὅσα δὲν γνωρίζεις]· ρώτησε τοὺς μεγαλυτέρους σου καὶ θὰ σοῦ ποῦνε». Μὲ κάθε λοιπὸν δύναμι καὶ μὲ κάθε ἐπιμέλεια ὀφείλουμε νὰ ἀποκτήσουμε μέσα μας τὸ ἀγαθὸ χάρισμα τῆς διακρίσεως, τὸ ὁποῖο θὰ μπο-

νήσεται ἡμᾶς ἐξ ἑκατέρας ὑπερβολῆς, ἀβλαβεῖς διαφυλάττειν. Καὶ γάρ, καθὼς λέγουσιν οἱ Πατέρες, αἱ ἀκρότητες ἑκατέρων τῶν μερῶν, ἐπίσης βλάπτουσι· καὶ ἡ τῆς νηστείας ὑπερβολή, καὶ ἡ τῆς γαστρὸς χορτασία· καὶ ἡ τῆς ἀγρυπνίας ἀμετρία, καὶ ὁ τοῦ ὕπνου κόρος· καὶ αἱ λοιπαὶ ὑπερβολαί. Καὶ γὰρ ἔγνωμέν τινας, διὰ γαστριμαργίας μὲν μὴ ἡττηθέντας, δι' ἀμέτρου δὲ νηστείας καταβληθέντας, καὶ πρὸς τὸ αὐτὸ πάθος τῆς γαστριμαργίας ὀλισθήσαντας, διὰ τὴν προσγινομένην ἐκ τῆς ἀμέτρου νηστείας ἀσθένειαν. Κἀγὼ δὲ μέμνημαί ποτε, τοιοῦτόν τι πεπονθώς. Καὶ ἐπὶ τοσοῦτον ἐγκρατευσάμενος, ὥστε με ἐπιλαθέσθαι τῆς ὀρέξεως τῆς τροφῆς· καὶ ἐπὶ δύο καὶ τρεῖς ἡμέρας μένοντα ἄσιτον, καὶ μηδὲ ὅλως τροφῆς ἐπιθυμοῦντα, εἰμὴ ἄλλοι ἐπὶ ταύτην διήγειραν· καὶ πάλιν ἀπὸ τῶν ἐμῶν ὀφθαλμῶν, ἐξ ἐπιβουλῆς τοῦ διαβόλου, οὕτως ὁ ὕπνος ἀπέστη, ὡς ἐπὶ πλείστας νύκτας ἄυπνον διατελοῦντα, ἱκετεύειν τὸν Κύ-

ρέση νὰ μᾶς διαφυλάξη ἀβλαβεῖς ἀπὸ καθεμία καὶ ἀπὸ τὶς δύο ὑπερβολές. Διότι καὶ ὅπως λέγουν οἱ Πατέρες, οἱ ἀκρότητες καὶ ἀπὸ τὰ δύο μέρη, βλάπτουν ἐξίσου· καὶ ἡ ὑπερβολὴ τῆς νηστείας καὶ ὁ χορτασμὸς τῆς κοιλίας· καὶ ἡ χωρὶς μέτρο ἀγρυπνία καὶ ὁ χορτασμὸς τοῦ ὕπνου· καὶ οἱ ὑπόλοιπες ὑπερβολές. Καὶ ἐπειδὴ γνωρίζουμε, ὅτι κάποιοι δὲν ἡττήθηκαν μὲν ἀπὸ τὴν γαστριμαργία, ἐξαντλήθηκαν ὅμως ἀπὸ τὴν ἄμετρη νηστεία καὶ ἔπεσαν στὸ ἴδιο πάθος τῆς γαστριμαργίας ἐξ αἰτίας τῆς ἀδυναμίας, ἡ ὁποία συνέβη ἀπὸ τὴν ἄμετρη νηστεία. Θυμᾶμαι λοιπὸν κι ἐγὼ κάποτε, ὅτι ἔχω πάθει κάτι τέτοιο. Καί [θυμᾶμαι] ὅτι ἐγκρατεύτηκα γιὰ τόσο καιρό, ὥστε νὰ ξεχάσω τὴν ἐπιθυμία τῆς τροφῆς· καὶ ὅτι ἔμεινα νηστικὸς γιὰ δύο καὶ τρεῖς ἡμέρες, καὶ δὲν ἐπιθυμοῦσα καθόλου τροφή, ἐὰν οἱ ἄλλοι δὲν μὲ παρακινοῦσαν γι' αὐτήν. Καὶ πάλι ἀπὸ ἐπιβουλὴ τοῦ διαβόλου, τόσο ἀπομακρύνθηκε ὁ ὕπνος ἀπὸ τὰ μάτια μου, ὥστε νὰ ἱκετεύω τὸν Κύριο νὰ μοῦ δώση λίγο ὕπνο, ἐπειδὴ γιὰ πά-

ριον, μικροῦ ὕπνου μεταλαβεῖν με. Καὶ βαρύτερον ἐκινδύνευσα ἐπὶ τῇ ἀμέτρῳ ἀσιτίᾳ, καὶ ἀγρυπνίᾳ, ἤπερ ἐπὶ γαστριμαργίᾳ, καὶ τῇ πληρώσει τοῦ ὕπνου. Ταῖς τοιαύταις καὶ τοσαύταις διδασκαλίαις ἡμᾶς ὁ Ἅγιος Μωυσῆς ηὔφρανεν· ὥστε ἡμᾶς ὠφεληθέντας δοξάζειν τὸν Κύριον, τὸν τοσαύτην σοφίαν παρέχοντα τοῖς φοβουμένοις αὐτόν. Ὧ πρέπει τιμή, καὶ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν.

ρα πολλὲς νύκτες ἐξακολουθοῦσα νὰ παραμένω ἄυπνος. Καὶ κινδύνευσα περισσότερο ἀπὸ τὴν ἄμετρη ἀσιτία καὶ ἀγρυπνία παρὰ ἀπὸ τὴν γαστριμαργία καὶ τὴν ἱκανοποίηση τοῦ ὕπνου». Μὲ τέτοιες καὶ τόσες διδασκαλίες ὁ Ἅγιος Μωυσῆς μᾶς γέμισε μὲ χαρά, ὥστε ἐμεῖς ἀφοῦ ὠφεληθήκαμε νὰ δοξάζουμε τὸν Κύριο, ὁ ὁποῖος χαρίζει τόση σοφία σ᾽ ἐκείνους, ποὺ Τὸν φοβοῦνται. Στὸν Ὁποῖο πρέπει τιμὴ καὶ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν.



ΣΗΜΕΙΩΣΕΙΣ - ΣΧΟΛΙΑ

ΣΗΜΕΙΩΣΕΙΣ - ΣΧΟΛΙΑ
ΑΓΙΟΥ ΝΙΚΟΔΗΜΟΥ

[α'] *πονηρός.*

ΠΑΡΑΠΟΜΠΕΣ
ΣΕ ΧΩΡΙΑ ΤΗΣ ΑΓΙΑΣ ΓΡΑΦΗΣ

[1] Φιλιππ. 3, 14.
[2] Α' Κορ. 13, 3.
[3] Α' Κορ. 13, 4-5.
[4] Ἰὼβ 36, 27.
[5] Πρβ. Α' Πέτρ. 5, 8.
[6] Α' Κορ. 12, 8.
[7] Ματθ. 25, 35.
[8] Ματθ. 6, 22.
[9] Α' Βασ. κεφ. 10 κ.έ.
[10] Ἐφεσ. 4, 26.
[11] Παροιμ. 11, 14.
[12] Ψαλμ. 103, 15.
[13] Παροιμ. 24, 33 (31, 4).
[14] Παροιμ. 25, 28.
[15] Παροιμ. 24, 4.
[16] Ἑβρ. 5, 14.
[17] Πρβ. Β' Κορ. 11, 14.
[18] Παροιμ. 24, 11.
[19] Ματθ. 12, 20.
[20] Ἰὼβ 5, 18.
[21] Α' Βασ. 2, 6-7.
[22] Ἡσ. 50, 4.
[23] Α' Βασ. 3, 9.
[24] Πράξ. 9, 6.
[25] Γαλ. 2, 2.
[26] Δευτερ. 32, 7.

ΣΗΜΕΙΩΣΕΙΣ

α'. Συνηθίζουν οἱ Ἅγιοι Πατέρες γενικώτερα νὰ παίρνουν εἰκόνες ἀπὸ τὰ ἀθλητικὰ ἀγωνίσματα, ὅταν ἀναφέρωνται στὰ σχετικὰ μὲ τὸν πνευματικὸ ἀγῶνα. Στὸ σημεῖο αὐτὸ γίνεται παραβολικὴ ἀναφορὰ στὴν συνήθεια νὰ ἀλείπτωνται οἱ ἀθλητὲς τῆς πάλης μὲ διάφορα ἔλαια ἀπὸ τοὺς προγυμναστές τους, πρὸς ποικίλη ἐνίσχυσί τους πρὸ τῆς ἐνάρξεως τοῦ ἀγῶνος. (Βλ. ΚΟΥΚΟΥΛΕ ΦΑΙΔΩΝΟΣ, *Βυζαντινῶν Βίος καὶ Πολιτισμός*, Ἀθῆναι 1949, τόμ. Γ', σ. 120.)

ΑΓΙΟΣ ΜΑΡΚΟΣ Ο ΑΣΚΗΤΗΣ

οὗ ἡ μνήμη ἐν μηνὶ Μαρτίῳ ε΄

ΣΥΝΤΟΜΟΣ ΒΙΟΓΡΑΦΙΑ ΚΑΙ ΛΟΓΟΙ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΜΑΡΚΟΥ ΤΟΥ ΑΣΚΗΤΟΥ

ΣΥΝΤΟΜΟΣ ΒΙΟΓΡΑΦΙΑ

Ὁ Ὅσιος πατὴρ ἡμῶν Μᾶρκος ὁ Ἀσκητὴς ἤκμασε μὲν κατὰ τὸ τετρακοσιοστὸν τριακοστὸν ἔτος, ἐχρημάτισε δὲ μαθητὴς τοῦ Ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου κατὰ τὸν Νικηφόρον Κάλλιστον Τόμῳ β΄. Βιβλίῳ ιδ΄. Κεφ. νγ΄. σύγχρονος γεγονὼς τῷ Ἁγίῳ Νείλῳ, καὶ Ἰσιδώρῳ τῷ Πηλουσιώτῃ, τοῖς περιβοήτοις Ἀσκηταῖς· φιλόπονος δ᾿ ὤν, καὶ τῇ μελέτῃ τῶν θείων Γραφῶν ἑαυτὸν ἐπιδεδωκώς, πολλοὺς συνέγραψε λόγους παντοίας παιδεύσεως καὶ ὠφελείας μεστούς· ἐξ ὧν τριάκοντα μὲν δύο μνημονεύονται παρὰ Νικηφόρῳ τῷ Καλλίστῳ, πᾶσαν ἀσκητικῆς πολιτείας ὁδὸν ἐκδιδάσκοντες, οἵ τινες τανῦν οὐχ εὑρίσκονται· σῴζονται δὲ μόνοι ὀκτὼ λόγοι αὐτοῦ τῶν εἰρημένων ἕτεροι· ὧν καὶ αὐτὸς ὁ Κάλλιστος μνημονεύει, καὶ ὁ κριτικὸς Φώτιος Ἀναγνώσει σ΄.

Ὁ Ὅσιος πατέρας μας Μᾶρκος ὁ Ἀσκητής, ἤκμασε μὲν γύρω στὸ 430 μ.Χ, ἐχρημάτισε δὲ μαθητὴς τοῦ Ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου, σύμφωνα μὲ τὸν Νικηφόρο Κάλλιστο (τόμος 2ος, βιβλίο 14, κεφ. 53) [καί] ὑπῆρξε σύγχρονος μὲ τὸν Ἅγιο Νεῖλο καὶ τὸν Ἰσίδωρο τὸν Πηλουσιώτη, τοὺς περιφήμους ἀσκητές. Ὄντας δὲ φιλόπονος καὶ ἔχοντας ἀφοσιωθῆ στὴν μελέτη τῶν θείων Γραφῶν, πολλοὺς συνέγραψε λόγους μεστοὺς ἀπὸ ποικίλη διδασκαλία καὶ ὠφέλεια, ἀπὸ τοὺς ὁποίους τριάντα δύο μνημονεύονται ἀπὸ τὸν Νικηφόρο Κάλλιστο. [Πρόκειται γιὰ λόγους], ποὺ διδάσκουν κάθε τρόπο τῆς ἀσκητικῆς πολιτείας, οἱ ὁποῖοι τώρα δὲν εὑρίσκονται. Σώζονται δὲ μόνον ὀκτὼ λόγοι του, οἱ ὁποῖοι εἶναι ἄλλοι ἀπὸ τοὺς προαναφερθέντας, τοὺς ὁποίους καὶ ὁ ἴδιος ὁ Κάλλιστος μνημονεύει καὶ ὁ κριτικὸς Φώτιος στὴν Ἀνάγνωσι 200,

σελ. 268.

Τούτων, ὅ, τε περὶ Πνευματικοῦ Νόμου πρῶτος, καὶ ὁ περὶ τῶν ἐξ ἔργων οἰομένων δικαιοῦσθαι φάσκων, τρίτος· ἐν κεφαλαίοις εὐσυνόπτοις διῃρημένοι· καὶ ὁ πρὸς Μοναχὸν Νικόλαον ὄγδοος, ἐνταῦθα ἐτάχθησαν, ὡς τῶν ἄλλων χρησιμώτεροι, καὶ εἰς τὸν πνευματικὸν συνανήκοντες νόμον. Μνημονεύει δὲ τῶν συγγραμμάτων αὐτοῦ καὶ ὁ Δαμασκηνὸς Ὁσιομάρτυς Πέτρος, καὶ ὁ ἐν Ἁγίοις Γρηγόριος ὁ Θεσσαλονίκης, καὶ Γρηγόριος ὁ Σιναΐτης, καὶ Κάλλιστος ὁ ἁγιώτατος Πατριάρχης, καὶ Παῦλος ὁ Εὐεργετινός, καὶ ἄλλοι τῶν Πατέρων πολλοί· οἱ καὶ ἀναγνόντες ταῦτα, καὶ ἡμᾶς εἰς τὴν ἀνάγνωσιν αὐτῶν προτρεπόμενοι.

Τοῦτον καὶ ἡ ἁγία τοῦ Χριστοῦ Ἐκκλησία τιμῶσα, τῇ ε΄. τοῦ Μαρτίου τὴν μνήμην ποιεῖται, τοὺς ἀσκητικοὺς αὐτοῦ ἀγῶνας, τὸ ἐν λόγοις σοφόν, καὶ τὴν ἄνωθεν αὐτῷ δοθεῖσαν χάριν τῶν θαυμάτων ἀνακηρύττουσα.

σελ. 268.

Ἀπ᾽ αὐτούς, καὶ ὁ περὶ Πνευματικοῦ Νόμου, [κατὰ σειρά] πρῶτος καὶ ἐκεῖνος ποὺ μιλᾶ σχετικὰ μὲ ὅσους νομίζουν, ὅτι δικαιώνονται ἀπὸ τὰ ἔργα [τους], ὁ [κατὰ σειρά] τρίτος, διῃρημένοι [καὶ οἱ δύο] σὲ συνοπτικὰ κεφάλαια, καὶ ὁ [λόγος] πρὸς Μοναχὸ Νικόλαο, ὄγδοος [κατὰ σειρά], κατετάχθησαν ἐδῶ [στὸ παρὸν βιβλίο], ὡς χρησιμώτεροι τῶν ἄλλων καὶ ἐπειδὴ ἀνήκουν ἐπίσης [καὶ αὐτοί] στὸν πνευματικὸ νόμο. Μνημονεύει δὲ τῶν συγγραμμάτων τοῦ [Ἁγίου Μάρκου] καὶ ὁ Ὁσιομάρτυς Πέτρος ὁ Δαμασκηνὸς καὶ ὁ μεταξὺ τῶν Ἁγίων Γρηγόριος, ὁ [Ἐπίσκοπος] Θεσσαλονίκης, [ὁ Παλαμᾶς] καὶ ὁ Γρηγόριος ὁ Σιναΐτης καὶ ὁ ἁγιώτατος Πατριάρχης Κάλλιστος καὶ Παῦλος ὁ Εὐεργετινὸς καὶ ἄλλοι πολλοὶ ἀπὸ τοὺς Πατέρες. Καὶ οἱ ὁποῖοι ἀφοῦ [τά] διάβασαν αὐτὰ καὶ ἐμᾶς προτρέπουν στὴν ἀνάγνωσί τους.

Αὐτὸν τιμώντας καὶ ἡ Ἁγία τοῦ Χριστοῦ Ἐκκλησία, ἑορτάζει τὴν μνήμη [του] στὶς 5 τοῦ Μαρτίου, διακηρύσσοντας τοὺς ἀσκητικούς του ἀγῶνες, τὴν σοφία τῶν λόγων [του] καὶ τὴν Χάρι τῶν θαυμάτων, ποὺ τοῦ δόθηκε ἀπὸ τὸν Θεό.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΜΑΡΚΟΥ ΤΟΥ ΑΣΚΗΤΟΥ

ΛΟΓΟΙ

I

ΠΕΡΙ ΝΟΜΟΥ ΠΝΕΥΜΑΤΙΚΟΥ

ΚΕΦΑΛΑΙΑ Σ′ - 200 ΚΕΦΑΛΑΙΑ

α′. Ἐπειδὴ πολλάκις ἠβουλήθητε γνῶναι, πῶς ὁ νόμος πνευματικός ἐστι κατὰ τὸν Ἀπόστολον, καὶ τίς ἡ γνῶσις, καὶ ἡ ἐργασία τῶν φυλάττειν αὐτὸν βουλομένων, τούτου χάριν κατὰ δύναμιν ἐροῦμεν.

β′. Πρῶτον ὅτι τὸν Θεὸν οἴδαμεν παντὸς ἀγαθοῦ ἀρχὴν εἶναι, καὶ μεσότητα, καὶ τέλος. Τὸ δὲ ἀγαθόν, ἀμήχανον ἐνεργεῖσθαι, ἢ πιστεύεσθαι, εἰμὴ ἐν Χριστῷ Ἰησοῦ, καὶ Ἁγίῳ Πνεύματι.

γ′. Πᾶν ἀγαθόν, οἰκονομικῶς παρὰ Κυρίου δεδώρηται, καὶ ὁ οὕτως πιστεύων οὐκ ἀπολέσει αὐτό.

δ′. Ἡ βεβαία πίστις, πύργος ἐστὶν ἰσχυρός. Χριστὸς δὲ τὰ πάντα τῷ πιστεύοντι γίνεται.

1. Ἐπειδὴ πολλὲς φορὲς ἐπιθυμήσατε νὰ μάθετε, μὲ ποιὸν τρόπο εἶναι πνευματικὸς ὁ νόμος σύμφωνα μὲ τὸν Ἀπόστολο καὶ ποιά [εἶναι] ἡ ἐπιστήμη καὶ ἡ ἐργασία ἐκείνων, ποὺ ἐπιθυμοῦν νὰ τὸν τηρήσουν, χάριν αὐτοῦ, ὅσο [μᾶς] εἶναι δυνατόν, θὰ μιλήσουμε.

2. [Θὰ ποῦμε] κατ᾽ ἀρχάς, ὅτι γνωρίζουμε πὼς ὁ Θεὸς εἶναι ἡ ἀρχὴ καὶ ἡ μεσότης καὶ τὸ τέλος κάθε ἀγαθοῦ. Τὸ δὲ ἀγαθό [εἶναι] ἀδύνατον νὰ ἐνεργηθῇ ἢ νὰ γίνη πιστευτό, εἰμὴ μόνον ἐν Χριστῷ Ἰησοῦ καὶ Ἁγίῳ Πνεύματι.

3. Κάθε ἀγαθὸ ἔχει δωρηθῆ ἐκ μέρους τοῦ Κυρίου κατά [θεία] Οἰκονομία· καὶ ἐκεῖνος, ποὺ πιστεύει κατ᾽ αὐτὸν τὸν τρόπο, δὲν θὰ χάση αὐτό [τὸ ἀγαθό].

4. Ἡ ἀκλόνητη πίστι εἶναι πύργος ἰσχυρός. Ὁ δὲ Χριστὸς γίνεται τὰ πάντα γιὰ ἐκεῖνον ποὺ πιστεύει.

ε΄. Καταρχέτω σου πάσης προθέσεως, ὁ κατάρχων παντὸς ἀγαθοῦ, ὅπως κατὰ Θεὸν γένηται τὸ προκείμενον.

ς΄. Ὁ ταπεινόφρων, καὶ ἔργον ἔχων πνευματικόν, ἀναγιγνώσκων τὰς θείας Γραφάς, πάντα εἰς ἑαυτὸν νοήσει, καὶ οὐκ εἰς ἕτερον.

ζ΄. Ἐπικαλοῦ τὸν Θεόν, ἵνα ἀνοίξῃ τοὺς ὀφθαλμοὺς τῆς καρδίας σου, καὶ ἴδῃς τὴν ὠφέλειαν τῆς προσευχῆς, καὶ τῆς ἀναγνώσεως τῆς ἐμπείρως νοουμένης.

η΄. Ὁ ἔχων τι χάρισμα πνευματικόν, καὶ συμπάσχων τοῖς μὴ ἔχουσι, διὰ τῆς συμπαθείας φυλάττει τὸ δώρημα. Ὁ δὲ ἀλαζὼν ἀπολέσει αὐτό, τοῖς τῆς ἀλαζονείας λογισμοῖς[α΄] *περικρουόμενος.*

θ΄. Στόμα ταπεινόφρονος, λαλεῖ ἀλήθειαν. Ὁ δὲ ἀντιλέγων αὐτῇ, ὅμοιός ἐστι τῷ ὑπηρέτῃ ἐκείνῳ τῷ ἐπὶ σιαγόνα τὸν Κύριον ῥαπίσαντι[1].

ι΄. Μὴ γίνου μαθητὴς τοῦ ἐπαινοῦντος ἑαυτόν, ἵνα μὴ ἀντὶ ταπεινοφροσύνης, ὑπερηφανίαν μάθῃς.

ια΄. Μὴ ἐπαρθῇς τῇ καρδίᾳ σου ἐπὶ νοήμασι γραφικοῖς,

5. Ἂς εἶναι ἀρχὴ κάθε σκοποῦ σου Ἐκεῖνος, ποὺ εἶναι ἡ ἀρχὴ κάθε ἀγαθοῦ, γιὰ νὰ γίνῃ κατὰ Θεὸν ὁ περὶ οὗ ὁ λόγος [σκοπός σου].

6. Ὁ ταπεινόφρων, ποὺ ἔχει καὶ πνευματικὴ ἐργασία, ὅταν διαβάζῃ τὰ ἱερὰ Γράμματα [τὴν Ἁγία Γραφή], ὅλα θὰ τὰ ἐννοήσῃ ἀναφορικὰ πρὸς τὸν ἑαυτό του καὶ ὄχι πρὸς ἄλλον.

7. Νὰ ἐπικαλῆσαι τὸν Θεό, γιὰ νὰ ἀνοίξῃ τοὺς ὀφθαλμοὺς τῆς καρδίας σου καὶ νὰ δῇς τὴν ὠφέλεια τῆς προσευχῆς καὶ τῆς ἀναγνώσεως, ἡ ὁποία κατανοεῖται διὰ τῆς πείρας.

8. Ἐκεῖνος, ποὺ ἔχει κάποιο πνευματικὸ χάρισμα καὶ συμπάσχει μ᾽ ἐκείνους ποὺ δὲν ἔχουν, μὲ τὴν συμπάθεια διατηρεῖ τὴν δωρεά [τοῦ Θεοῦ]. Ὁ δὲ ἀλαζόνας θὰ τὸ χάσῃ, καθὼς χτυπιέται ἀπὸ τοὺς λογισμοὺς τῆς ἀλαζονείας.

9. Τὸ στόμα τοῦ ταπεινόφρονα ὁμιλεῖ τὴν ἀλήθεια. Ἐκεῖνος ὅμως, ποὺ ἀντιλέγει σ᾽ αὐτήν, εἶναι ὅμοιος μὲ τὸν ὑπηρέτη ἐκεῖνο, ποὺ ράπισε τὸν Κύριο στὴν σιαγόνα [στὴν πλευρὰ τοῦ προσώπου Του].

10. Μὴν γίνῃς μαθητὴς ἐκείνου, ποὺ ἐπαινεῖ τὸν ἑαυτό του, γιὰ νὰ μὴν μάθῃς ἀντὶ γιὰ τὴν ταπεινοφροσύνη, τὴν ὑπερηφάνια.

11. Μὴν ἀλαζονευθῇς στὴν καρδία σου γιὰ νοήματα ἀπὸ τὴν Ἁγία Γρα-

ἵνα μὴ τῷ πνεύματι τῆς βλασφημίας κατὰ νοῦν περιπέσῃς.

ιβ'. Μὴ πειρῶ πρᾶγμα σκολιὸν ἐπιλῦσαι διὰ φιλονεικίας, ἀλλ' δι' ὧν ὁ πνευματικὸς νόμος ἐπαγγέλλεται[β'], *δι' ὑπομονῆς, καὶ προσευχῆς, καὶ μονολογίστου ἐλπίδος.*

ιγ'. Τυφλός ἐστι κράζων, καὶ λέγων· Υἱὲ Δαβὶδ ἐλέησόν με[2], *ὁ προσευχόμενος σωματικῶς, καὶ μήπω ἔχων γνῶσιν πνευματικήν.*

ιδ'. Ὁ ποτὲ τυφλὸς ἀναβλέψας καὶ ἰδὼν τὸν Κύριον, οὐκ ἔτι Υἱὸν Δαβίδ, ἀλλὰ Υἱὸν Θεοῦ ὁμολογήσας προσεκύνησε[3].

ιε'. Μὴ ἐπαρθῇς ἐκχέων δάκρυα ἐν προσευχῇ σου· Χριστὸς γὰρ ἥψατο τῶν ὀφθαλμῶν σου, καὶ νοερῶς ἀνέβλεψας.

ις'. Ὁ κατὰ μίμησιν τοῦ τυφλοῦ ἀποβαλὼν τὸ ἱμάτιον, καὶ ἐγγίσας τῷ Κυρίῳ, ἀκόλουθος αὐτῷ, καὶ κήρυξ γίνεται τῶν τελεωτέρων δογμάτων.

ιζ'. Κακία ἐν λογισμοῖς μελετωμένη, θρασύνει καρδίαν· ἀναιρουμένη δὲ δι' ἐγ-

φή, γιὰ νὰ μὴν περιπέσῃς μὲ τὸν νοῦ σου στὸ πνεῦμα τῆς βλασφημίας.

12. Μὴν ἀποπειραθῇς νὰ ἐπιλύσῃς ζήτημα ἀδικίας μὲ φιλονεικία, ἀλλὰ μ' ἐκεῖνα [τὰ μέσα] τὰ ὁποῖα παραγγέλλει ὁ πνευματικὸς νόμος, δηλαδὴ μὲ ὑπομονὴ καὶ προσευχὴ καὶ μὲ τὴν μονολόγιστη ἐλπίδα[1], [τὴν εὐχή: «Κύριε Ἰησοῦ Χριστέ, Υἱὲ τοῦ Θεοῦ, ἐλέησόν με»].

13. Τυφλὸς εἶναι ἐκεῖνος ποὺ φωνάζει καὶ λέει: «Υἱὲ Δαυῒδ ἐλέησόν με», αὐτὸς ποὺ προσεύχεται σωματικὰ καὶ δὲν ἔχει ἀκόμη γνῶσι πνευματική.

14. Αὐτὸς ποὺ ἦταν κάποτε τυφλός, ὅταν ἀνέβλεψε καὶ εἶδε τὸν Κύριο, [δὲν Τὸν λέει] πλέον Υἱὸ Δαυῒδ, ἀλλὰ ὁμολογώντας Τον Υἱὸ Θεοῦ, [Τόν] προσεκύνησε.

15. Μὴν ὑπερηφανευθῇς, ἐὰν χύνῃς δάκρυα στὴν προσευχή σου. Διότι ὁ Χριστὸς ἄγγιξε τοὺς ὀφθαλμούς σου καὶ ἀνέβλεψες νοερῶς.

16. Ἐκεῖνος πού, ἐπειδὴ μιμήθηκε τὸν τυφλό, ἀπέβαλε τὸ ἱμάτιο καὶ ἄγγιξε τὸν Κύριο, γίνεται σ' Αὐτὸν ἀκόλουθος καὶ κήρυκας τῶν πλέον βαθέων δογμάτων.

17. Ἡ κακία, ὅταν μὲ τοὺς λογισμοὺς μελετᾶται, ἀποθρασύνει τὴν καρδία. Ὅταν ὅμως [ἡ κακία] καταργῆται μὲ τὴν ἐγκρά-

κρατείας καὶ ἐλπίδος, συντρίβει αὐτήν.

ιη'. Ἔστι συντριμμὸς καρδίας ὁμαλὸς καὶ ἐπωφελὴς εἰς κατάνυξιν αὐτῆς, καὶ ἔστιν ἕτερος ἀνώμαλος καὶ ἐπιβλαβὴς εἰς ἐπίπληξιν[γ'] *αὐτῆς.*

ιθ'. Ἀγρυπνία, καὶ προσευχή, καὶ τῶν ἐπερχομένων ὑπομονή, συντριμμός ἐστιν ἀνεπηρέαστος, καὶ ἐπωφελὴς τῇ καρδίᾳ· μόνον εἰμὴ διὰ πλεονεξίας ἐκκόψομεν αὐτῶν τὴν σύγκρασιν. Ὁ γὰρ ἐν τούτοις ὑπομένων, καὶ ἐν τοῖς λοιποῖς βοηθηθήσεται. Ὁ δὲ ἀμελῶν καὶ διαχεόμενος, ἐν ἐξόδῳ ἀφορήτως ὀδυνηθήσεται.

κ'. Φιλήδονος καρδία, εἱρκτὴ καὶ ἅλυσις τῇ ψυχῇ ἐν καιρῷ ἐξόδου γίνεται· ἡ δὲ φιλόπονος, θύρα ἐστὶν ἀνεῳγμένη.

κα'. Σιδηρᾶ πύλη ἐπὶ τὴν πόλιν εἰσάγουσά [recte: ἀπάγουσα][δ'] *ἐστι, σκληρὰ καρδία· τῷ δὲ κακοπαθοῦντι καὶ τεθλιμμένῳ, αὐτομάτη ἀνοιγήσεται, καθὼς καὶ τῷ Πέτρῳ*[4].

κβ'. Πολλοὶ μὲν εἰσὶ προσευχῆς τρόποι, ἕτερος ἑτέ-

τεια καὶ τὴν ἐλπίδα [τὴν μονολόγιστο ἐλπίδα - τὴν εὐχή], τὴν γεμίζει συντριβή, [τὴν καρδία].

18. Ὑπάρχει συντριβὴ καρδίας ἤρεμη καὶ εὐεργετική [ποὺ ὁδηγεῖ] στὴν κατάνυξί της καὶ ὑπάρχει ἄλλη γεμάτη ταραχὴ καὶ ἐπιβλαβής [ποὺ ὁδηγεῖ] στὴν καταπτόησί της.

19. Ἡ ἀγρυπνία καὶ ἡ προσευχὴ καὶ ἡ ὑπομονὴ σὲ ὅσα συμβαίνουν, εἶναι συντριβὴ χωρὶς ἐνόχλησι καὶ ὠφέλιμη στὴν καρδία, μόνον ἐὰν δὲν καταστρέψουμε ἕνεκα ὑπερβολῆς τὸν συγκερασμό [μεταξὺ τῶν τριῶν] αὐτῶν, [ἀλλὰ νὰ ἐνεργοῦνται ἀναλογικά, μὲ διάκρισι]. Διότι ἐκεῖνος, ποὺ ὑπομένει σ᾽ αὐτὰ καὶ στὰ ὑπόλοιπα θὰ βοηθηθῇ, ἐνῶ ἐκεῖνος ποὺ ἀμελεῖ καὶ διαχέεται, θὰ αἰσθανθῇ ἀφόρητη ὀδύνη κατὰ τὴν ὥρα τοῦ θανάτου του.

20. Ἡ φιλήδονη καρδία γίνεται φυλακὴ καὶ ἁλυσίδα γιὰ τὴν ψυχὴ κατὰ τὴν ὥρα τοῦ θανάτου· ἡ δὲ φιλόπονη [καρδία] εἶναι θύρα ἀνοιγμένη.

21. Ἡ σκληρὴ καρδία εἶναι σιδερένια πύλη, ἡ ὁποία ὁδηγεῖ μέσα στὴν πόλι. Σὲ ἐκεῖνον ὅμως ποὺ κακοπαθεῖ καὶ ἔχει θλῖψι, θὰ ἀνοιχθῇ αὐτόματα, ὅπως καὶ στὸν Πέτρο.

22. Πολλοὶ μὲν εἶναι οἱ τρόποι τῆς προσευχῆς ὁ ἕνας διαφορετικώτερος

ρου διαφορώτερος· ὅμως οὔτε εἷς τρόπος προσευχῆς ἐπιβλαβὴς τυγχάνει· εἰμή τι ἂν οὐκ ἔστιν εὐχή, ἀλλ' ἐργασία σατανική.

κγ'. Ἄνθρωπος κακοποιῆσαι θέλων, πρότερον προσηύξατο διανοίᾳ κατὰ συνήθειαν, καὶ οἰκονομικῶς ἐμποδισθείς, ὕστερον πολλὰ ηὐχαρίστησεν.

κδ'. Ὁ Δαβὶδ φονεῦσαι θελήσας Νάβαλ τὸν καρμήλιον, ὑπόμνησιν λαβὼν θείας ἀνταποδόσεως, ἐκκοπεὶς τῆς προθέσεως, πολλὰ ηὐχαρίστησεν[5]*. Οἴδαμεν δὲ πάλιν οἷα πεποίηκεν ἐπιλαθόμενος τοῦ Θεοῦ, καὶ οὐκ ἐπαύετο, ἕως οὗ Νάθαν ὁ Προφήτης εἰς μνήμην αὐτὸν ἤγαγε τοῦ Θεοῦ*[6]*.*

κε'. Ἐν καιρῷ μνήμης Θεοῦ πολυπλασίασον δέησιν, ἵν' ὅταν ἐπιλάθῃ, ὁ Κύριος ὑπομνήσῃ σε.

κς'. Ἀναγινώσκων τὰς θείας Γραφάς, νόει τὰ ἐν αὐταῖς κεκρυμμένα. Ὅσα γὰρ προεγράφη, φησί, πάντα εἰς τὴν ἡμετέραν διδασκαλίαν προεγράφη[7]*.*

κζ'. Τὴν πίστιν, ἡ Γραφὴ

τοῦ ἄλλου. Ὅμως οὔτε ἕνας τρόπος προσευχῆς δὲν συμβαίνει νὰ εἶναι ἐπιβλαβής, ἐκτὸς ἂν κάτι ἴσως δὲν εἶναι εὐχὴ ἀλλὰ ἐργασία σατανική.

23. Κάποιος ἄνθρωπος, ποὺ ἤθελε νὰ κάνῃ κακό, προηγουμένως μὲ τὴν σκέψι του προσευχήθηκε σύμφωνα μὲ τὴν συνήθειά [του] καὶ ἀφοῦ κατ' οἰκονομίαν [τοῦ Θεοῦ] ἐμποδίσθηκε, ὕστερα πολύ [Τόν] εὐχαρίστησε.

24. Ὁ Δαυΐδ, ὅταν θέλησε νὰ σκοτώσῃ τὸν Νάβαλ τὸν Καρμήλιο, ἐπειδὴ ἔλαβε ὑπενθύμισι τῆς θείας ἀνταποδόσεως [διὰ μέσου τῆς γυναίκας τοῦ Νάβαλ, Ἀβιγαίας] [α'], ἀφοῦ ἀπέβαλε τὴν πρόθεσί του, πολὺ εὐχαρίστησε [τὸν Θεό]. Γνωρίζουμε δὲ πάλι, ὁποῖα [ἔργα] ἔκανε, ὅταν ξέχασε τὸν Θεὸ καὶ δὲν σταματοῦσε, ἕως ὅτου ὁ Προφήτης Νάθαν τὸν ὁδήγησε στὴν ἐνθύμησι τοῦ Θεοῦ.

25. Κατὰ τὸν χρόνο ποὺ ἔχεις στὴν μνήμη σου τὸν Θεό, πολλαπλασίασε τὴν προσευχὴ [σου], γιὰ νὰ σὲ θυμηθῇ ὁ Κύριος, ὅταν [ἐσὺ Τόν] λησμονήσῃς. [Νὰ ἐκμεταλλεύεσαι δηλαδὴ τὶς περιόδους τῆς καλῆς πνευματικῆς καταστάσεως καὶ τῆς Χάριτος].

26. Ὅταν διαβάζῃς τὶς θεῖες Γραφὲς ἐννόησε ἐκεῖνα, ποὺ εἶναι σ' αὐτὲς κρυμμένα. Διότι λέγει, ὅσα ἀπὸ παλαιὰ ἐγράφησαν, ἐγράφησαν γιὰ χάρι τῆς δικῆς μας διδασκαλίας.

27. Ἡ [Ἁγία] Γραφὴ ὀνομάζει τὴν

λέγει, ἐλπιζομένων ὑπόστασιν[8]· καὶ τοὺς μὴ ἐπιγινώσκοντας τὴν ἐνοίκησιν τοῦ Χριστοῦ, ἀδοκίμους εἴρηκεν[9].

κη'. Ὥς περ δι' ἔργων, καὶ λόγων φανεροῦται ἔννοια, οὕτως καὶ διὰ τῶν καρδιακῶν εὐεργετημάτων ἡ μέλλουσα ἀνταπόδοσις.

κθ'. Οἰκτίρμων καρδία, δηλονότι οἰκτειρηθήσεται. Τὰ δὲ ἐναντία, ἡ ἀκολουθία ἀντιπεφώνηκεν.

λ'. Ὁ νόμος τῆς ἐλευθερίας διδάσκει πᾶσαν ἀλήθειαν· καὶ οἱ μὲν πολλοὶ τοῦτον κατὰ γνῶσιν ἀναγινώσκουσιν, ὀλίγοι δὲ νοοῦσιν αὐτόν, κατὰ ἀναλογίαν τῆς τῶν ἐντολῶν ἐργασίας.

λα'. Μὴ ζήτει αὐτοῦ τὴν τελειότητα ἐν ἀρεταῖς ἀνθρωπίναις· τέλειος γὰρ ἐν αὐταῖς οὐχ εὑρίσκεται· ἡ γὰρ τελειότης αὐτοῦ ἐν τῷ Σταυρῷ τοῦ Χριστοῦ ἐγκέκρυπται.

λβ'. Ὁ νόμος τῆς ἐλευθερίας, διὰ μὲν γνώσεως ἀληθοῦς ἀναγινώσκεται, διὰ δὲ ἐργασίας τῶν ἐντολῶν νοεῖται, πληροῦται δὲ διὰ τῶν οἰκτιρμῶν τοῦ Χριστοῦ.

πίστι, ὑπόστασι ἐκείνων ποὺ ἐλπίζουμε καὶ ἐκείνους ποὺ δὲν ἐννοοῦν τὴν ἐνοίκησι [ἐντός μας] τοῦ Χριστοῦ, [τοὺς ἄγευστους τῆς ἐν Χριστῷ ζωῆς], τοὺς εἶπε ἀδοκίμους [ἀναξίους].

28. Ὅπως ἀκριβῶς μὲ τὰ ἔργα καὶ τοὺς λόγους φανερώνεται ἡ σκέψι, κατὰ τὸν ἴδιο τρόπο καὶ μὲ τὰ πνευματικὰ εὐεργετήματα [τοῦ Θεοῦ] μέσα στὴν καρδία [φανερώνεται] ἡ μελλοντικὴ ἀνταπόδοσι.

29. Ἡ ἐλεήμων καρδία [εἶναι] προφανές, ὅτι θὰ ἐλεηθῇ. Τὰ δὲ ἀντίθετα, ἡ λογικὴ συνέπεια [τά] ἀντιφωνεῖ [ἀντίστοιχα].

30. Ὁ νόμος τῆς ἐλευθερίας [τοῦ Εὐαγγελίου] διδάσκει ὅλη τὴν ἀλήθεια. Καὶ οἱ μὲν πολλοὶ αὐτόν [τὸν νόμο], [τόν] διαβάζουν γιὰ τὴν ἀναζήτησι [καὶ ἀπόκτησι] τῆς γνώσεως [δηλαδὴ στὸ ἐπίπεδο τῆς πληροφορήσεως], λίγοι ὅμως [τόν] ἐννοοῦν [εἰς βάθος], ἀνάλογα μὲ τὴν ἐργασία τῶν ἐντολῶν [ἀνάλογα μὲ τὴν ἐμπειρία τοῦ πνευματικοῦ ἀγῶνος].

31. Μὴν ἀναζητῆς τὴν τελείωσι αὐτοῦ [τοῦ πνευματικοῦ νόμου] σὲ ἀνθρώπινες ἀρετές. Διότι δὲν βρίσκεται τέλειος σ' αὐτές. Ἡ τελείωσι αὐτοῦ εἶναι κρυμμένη στὸ Σταυρὸ τοῦ Χριστοῦ.

32. Ὁ νόμος τῆς ἐλευθερίας [τοῦ Εὐαγγελίου] μελετᾶται μὲν διὰ τῆς ἀληθινῆς γνώσεως, κατανοεῖται δὲ μὲ τὴν ἐργασία τῶν ἐντολῶν, [μὲ τὴν γεῦσι, τὴν ἐμπειρία τῆς πνευματικῆς ζωῆς], φθάνει ὅμως στὴν πλήρωσί του μὲ τοὺς οἰκτιρμοὺς τοῦ Χριστοῦ, [μὲ τὴν Χάρι καὶ τὸ ἔλεος τοῦ Θεοῦ].

λγ'. Ὅταν πρὸς πάσας τὰς ἐντολὰς τοῦ Θεοῦ διὰ συνειδήσεως κατορθοῦσθαι[ε'] βιασώμεθα, τότε νοήσωμεν τὸν νόμον Κυρίου ἄμωμον[10]· ἐν τοῖς ἡμετέροις μὲν καλοῖς ἐπιτηδευόμενον· χωρὶς δὲ οἰκτιρμῶν Θεοῦ τελειωθῆναι ἐν ἀνθρώποις μὴ δυνάμενον.

λδ'. Ὅσοι πάσης ἐντολῆς Χριστοῦ ἑαυτοὺς ὀφειλέτας οὐκ ἐλογίσαντο, οὗτοι τὸν τοῦ Θεοῦ νόμον σωματικῶς ἀναγινώσκουσι· μὴ νοοῦντες μήτε ἃ λέγουσι, μήτε περὶ τίνων διαβεβαιοῦνται[11]. Διὸ καὶ πληροῦν αὐτὸν ἐξ ἔργων νομίζουσιν.

λε'. Ἔστι πρᾶγμα προφανῶς καλὸν ἐπιτελούμενον, καὶ ὁ σκοπὸς τοῦ ἐπιτελοῦντος αὐτό, οὐκ εἰς ἀγαθόν· καὶ ἔστιν ἕτερον ὡς πονηρόν, καὶ ὁ σκοπὸς τοῦ ἐπιτελοῦντος αὐτὸ εἰς ἀγαθόν· οὐ μόνον δὲ ἔργα ποιοῦσί τινες, ἀλλὰ καὶ λόγους λαλοῦσι τῷ τρόπῳ ᾧ προειρήκαμεν. Οἱ μὲν γὰρ ἐναλλάσουσι πρᾶγμα κατὰ ἀπειρίαν, ἢ ἄγνοιαν· οἱ δέ, κατὰ πρόθεσιν πονηρίας· ἕτεροι δέ, κατὰ σκοπὸν εὐσε-

33. Ὅταν θὰ βιάσουμε τὸν ἑαυτό μας γιὰ νὰ ἐπιτελέσουμε ἐνσυνειδήτως ὅλες ἀνεξαιρέτως τὶς ἐντολὲς τοῦ Θεοῦ, τότε θὰ ἐννοήσουμε, τὸν ἄμωμο νόμο τοῦ Κυρίου, [τὸ βάθος καὶ τὴν τελειότητά του], ὁ ὁποῖος ἐφαρμόζεται μὲν μὲ τὰ δικά μας [καλά] ἔργα, δὲν μπορεῖ ὅμως νὰ τελειωθῇ μέσα στοὺς ἀνθρώπους χωρὶς τοὺς οἰκτιρμοὺς τοῦ Θεοῦ, [τὴν Χάρι τοῦ Θεοῦ].

34. Ὅσοι δὲν θεώρησαν τοὺς ἑαυτούς τους ὀφειλέτες κάθε ἐντολῆς τοῦ Χριστοῦ, αὐτοὶ μελετοῦν τὸν νόμο τοῦ Θεοῦ σωματικῶς [ἁπλῶς διὰ τῶν ὀφθαλμῶν, ὄχι εἰς βάθος], ἐπειδὴ δὲν ἐννοοῦν οὔτε ἐκεῖνα τὰ ὁποῖα λέγουν, οὔτε γιὰ ποιά [θέματα] διαβεβαιώνουν μὲ ἐπιμονή [ὅτι τὰ ὑποστηρίζουν]. Γι᾽ αὐτὸ καὶ νομίζουν, ὅτι ἐκπληρώνουν αὐτόν [τὸν νόμο τοῦ Θεοῦ] μὲ ἔργα, [παραβλέποντας τὴν ἐσωτερικὴ ἐργασία].

35. Ὑπάρχει πρᾶξι, ἡ ὁποία ἐπιτελεῖται ἔτσι ποὺ νὰ φαίνεται καλὴ καὶ ὁ σκοπὸς ἐκείνου ποὺ τὴν ἐπιτελεῖ, δέν [ἀποβλέπει] γιὰ τὸ ἀγαθό. Καὶ ὑπάρχει ἄλλη, ποὺ φαίνεται πονηρὴ καὶ ὁ σκοπὸς ἐκείνου, ποὺ τὴν ἐπιτελεῖ [εἶναι] γιὰ τὸ ἀγαθό. Ὄχι δὲ μόνον ἔργα κάνουν κάποιοι ἀλλὰ καὶ λόγους λένε μὲ τὸν τρόπο, τὸν ὁποῖο προαναφέραμε. Οἱ μὲν βέβαια κάνουν [αὐτή] τὴν διαδοχικὴ διαφοροποίησι στὴν πρᾶξι, [τὴν ἀσυμφωνία μεταξὺ προθέσεως καὶ πράξεως] ἐξ αἰτίας ἀπειρίας ἢ τῆς ἀγνοίας. Οἱ δὲ ἐξ αἰτίας πονηρῆς προθέσεως. Ἄλλοι ὅμως ἐξ αἰτίας

βείας.

λς΄. Ὁ ἐν προβολῇ ἐπαίνων ἐγκρύπτων διαβολὴν καὶ μῶμον, δυσεύρετός ἐστι τοῖς ἁπλουστέροις. Ὅμοιος δὲ τούτου ἐστί, καὶ ὁ κενοδοξῶν ἐν ταπεινῷ σχήματι. Οἵτινες ἐπὶ πολὺ κατασοφιζόμενοι τὴν ἀλήθειαν ἐν τῷ ψεύδει, παραχωρηθέντες ὕστερον διὰ τῶν πραγμάτων ἐλέγχονται.

λζ΄. Ἔστι τις ποιῶν τι πρᾶγμα προφανὲς ὡς καλόν, τῷ πλησίον ἀμυνόμενος· καὶ ἔστιν ὁ ἐν τῷ μὴ ποιῆσαι αὐτό, ὠφεληθεὶς κατὰ διάνοιαν.

λη΄. Ἔστιν ἔλεγχος κατὰ κακίαν καὶ ἄμυναν, καὶ ἔστιν ἕτερος κατὰ φόβον Θεοῦ, καὶ ἀλήθειαν.

λθ΄. Τὸν παυσάμενον ἀπὸ ἁμαρτίας καὶ λοιπὸν μετανοοῦντα, μηκέτι ἔλεγχε. Εἰ δὲ λέγεις κατὰ Θεὸν ἐλέγχειν αὐτόν, πρῶτον τὰ σαυτοῦ κακὰ φανεροποίησον.

μ΄. Πάσης ἀρετῆς κατάρχει ὁ Θεός, ὡς καὶ τοῦ μεθημερινοῦ φωτὸς ὁ ἥλιος.

μα΄. Ποιήσας ἀρετήν, μνήσθητι τοῦ εἰρηκότος, ὅτι χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν[12].

εὐσεβοῦς σκοποῦ.

36. Ἐκεῖνος ποὺ μέσα στὴν ἔκφρασι ἐπαίνων ὑποκρύπτει διαβολὴ καὶ ἐμπαιγμὸ δὲν γίνεται εὔκολα ἀντιληπτὸς ἀπὸ τοὺς πιὸ ἁπλούς [ἀνθρώπους, τοὺς ἀπονήρευτους ἢ ἄπειρους]. Ὅμοιος δὲ μ᾿ αὐτὸν εἶναι καὶ ἐκεῖνος, ποὺ κενοδοξεῖ μέσα σὲ ταπεινὸ παρουσιαστικό. Αὐτοί, ἐνῶ γιὰ μακρὺ χρονικὸ διάστημα διαστρέφουν μὲ σοφίσματα τὴν ἀλήθεια μὲ τὸ ψέμα, ὕστερα, ὅταν [κατὰ παραχώρησι Θεοῦ] ἐγκαταλειφθοῦν, ἀποκαλύπτονται ἀπὸ τὰ πράγματα, [ποιοὶ εἶναι].

37. Ὑπάρχει κάποιος, ὁ ὁποῖος κάνει μία πρᾶξι, ἡ ὁποία εἶναι προφανής, ὅτι εἶναι καλὴ μὲ σκοπὸ νὰ ἀμυνθῇ ἔναντι τοῦ πλησίον του [νὰ ὑπερασπιστῇ τὸν ἑαυτό του]. Καὶ ὑπάρχει ἐκεῖνος, ὁ ὁποῖος μὲ τὸ νὰ μήν [τό] κάνῃ αὐτό, ὠφελήθηκε πνευματικά, [ταπεινώθηκε καὶ δὲν διεκδίκησε τὸ δίκαιό του].

38. Ὑπάρχει ἔλεγχος [ποὺ γίνεται] ἐξ αἰτίας κακίας ἢ ὑπερασπίσεως. Καὶ ὑπάρχει ἄλλος [ἔλεγχος, ποὺ γίνεται] ἐξ αἰτίας τοῦ φόβου τοῦ Θεοῦ ἢ τῆς ἀληθείας.

39. Ἐκεῖνον ποὺ σταμάτησε τὴν ἁμαρτία καὶ εἰς τὸ ἑξῆς μετανοεῖ, μήν [τόν] ἐλέγξῃς πλέον. Ἐὰν δὲ λέγῃς, ὅτι τὸν ἐλέγχεις κατὰ Θεόν, πρῶτα φανέρωσε τὰ δικά σου κακά.

40. Ὁ Θεὸς εἶναι κύριος κάθε ἀρετῆς, ὅπως καὶ ὁ ἥλιος τοῦ φωτὸς τῆς ἡμέρας.

41. Ἀμέσως, μόλις κάνεις κάποια ἀρετή, θυμήσου Ἐκεῖνον, ποὺ εἶπε, ὅτι χωρὶς Ἐμένα δὲν μπορεῖτε νὰ κάνετε τίποτα.

μβ΄. Διὰ θλίψεως τὰ ἀγαθὰ τοῖς ἀνθρώποις ἡτοίμασται[13]*, ὁμοίως δὲ καὶ τὰ κακὰ διὰ κενοδοξίας, καὶ ἡδονῆς.*

μγ΄. Ἐκφεύγει ἁμαρτίας, ὁ παρὰ ἀνθρώπων ἀδικούμενος, καὶ ὁμοίαν τῆς θλίψεως εὑρίσκει ἀντίληψιν.

μδ΄. Ὁ πιστεύων τῷ Χριστῷ περὶ ἀνταποδόσεως, πᾶσαν ἀδικίαν προθύμως ὑπομένει κατ᾽ ἀναλογίαν τῆς πίστεως.

με΄. Ὁ ἀδικούντων ἀνθρώπων ὑπερευχόμενος, καταράσσει δαίμονας· ὁ δὲ τοῖς πρώτοις ἀντιτασσόμενος, ὑπὸ τῶν δευτέρων τιτρώσκεται.

μς΄. Κρεῖσσον πλημμέλεια ἀνθρώπων, καὶ μὴ δαιμόνων· ὁ δὲ εὐαρεστῶν τῷ Κυρίῳ, τοὺς ἀμφοτέρους ἐνίκησε.

μζ΄. Πᾶν ἀγαθὸν παρὰ Κυρίου, οἰκονομικῶς παραγίνεται· διαφεύγει δὲ μυστικῶς τοὺς ἀχαρίστους, καὶ ἀγνώμονας, καὶ ἀέργους.

μη΄. Πᾶσα κακία, εἰς τὴν ἀπηγορευμένην καταλήγει ἡδονήν· καὶ πᾶσα ἀρετή, εἰς παράκλησιν πνευματι-

42. Τὰ [ἐπουράνια] ἀγαθὰ ἔχουν ἑτοιμαστῇ γιὰ τοὺς ἀνθρώπους, ὅταν [περνοῦν] μέσῳ θλίψεων. Κατὰ τὸν ἴδιο τρόπο καὶ τὰ κακά [ἔχουν ἑτοιμασθῇ γιὰ τοὺς ἀνθρώπους, ὅταν ζοῦν] μὲ κενοδοξία καὶ ἡδονή.

43. Ἐκεῖνος, ποὺ ἀδικεῖται ἀπὸ τοὺς ἀνθρώπους, ἀπαλλάσσεται ἀπὸ ἁμαρτίες καὶ βρίσκει βοήθεια [ἀπὸ τὸν Θεό] ἀνάλογη μὲ τὴν θλῖψι.

44. Ἐκεῖνος, ποὺ πιστεύει στὸν Χριστὸ σχετικὰ μὲ τὴν ἀνταπόδοσι [τῶν ἔργων του], ὑπομένει πρόθυμα κάθε ἀδικία, ἀνάλογα μὲ τὴν πίστι [του].

12 Ἰω. 15, 5.
13 Πρβ. Πράξ. 14, 22.
14 Πρβ. Ἑβρ. 13, 17.
15 Ἑβρ. 4, 13.
16 Α΄ Βασ. 16, 7.
17 Παροιμ. 15, 11.
18 Πρβ. Β΄ Κορ. 11, 6.
19 Α΄ Κορ. 8, 1, Α΄ Κορ. 13,7.
20 Πρβ. Δ΄ Βασ. 18, 21.
21 Α΄ Τιμοθ. 6, 10.
22 Παροιμ. 24, 50, Παροιμ. 30, 15
23 Α΄ Ἰω. 2, 15.
24 Β΄ Τιμοθ. 2, 4.
25 Λουκ. 14, 33.
26 Γαλ. 6, 7.
27 Γένεσ. 49, 17.
28 Πρβ. Σοφ. Σειρ. 13, 17.
29 Παροιμ. 6, 32.
30 Ματθ. 3, 7.
31 Ματθ. 10, 40.
32 Ἡσ. 14, 22, Ἰερ. 27, 16.
33 Λουκ. 14, 11.
34 Πρβ. Ζαχ. 3, 2.
35 Πρβ. Α΄ Θεσσ. 5, 21.
36 Πρβ. Παροιμ. 12, 1.
37 Ματθ. 6, 13.
38 Ψαλμ. 36, 28.
39 Β΄ Τιμόθ. 3, 12.
40 Ἐφεσ. 2, 3.
41 Ψαλμ. 19, 5.
42 Παροιμ. 16, 8.
43 Παροιμ. 5, 10.
44 Γένεσ. 37, 3.
45 Ψαλμ. 24, 9.
46 Λουκ. 9, 62.


ΣΗΜΕΙΩΣΕΙΣ

[α] Ἐδῶ γίνεται ὑπόμνησι διηγήσεως ἐκ τῆς Παλαιᾶς Διαθήκης, ἡ ὁποία παρουσιάζεται στὴν Ἁγία Γραφὴ στὸ 25ο κεφάλαιο τῆς Α' Βασιλειῶν. Ὁ Βασιλεὺς Δαυῒδ ταπεινωμένος καὶ θυμωμένος ἀπὸ τὴν θρασύτητα τοῦ Νάβαλ ἑτοιμάζεται νὰ ἐξορμήσῃ ἐναντίον του. Ἡ γυναῖκα τοῦ Νάβαλ, Ἀβιγαία, σπεύδει, γιὰ νὰ προλάβῃ τὴν καταστροφή. Στοὺς στίχους 23 ἕως 35 τοῦ Ἱεροῦ Κειμένου περιγράφεται ἡ ἁγία παρουσία καὶ συμπεριφορὰ τῆς Ἀβιγαίας, ἡ ὁποία μεταστρέφει τὶς προθέσεις τοῦ Βασιλέως Δαυΐδ.

[β] Ἡ λέξι *πρόληψις* νοηματοδοτεῖται συγκεκριμένα στὸ κεφάλαιο αὐτὸ 139 ἀπὸ τὸν Ἅγιο Μᾶρκο, ὡς ἡ ἀκούσιος μνήμη τῶν προγενεστέρων κακῶν. Μὲ τὴν ἔννοια αὐτὴ χρησιμοποιεῖται σὲ ὅλη τὴν ἔκτασι τῶν λόγων τοῦ Ἁγίου.

ΣΧΟΛΙΑ

[1] Τὸ παρὸν κεφάλαιο 12 συναρτᾶται ἄμεσα μὲ τὰ ἑπόμενα κεφάλαια 13 καὶ 14, τὰ ὁποῖα κάνουν καὶ αὐτὰ μνεία τῆς μονολογίστου εὐχῆς. Ὁ Ἅγιος Μᾶρκος, μὲ τὴν ἔκφρασι *μονολόγιστος ἐλπίς*, ἢ ἀλλοῦ *νοερὰ ἐλπὶς* ἢ μόνο *ἐλπίς*, κατὰ πάγιο καὶ συνεχὴ τρόπο σὲ ὅλη τὴν ἔκτασι τῶν λόγων του ἀναφέρεται στὴν μονολόγιστο εὐχή, στὴν ἐπίκλησι τοῦ Παναγίου Ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, θεολογώντας κατ᾽ αὐτὸν τὸν τρόπο καὶ περὶ αὐτῆς. Ἑπομένως, γίνεται μνεία ἔμμεσα ἢ ἄλλωτε καὶ ἄμεσα τῆς ἐνυποστάτου Ἐλπίδος, τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, *τῆς ἐλπίδος ἡμῶν*. (Πρβ. *Α' Τιμ.* 1,1: «*Κυρίου Ἰησοῦ Χριστοῦ τῆς ἐλπίδος ἡμῶν*»)



2

ΠΕΡΙ ΤΩΝ ΟΙΟΜΕΝΩΝ ΕΞ ΕΡΓΩΝ ΔΙΚΑΙΟΥΣΘΑΙ

ΣΧΕΤΙΚΑ Μ' ΕΚΕΙΝΟΥΣ ΠΟΥ ΝΟΜΙΖΟΥΝ ΟΤΙ ΔΙΚΑΙΩΝΟΝΤΑΙ ΑΠΟ ΤΑ ΕΡΓΑ *[ΤΟΥΣ]*

ΚΕΦΑΛΑΙΑ ΣΚϚʹ - 226 ΚΕΦΑΛΑΙΑ

αʹ. Ἡ τῶν ἔξωθεν κακοπιστία, ἐν τοῖς ὑπογεγραμμένοις ἐλεγχθήσεται ὑπὸ τῶν βεβαιοπίστων καὶ ἐπεγνωκότων τὴν ἀλήθειαν.

βʹ. Ὁ Κύριος πᾶσαν ἐντολὴν ὀφειλομένην δεῖξαι θέλων, τὴν δὲ υἱοθεσίαν ἰδίῳ Αἵματι τοῖς ἀνθρώποις δεδωρημένην, φησίν· ὅταν πάντα ποιήσητε τὰ προστεταγμένα ὑμῖν, τότε εἴπατε, ὅτι δοῦλοι ἀχρεῖοί ἐσμεν, καὶ ὃ ὠφείλομεν ποιῆσαι, πεποιήκαμεν[1]. Διὰ τοῦτο οὐκ ἔστι μισθὸς ἔργων ἡ Βασιλεία τῶν Οὐρανῶν, ἀλλὰ χάρις Δεσπότου πιστοῖς δούλοις ἡτοιμασμένη.

γʹ. Οὐκ ἀπαιτεῖ δοῦλος ὡς μισθὸν τὴν ἐλευθερίαν, ἀλλ' εὐαρεστεῖ ὡς ὀφειλέτης, καὶ κατὰ χάριν ἐκδέχεται.

1. Ἡ κακοπιστία τῶν ἐκτός [τῆς Ἐκκλησίας] μέσα ἀπὸ ὅσα γράφονται πιὸ κάτω, θὰ ἐλεγχθῇ ἀπὸ ἐκείνους, ποὺ ἔχουν βεβαία τὴν πίστι καὶ ἔχουν ἐπίγνωσι τῆς ἀληθείας.

2. Ὁ Κύριος θέλοντας νὰ διδάξῃ, ὅτι κάθε ἐντολή [τοῦ Θεοῦ] ὀφείλουμε [νὰ τὴν ἐπιτελέσουμε] καὶ ὅτι μὲ τὸ ἴδιο τὸ Αἷμα Του ἔχει χαριστῆ στοὺς ἀνθρώπους ἡ υἱοθεσία, λέγει: «Ὅταν ἐκτελέσετε ὅλα ὅσα εἶναι προσταγή [τοῦ Θεοῦ] σὲ σᾶς, τότε νὰ πῆτε, ὅτι εἴμαστε ἄχρηστοι δοῦλοι καὶ κάναμε ὅ,τι εἴχαμε χρέος νὰ κάνουμε». Γι' αὐτὸ δὲν εἶναι ἀντιμισθία γιά [προσφορά] ἔργων, ἡ Βασιλεία τῶν Οὐρανῶν, ἀλλὰ χάρισμα τοῦ Κυρίου ἑτοιμασμένο γιὰ τοὺς πιστούς [Του] δούλους.

3. Δὲν ἀπαιτεῖ ὁ δοῦλος ὡς μισθὸ τὴν ἐλευθερία, ἀλλὰ κάνει εὐάρεστα τὸ θέλημα [τοῦ Κυρίου του], ὡς χρεώστης καὶ δέχεται κατὰ χάριν [ἀπὸ τὸν Κύριό του τὴν ἐλευθερία].

δ΄. Χριστὸς ἀπέθανε κατὰ τὰς Γραφὰς ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν[2]*· καὶ τοῖς εὖ δουλεύουσιν αὐτῷ, ἐλευθερίαν χαρίζεται. Φησὶ γάρ· εὖ δοῦλε ἀγαθὲ καὶ πιστέ. Ἐπὶ ὀλίγα ἦς πιστός, ἐπὶ πολλῶν σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου*[3]*.*

ε΄. Οὔπω δοῦλός ἐστι πιστός, ὁ ψιλῇ τῇ γνώσει ἐπερειδόμενος· ἀλλ᾿ ὁ δι᾿ ὑπακοῆς τῷ ἐντειλαμένῳ Χριστῷ πιστεύων.

ς΄. Ὁ τὸν δεσπότην τιμῶν, ποιεῖ τὰ κελευόμενα. Σφαλεὶς δέ, ἢ παρακούσας, ὑπομένει ὡς ἴδια τὰ ἐπερχόμενα.

ζ΄. Φιλομαθὴς ὤν, γίνου καὶ φιλόπονος. Ἡ γὰρ ψιλὴ γνῶσις φυσιοῖ τὸν ἄνθρωπον[4]*.*

η΄. Οἱ ἀπροσδοκήτως συμβαίνοντες ἡμῖν πειρασμοί, οἰκονομικῶς ἡμᾶς φιλοπόνους διδάσκουσιν εἶναι, καὶ μὴ βουλομένους εἰς μετάνοιαν ἕλκουσιν.

θ΄. Αἱ ἐπερχόμεναι θλίψεις τοῖς ἀνθρώποις, τῶν ἰδίων κακῶν εἰσιν ἔγγονα. Ἐὰν δὲ αὐτὰς διὰ προσευχῆς ὑπομένωμεν, εὑρίσκο-

4. Ὁ Χριστὸς πέθανε, σύμφωνα μὲ τὶς Γραφές, ἕνεκα τῶν ἁμαρτιῶν μας· καὶ σ᾿ ἐκείνους ποὺ ὑπακούουν ὅπως πρέπει σ᾿ Αὐτόν, χαρίζει τὴν ἐλευθερία. Διότι λέγει: «Εὖγε δοῦλε ἀγαθὲ καὶ πιστέ! Πάνω σὲ λίγα ὑπῆρξες πιστός, σὲ πολλὰ θὰ σὲ ἀποκαταστήσω. Εἴσελθε στὴ χαρὰ τοῦ Κυρίου Σου».

5. Δὲν εἶναι ἀκόμη πιστὸς δοῦλος, ἐκεῖνος ποὺ στηρίζεται στὴν ψιλὴ γνῶσι [χωρὶς πρᾶξι καὶ γεῦσι τῶν θείων]· ἀλλὰ ἐκεῖνος, ποὺ πιστεύει μὲ ὑπακοὴ στὸν Χριστό, ὁ ὁποῖος δίνει τὴν ἐντολή.

6. Ἐκεῖνος, ποὺ τιμᾶ τὸν Κύριο πράττει ὅσα προστάζει. Ὅταν δὲ σφάλλῃ ἢ παρακούῃ, ὑπομένει τὰ ἐπερχόμενα [δεινά] ὡς [συνέπειες] τῶν δικῶν του [σφαλμάτων].

7. Ἐὰν εἶσαι φιλομαθής, νὰ γίνῃς καὶ φιλόπονος. Διότι ἡ ψιλὴ γνῶσι [χωρὶς πρᾶξι] ὁδηγεῖ τὸν ἄνθρωπο στὴν ὑπερηφάνια.

8. Οἱ πειρασμοί, ποὺ ἀπροσδόκητα μᾶς συμβαίνουν, μᾶς διδάσκουν διὰ τῆς θείας οἰκονομίας νὰ εἴμαστε φιλόπονοι καί [μᾶς] ἕλκουν στὴν μετάνοια καὶ χωρὶς νὰ θέλουμε.

9. Οἱ ἐπερχόμενες στοὺς ἀνθρώπους θλίψεις εἶναι ἐπακόλουθα τῶν δικῶν τους ἁμαρτιῶν. Ἐὰν ὅμως τὶς ὑπομένουμε μὲ προσευχή, λαμ-

μεν πάλιν ἀγαθῶν πραγμάτων ἐπιφοράν.

ι΄. Τινὲς ἐπ᾽ ἀρετῇ ἐπαινεθέντες, ἡδύνθησαν, καὶ τὴν τῆς κενοδοξίας αὐτῶν ἡδονήν, ἔδοξαν εἶναι παράκλησιν. Ἕτεροι ἐφ᾽ ἁμαρτίᾳ ἐλεγχθέντες, ἐπόνησαν, καὶ τὸν ἐπωφελῆ πόνον, ἐλογίσαντο εἶναι κακίας ἐνέργειαν.

ια΄. Ὅσοι προφάσει ἀγώνων, τῶν ἀμελεστέρων κατεπαίρονται, οὗτοι ἐξ ἔργων σωματικῶν δικαιοῦσθαι νομίζουσιν. Ὅσοι δὲ ἐπερειδόμενοι ψιλῇ τῇ γνώσει, τοὺς ἀγνοοῦντας εὐτελίζομεν, ἐκείνων πολὺ ἀφρονέστεροι τυγχάνομεν.

ιβ΄. Ἐκτὸς τῶν κατ᾽ αὐτὴν ἔργων, οὔπω βεβαία ἡ γνῶσις, κἂν ἀληθὴς τυγχάνῃ. Διότι παντὶ πράγματι, τὸ ἔργον ἐστὶν ἡ βεβαίωσις.

ιγ΄. Πολλάκις ἐκ τῆς περὶ τὴν πρᾶξιν ἀμελείας, καὶ ἡ γνῶσις σκοτίζεται. Ὧν γὰρ αἱ ἐργασίαι καθόλου παρελογίσθησαν, τούτων καὶ αἱ μνῆμαι κατὰ μέρος οἰχήσονται.

ιδ΄. Ἡ Γραφὴ διὰ τοῦτο κατὰ γνῶσιν εἰδέναι τὸν Θεὸν ὑποτίθεται, ἵνα ὀρθῶς

βάνουμε πάλι τὴν προσφορὰ ἀγαθῶν πραγμάτων [ἐκ μέρους τοῦ Θεοῦ].

10. Κάποιοι, ποὺ ἄκουσαν ἐπαίνους γιὰ ἀρετή, αἰσθάνθηκαν ἡδονὴ καὶ νόμισαν ὅτι ἡ ἡδονὴ τῆς κενοδοξίας τους, εἶναι παρηγορία [ἀπὸ τὸν Θεό]. Ἄλλοι ὅταν ἐλέγχθηκαν γιά [κάποια] ἁμαρτία [τους], πόνεσαν καὶ θεώρησαν ὅτι ὁ ὠφέλιμος [αὐτός] πόνος εἶναι ἐνέργεια τῆς κακίας.

11. Ὅσοι μὲ πρόφασι τοὺς ἀγῶνες τους, ὑπερηφανεύονται ἔναντι ἐκείνων, ποὺ εἶναι οἱ πιὸ ἀμελεῖς, αὐτοὶ νομίζουν, ὅτι δικαιώνονται ἀπὸ τὰ σωματικά [τους] ἔργα. Ὅσοι πάλι ἐξευτελίζουμε ἐκείνους, ποὺ ἔχουν ἄγνοια, στηριζόμενοι στὴν ψιλή [μας] γνῶσι, [ἡ ὁποία εἶναι κενὴ ἀπὸ τὴν ἔμπρακτη ἐμπειρία], συμβαίνει νὰ εἴμαστε πολὺ πιὸ ἀνόητοι ἀπὸ ἐκείνους.

12. Χωρὶς τὰ σχετικὰ μ᾽ αὐτὴν ἔργα ἡ γνῶσι δὲν εἶναι ἀκόμα βέβαιη ἀσχέτως ἂν συμβαίνῃ νὰ εἶναι ἀληθινή. Διότι ἡ ἐπιβεβαίωσι κάθε πράγματος εἶναι ἡ ἔμπρακτη ἐκτέλεσί [του].

13. Πολλὲς φορὲς ἐξ αἰτίας τῆς ἀμέλειας, ὅσον ἀφορᾶ τὴν πρᾶξι καὶ ἡ γνῶσι σκοτίζεται. Διότι σ᾽ ἐκείνους ποὺ ἀνετράπη τελείως ἡ πρακτικὴ ζωή, αὐτῶν καὶ οἱ [σχετικές] μνῆμες διαδοχικὰ θὰ ἐξαφανιστοῦν.

14. Ἡ [Ἁγία] Γραφὴ γι᾽ αὐτόν [τὸν λόγο] παραγγέλλει νὰ γνωρίσουμε τὸν Θεὸ κατὰ τήν [ὄντως] γνῶσι[1], ὥστε ὀρθὰ νὰ

αὐτῷ διὰ τῶν ἔργων δουλεύωμεν.

ιε'. Ὅταν προφανῶς ἐπιτελῶμεν ἐντολάς,τὰ μὲν ἰδικὰ παρὰ Κυρίου ἀναλόγως λαμβάνομεν, ὠφελούμεθα δέ, κατὰ τὸν σκοπὸν τῆς προαιρέσεως.

ις'. Ὁ θέλων τι πρᾶξαι καὶ μὴ δυνάμενος, ὡς ποιήσας ἐστὶ παρὰ τῷ καρδιογνώστῃ Θεῷ. Τοῦτο δὲ καὶ ἐπ' ἀγαθοῖς, καὶ ἐπὶ κακοῖς νοητέον.

ιζ'. Ὁ νοῦς ἐκτὸς τοῦ σώματος, ἀγαθὰ καὶ κακὰ ἐπιτελεῖ πολλά. Τὸ δὲ σῶμα ἐκτὸς τοῦ νοός, οὐδὲν τούτων ἐκτελέσαι δύναται. Διότι ὁ νόμος τῆς ἐλευθερίας, πρὸ τῆς πράξεως ἀναγινώσκεται.

ιη'. Τινὲς μὴ ποιοῦντες τὰς ἐντολάς, πιστεύειν ὀρθῶς νομίζουσι· τινὲς δὲ ποιοῦντες, ὡς μισθὸν ὀφειλόμενον τὴν Βασιλείαν ἐκδέχονται· ἀμφότεροι δὲ τῆς ἀληθείας ἀπεσφάλησαν.

ιθ'. Παρὰ δεσπότου μισθὸς δούλοις οὐ κεχρεώστηται· οὐδ' αὖ πάλιν οἱ μὴ δουλεύοντες ὀρθῶς, ἐλευθερίας τυγχάνουσιν.

ὑπακούωμε σ' Αὐτὸν μὲ τὰ ἔργα.

15. Ὅταν φανερὰ ἐκτελοῦμε τὶς ἐντολές, λαμβάνουμε μὲν ἀπὸ τὸν Κύριο ἀναλόγως [μὲ τὸν ἀγῶνα μας] ἐκεῖνα ποὺ μᾶς ἀνήκουν, ὠφελούμεθα δὲ σύμφωνα μὲ τὸν σκοπὸ τῆς προαιρέσεώς [μας].

16. Ἐκεῖνος, ποὺ θέλει νὰ πράξῃ κάτι καὶ δὲν μπορεῖ, εἶναι, κατὰ τὴν κρίσι τοῦ Θεοῦ, ποὺ γνωρίζει τὶς καρδίες [τῶν ἀνθρώπων], ὡσὰν νά [τό] ἔπραξε. Αὐτὸ βέβαια πρέπει νὰ ἐννοηθῇ καὶ γιὰ καλὲς καὶ γιὰ κακές [πράξεις].

17. Ὁ νοῦς χωρὶς τὸ σῶμα ἐπιτελεῖ πολλὰ καλὰ καί [πολλά] κακά. Τὸ σῶμα ὅμως χωρὶς τὸν νοῦ τίποτε ἀπὸ αὐτὰ δὲν μπορεῖ νὰ διαπράξῃ. Διότι ὁ νόμος τῆς ἐλευθερίας διαβάζεται πρὶν ἀπὸ τὴν ἐκτέλεσι τῆς πράξεως.

18. Κάποιοι, ἐνῶ δὲν τηροῦν τὶς ἐντολές [τοῦ Θεοῦ], νομίζουν ὅτι ὀρθὰ πιστεύουν. Κάποιοι πάλι οἱ ὁποῖοι [τίς] τηροῦν, προσδοκοῦν τὴν Βασιλεία [τοῦ Θεοῦ] ὡς μισθό, πού [τούς] ὀφείλεται. Καὶ οἱ δύο βέβαια ἐξετράπησαν ἀπὸ τὴν ἀλήθεια.

19. Ἀπὸ τὸν κύριο δὲν ὀφείλεται μισθὸς στοὺς δούλους [του]. Οὔτε ἄλλωστε πάλι ἐπιτυγχάνουν τὴν ἐλευθερία ἐκεῖνοι, ποὺ δὲν ὑποτάσσονται σωστά.

κ'. Εἰ Χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανε, κατὰ τὰς Γραφάς[5], καὶ οὐ ζῶμεν ἑαυτοῖς, ἀλλὰ τῷ ὑπὲρ ἡμῶν ἀποθανόντι καὶ ἐγερθέντι[6]· δῆλον ὅτι δουλεύειν αὐτῷ ἕως θανάτου κεχρεωστήκαμεν. Πῶς οὖν ὀφειλομένην τὴν υἱοθεσίαν λογισόμεθα;

20. Ἐὰν ὁ Χριστὸς πέθανε γιὰ χάρι μας, σύμφωνα μὲ τὶς Γραφές, καὶ δὲν ζοῦμε γιὰ τοὺς ἑαυτούς μας ἀλλὰ γιὰ Ἐκεῖνον ποὺ πέθανε καὶ ἀναστήθηκε [γιὰ ἐμᾶς], [εἶναι] φανερὸ ὅτι ὀφείλουμε νὰ ὑποτασσώμεθα σ᾽ Αὐτὸν ἕως θανάτου. Πῶς λοιπὸν θὰ ἐννοήσουμε ὅτι ἡ υἱοθεσία [τοῦ Θεοῦ πρὸς ἐμᾶς] [μᾶς] δίδεται ὡς ὀφειλὴ [γιὰ τὰ ἔργα μας];

κα'. Χριστὸς Δεσπότης κατ᾽ οὐσίαν, καὶ Δεσπότης κατ᾽ οἰκονομίαν· ὅτι καὶ μὴ ὄντας ἐποίησε, καὶ τῇ ἁμαρτίᾳ θανόντας, διὰ τοῦ ἰδίου Αἵματος ἐξηγόρασε· καὶ τοῖς οὕτω πιστεύουσι τὴν χάριν ἐδωρήσατο.

21. Ὁ Χριστὸς εἶναι Κύριος κατὰ τὴν οὐσία καὶ Κύριος κατὰ τὴν θεία οἰκονομία. Διότι καί, ἐνῶ δὲν ὑπήρχαμε, [μᾶς] δημιούργησε καί, ἀφοῦ πεθάναμε ἐξ αἰτίας τῆς ἁμαρτίας [μας], μὲ τὸ Αἷμα Του [μᾶς] ἐξαγόρασε καὶ σὲ ἐκείνους ποὺ πιστεύουν κατ᾽ αὐτὸν τὸν τρόπο ἐδώρισε τὴν Χάρι.

κβ'. Ὅταν ἀκούσῃς τῆς Γραφῆς λεγούσης, ὅτι ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ[7], οὐκ ἔργα νοήσεις γεέννης, ἢ Βασιλείας ἀντάξια, ἀλλ᾽ ἔργα τῆς εἰς αὐτὸν ἀπιστίας, ἢ πίστεως, ὁ Χριστὸς ἀποδίδωσιν ἑκάστῳ· οὐχ ὡς συναλλάκτης πραγμάτων, ἀλλ᾽ ὡς Θεὸς κτίστης καὶ ἀγοραστὴς ἡμῶν.

22. Ὅταν ἀκούσῃς τήν [Ἁγία] Γραφὴ νὰ λέῃ, ὅτι θὰ ἀποδώσῃ στὸν καθένα σύμφωνα μὲ τὰ ἔργα του, μὴν ἐννοήσῃς ἔργα ἀντάξια τῆς γέεννας ἢ τῆς Βασιλείας, ἀλλὰ ὁ Χριστὸς θὰ ἀποδώσῃ στὸν καθένα [σύμφωνα μέ] τὰ ἔργα τῆς ἀπιστίας ἢ τῆς πίστεώς [του] πρὸς Αὐτόν· ὄχι ὡς ἔμπορος ποὺ κάνει συναλλαγὲς πραγμάτων, ἀλλὰ ὡς Θεὸς δημιουργὸς καὶ ἀγοραστής μας [μὲ τὸ Αἷμα Του].

κγ'. Ὅσοι τοῦ λουτροῦ τῆς παλιγγενεσίας ἠξιώθημεν, τὰ ἀγαθὰ ἔργα οὐ δι᾽ ἀνταπόδοσιν προσφέρομεν, ἀλ-

23. Ὅσοι ἀξιωθήκαμε τοῦ λουτροῦ τῆς παλιγγενεσίας [δηλαδὴ τοῦ Ἁγίου Βαπτίσματος], δὲν προσφέρουμε τὰ καλά [μας] ἔργα χάριν ἀνταποδόσεως ἀλλὰ

λὰ διὰ φυλακὴν τῆς δοθείσης ἡμῖν καθαρότητος.

κδ΄. Πᾶν ἔργον ἀγαθόν, ὃ διὰ τῆς ἡμετέρας ἐργαζόμεθα φύσεως, ἀπέχεσθαι μὲν ποιεῖ τοῦ ἐναντίου, προσθήκην δὲ ἁγιασμοῦ, ἐκτὸς χάριτος ποιῆσαι οὐ δύναται.

κε΄. Ὁ ἐγκρατής, ἀπέχεται γαστριμαργίας. Ὁ ἀκτήμων, πλεονεξίας. Ὁ ἥσυχος, πολυλογίας. Ὁ ἁγνός, φιληδονίας. Ὁ σεμνός, πορνείας. Ὁ αὐτάρκης, φιλαργυρίας. Ὁ πρᾷος, ταραχῆς. Ὁ ταπεινόφρων, κενοδοξίας. Ὁ ὑποτακτικός, φιλονεικίας. Ὁ ἐλεγκτικός, ὑποκρίσεως. Ὁμοίως καὶ ὁ εὐχόμενος, ἀπέχεται ἀνελπιστίας. Ὁ πτωχός, πολυχρηματίας. Ὁ ὁμολογητής, ἀρνήσεως. Ὁ μάρτυς, εἰδωλολατρίας. Βλέπεις πῶς πᾶσα ἡ ἕως θανάτου ἐπιτελουμένη ἀρετή, οὐδὲν ἕτερον, ἢ ἁμαρτίας ἐστὶν ἀποχή; Ἁμαρτίας δὲ ἀποχή, φύσεώς ἐστιν ἔργον, οὐ Βασιλείας ἀντάλλαγμα.

κς΄. Ἄνθρωπος μόλις φυλάσσει τὰ τῆς ἑαυτοῦ φύσεως, Χριστὸς δὲ διὰ σταυροῦ τὴν υἱοθεσίαν χαρίζεται.

γιὰ τὴν διασφάλισι τῆς καθαρότητος, ἡ ὁποία μᾶς χαρίστηκε.

24. Κάθε καλὸ ἔργο, τὸ ὁποῖο ἐργαζόμεθα μὲ ὄργανο τὴν φυσική μας ὑπόστασι, μᾶς κάνει μὲν νὰ μὴν μετέχουμε στὸ ἀντίθετο [κακό], ἀλλὰ χωρὶς τὴν Χάρι [τοῦ Θεοῦ] δὲν μπορεῖ νά [μᾶς] προσθέση ἁγιασμό.

25. Ὁ ἐγκρατὴς κρατᾶ τὸν ἑαυτό του μακριὰ ἀπὸ τὴν γαστριμαργία· ὁ ἀκτήμονας ἀπὸ τὴν πλεονεξία· ἐκεῖνος, ποὺ ἐργάζεται τὴν ἡσυχία [ἀποφεύγει] τὴν πολυλογία· ὁ ἁγνός [ἀπέχει] ἀπὸ τὴν φιληδονία. Ὁ σεμνὸς ἀπὸ τὴν πορνεία· ὁ αὐτάρκης ἀπὸ τὴν φιλαργυρία· ὁ πρᾶος [ἀποφεύγει] τὴν ταραχή· ὁ ταπεινόφρονας [στέκει μακριά] ἀπὸ τὴν κενοδοξία· ὁ ὑποτακτικὸς ἀπὸ τὴν φιλονεικία. Ἐκεῖνος ποὺ ἐπιτιμᾶ, ἀπὸ τὴν ὑποκρισία. Τὸ ἴδιο καὶ ἐκεῖνος ποὺ προσεύχεται κρατᾶ τὸν ἑαυτό του μακριὰ ἀπὸ τὴν ἔλλειψι ἐλπίδος. Ὁ πτωχὸς ἀπὸ τὰ πολλὰ χρήματα. Ὁ ὁμολογητὴς ἀπὸ τὴν ἄρνησι· ὁ μάρτυρας ἀπὸ τὴν εἰδωλολατρία. Βλέπεις ὅτι τίποτα ἄλλο δὲν εἶναι κάθε ἀρετὴ ἡ ὁποία τελεῖται ἕως θανάτου παρὰ ἡ ἀποχὴ ἀπὸ τὴν ἁμαρτία; Ἡ δὲ ἀποχὴ ἀπὸ τὴν ἁμαρτία εἶναι ἔργο τῆς φύσεως καὶ ὄχι ἀντάλλαγμα τῆς Βασιλείας.

26. Ὁ ἄνθρωπος μόλις καὶ διαφυλάσσει τὰ τῆς φύσεώς του. Ὁ Χριστὸς ὅμως μέσῳ τοῦ σταυροῦ χαρίζει τὴν υἱοθεσία.

κζ΄. Ἔστιν ἐντολὴ μερική, καὶ ἔστιν ἑτέρα περιεκτική. Τῇ μὲν γὰρ μερικῶς κελεύει μεταδιδόναι τῷ μὴ ἔχοντι[8]*, τῇ δὲ ἐντέλλεται, πᾶσιν ἀποτάξασθαι τοῖς ὑπάρχουσιν*[9]*.*

κη΄. Ἔστιν ἐνέργεια χάριτος, τῷ νηπίῳ ἀγνοουμένη· καὶ ἔστι τῆς κακίας ἑτέρα [recte:ἐνέργεια][α] *τῇ ἀληθείᾳ ἐξομοιουμένη. Καλὸν δὲ ταῦτα μὴ ἐνοπτρίζεσθαι διὰ τὴν πλάνην· μήτε ἀναθεματίζειν διὰ τὴν ἀλήθειαν· ἀλλὰ πάντα δι᾽ ἐλπίδος προσφέρειν τῷ Θεῷ· αὐτὸς γὰρ οἶδε τῶν ἀμφοτέρων τὸ χρήσιμον.*

κθ΄. Ὁ διαπεράσαι θέλων τὴν νοητὴν θάλασσαν, μακροθυμεῖ, ταπεινοφρονεῖ, ἀγρυπνεῖ, ἐγκρατεύεται. Ἐκτὸς δὲ τῶν τεσσάρων τούτων, ἐὰν εἰσελθεῖν βιάσηται, θορυβεῖ μὲν τὴν καρδίαν, περάσαι δὲ οὐ δύναται.

λ΄. Ἡσυχία, τῶν κακῶν ἀποκοπή. Ἐὰν δὲ καὶ τὰς τέσσαρας ἀρετὰς ἐπὶ προσευχὴν προσλαμβάνηται, βοήθημα συντομώτερον οὐδὲν αὐτῆς πρὸς ἀπάθειαν.

27. Ὑπάρχει εἰδικὴ ἐντολή, καὶ ὑπάρχει καὶ ἄλλη περιεκτική. Διότι μὲ τὴν πρώτη, μᾶς προστάζει μερικῶς νὰ δίδουμε σ᾽ ἐκεῖνον, ποὺ δὲν ἔχει – [ἐλεημοσύνη στὸν κόσμο]. Μὲ τὴν δεύτερη [τὴν περιεκτικὴ ἐντολή] διατάζει νὰ ἀπαρνηθοῦμε ὅλα [μας] τὰ ὑπάρχοντα – [μοναχικὴ πολιτεία].

28. Ὑπάρχει ἐνέργεια τῆς Χάριτος ἡ ὁποία ἀγνοεῖται ἀπὸ ἐκεῖνον ποὺ ἔχει πνευματικὴ νηπιότητα. Καὶ ὑπάρχει καὶ ἄλλη ἐνέργεια τῆς κακίας ἡ ὁποία προσομοιάζει μὲ τὴν ἀλήθεια. Καλὸν δέ [εἶναι] αὐτὰ νὰ μὴν τὰ παρατηροῦμε ἐρευνητικὰ ἐξ αἰτίας [τοῦ φόβου] τῆς πλάνης. Οὔτε νά [τά] ἀναθεματίζουμε [ὡς πειρασμικά] ἐξ αἰτίας τῆς ἀληθείας [τους]. Ἀλλὰ ὅλα μὲ ἐλπίδα νὰ τὰ προσφέρουμε στὸν Θεό. Διότι Ἐκεῖνος γνωρίζει τὴν ὠφέλεια καὶ στὶς δύο περιπτώσεις.

29. Ἐκεῖνος ποὺ θέλει νὰ διαβῇ τὴν νοητὴ θάλασσα, μακροθυμεῖ, ταπεινοφρονεῖ, ἀγρυπνεῖ, ἐγκρατεύεται. Ἐὰν ὅμως χωρὶς αὐτὰ τὰ τέσσερα προσπαθήσῃ διὰ τῆς βίας νὰ εἰσέλθῃ [στὴν νοητὴ θάλασσα], κατόπιν [αὐτοῦ] ταράζει βέβαια τὴν καρδία του, ἀλλὰ νὰ περάσῃ δὲν μπορεῖ.

30. Ἡσυχία εἶναι ἡ ἀποκοπὴ τῶν κακῶν. Ἐὰν δὲ μὲ τὴν προσευχὴ ἀποκτήσῃ [κανείς] καὶ τὶς τέσσερες ἀρετές [δηλαδὴ τὴν μακροθυμία, τὴν ταπεινοφροσύνη, τὴν ἀγρυπνία, τὴν ἐγκράτεια], καμία ἄλλη συντομώτερη θεραπεία ἀπ᾽ αὐτήν [δὲν θὰ βρῇ] πρὸς τὴν ἀπάθεια.

λα΄. Οὐκ ἔστιν ἡσυχάσαι τὸν νοῦν, ἄνευ τοῦ σώματος· οὐδὲ λῦσαι τὸ τούτων μεσότειχον, ἄνευ ἡσυχίας καὶ προσευχῆς.

λβ΄. Ἡ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, καὶ τὸ πνεῦμα κατὰ τῆς σαρκός[10]. Οἱ δὲ πνεύματι περιπατοῦντες, ἐπιθυμίαν σαρκὸς οὐ μὴ τελέσωσιν[11].

λγ΄. Οὐκ ἔστι τελεία προσευχὴ χωρὶς νοητῆς ἐπικλήσεως. Ἀπερισπάστως δὲ βοώσης ἐννοίας, ἐπακούσεται Κύριος.

λδ΄. Ὁ νοῦς ἀπερισπάστως εὐχόμενος, θλίβει καρδίαν. Καρδίαν δὲ συντετριμμένην καὶ τεταπεινωμένην, ὁ Θεὸς οὐκ ἐξουδενώσει[12].

λε΄. Καὶ ἡ προσευχὴ ἀρετὴ λέγεται, κἂν μήτηρ αὐτῶν τυγχάνῃ. Ἀπογεννᾷ γὰρ αὐτὰς διὰ τῆς εἰς Χριστὸν συναφείας.

λς΄. Ὃ ἐὰν πράξωμεν χωρὶς προσευχῆς, καὶ ἀγαθῆς ἐλπίδος, ὕστερον ἐπιβλαβές, καὶ ἀτελὲς τυγχάνει.

λζ΄. Ὅταν ἀκούσῃς, ὅτι ἔσονται οἱ ἔσχατοι πρῶτοι, καὶ οἱ πρῶτοι ἔσχατοι[13], μετόχους ἀρετῶν, καὶ μετό-

31. Δὲν εἶναι [δυνατόν] νὰ ἡσυχάσῃ ὁ νοῦς χωρὶς τὸ σῶμα. Οὔτε [εἶναι δυνατόν] νὰ καταργήσῃς τὸ φραγμὸ μεταξύ τους, χωρὶς τὴν ἡσυχία καὶ τὴν προσευχή.

32. Ἡ σάρκα ἐπιθυμεῖ ἐναντίον τοῦ πνεύματος καὶ τὸ πνεῦμα ἐναντίον τῆς σαρκός. Ἐκεῖνοι ὅμως ποὺ πολιτεύονται κατὰ τὶς ἐπιταγὲς τοῦ [Ἁγίου] Πνεύματος δὲν θὰ πραγματοποιήσουν τὴν ἐπιθυμία τῆς σαρκός.

33. Δὲν ὑπάρχει τελεία προσευχὴ χωρὶς νοερὰ ἐπίκλησι. Ὅταν δὲ χωρὶς περισπασμὸ βοᾷ ἡ [προσευχητική] κίνησι τοῦ νοός, θὰ ἐπακούσῃ ὁ Κύριος.

34. Ὅταν ὁ νοῦς εὔχεται χωρὶς περισπασμό, θλίβει τὴν καρδία. Καρδία δὲ γεμάτη συντριβὴ καὶ ταπείνωσι, ὁ Θεὸς δὲν θὰ τὴν ἐξουδενώσῃ.

35. Καὶ ἡ προσευχὴ ὀνομάζεται ἀρετὴ ἂν καὶ συμβαίνει νὰ εἶναι ἡ μητέρα αὐτῶν [τῶν ἀρετῶν]. Διότι μέσῳ τῆς ἑνώσεως μὲ τὸν Χριστό, τὶς γεννᾶ ὡς ἀποτέλεσμα.

36. Ὅ,τι κι ἂν πράξουμε χωρὶς προσευχὴ καὶ ἀγαθὴ ἐλπίδα, ὕστερα γίνεται ἐπιβλαβὲς καὶ ἀτελές.

37. Ὅταν ἀκούσῃς ὅτι θὰ εἶναι οἱ ἔσχατοι πρῶτοι καὶ οἱ πρῶτοι ἔσχατοι, νὰ ἐννοῇς ἐκείνους ποὺ ἔχουν μερίδιο στὶς ἀρετὲς καὶ ὅ-

χους ἀγάπης νόει. Ἀγάπη γὰρ ἐσχάτη μὲν ἀρετῶν τυγχάνει κατὰ τάξιν, πρώτη δὲ εὑρίσκεται πασῶν κατ' ἀξίαν· τὰς προγεγενημένας ἑαυτῆς, ἐσχάτας ἀποδεικνύουσα.

λη'. Ἐὰν ἀκηδιάσῃς προσευχόμενος, ἢ ἀπὸ κακίας πολυτρόπως θλιβόμενος, μνημόνευσον τῆς ἐξόδου καὶ τῶν χαλεπῶν κολάσεων. Κρεῖσσον δὲ τὸ προσκολλᾶσθαι τῷ Θεῷ διὰ προσευχῆς, καὶ ἐλπίδος[14]*, ἢ μνήμας ἔχειν ἐξωτέρας, κἂν ἐπωφελεῖς τυγχάνωσιν.*

λθ'. Οὐδεμία τῶν ἀρετῶν μόνη καθ' ἑαυτὴν ἀνοίγει τὴν φυσικὴν ἡμῶν θύραν, ἐὰν μὴ πᾶσαι ἀλλήλων ἀκολούθως ἐξήρτηνται.

μ'. Οὐκ ἔστιν ἐγκρατὴς ὁ λογισμοῖς τρεφόμενος. Κἂν γὰρ ὠφέλιμοι ὦσιν, οὐκ εἰσὶ τῆς ἐλπίδος ὠφελιμώτεροι.

μα'. Ἔστιν ἁμαρτία πᾶσα εἰς θάνατον, ἡ ἀμετανόητος· περὶ ἧς κἂν Ἅγιος ὑπὲρ ἑτέρου προσεύξηται, οὐκ εἰσακούεται.

μβ'. Ὁ ὀρθῶς μετανοῶν, οὐκ ἀντελλογεῖ τὸν κόπον

σους ἔχουν μερίδιο στὴν ἀγάπη. Διότι ἡ ἀγάπη κατατάσσεται μὲν τελευταία σύμφωνα μὲ τὴν τάξι ἀνάμεσα στὶς ἀρετές, πρώτη ὅμως βρίσκεται ἀνάμεσα σὲ ὅλες ὡς πρὸς τὴν ἀξία, ἀποδεικνύοντας τελευταῖες, ὅσες ἔχουν γίνει πρὶν ἀπὸ αὐτήν.

38. Ἐάν, ἐνῶ προσεύχεσαι πέσῃς σὲ ἀκηδία ἢ βρεθῇς ἀπὸ κακία σὲ παντὸς εἴδους θλῖψι, θυμήσου τὸν θάνατο καὶ τὶς φοβερὲς κολάσεις. [Εἶναι βέβαια] καλλίτερο τὸ νὰ προσκολλᾶται [κανείς] στὸν Θεὸ μὲ προσευχὴ καὶ ἐλπίδα, παρὰ νὰ ἔχῃ μνῆμες ἔξω καὶ πέρα ἀπὸ τὸν Θεὸ ἀκόμα κι ἂν τυχαίνῃ νὰ εἶναι ἐπωφελεῖς.

39. Καμία ἀπὸ τὶς ἀρετὲς ἐντελῶς ἀπὸ μόνη της δὲν ἀνοίγει τὴν θύρα τῆς φύσεώς μας [πρὸς τὸ ὑπὲρ φύσιν], ἐὰν δὲν ἐξαρτῶνται ὅλες ἡ μία ἀπὸ τὴν ἄλλη σὲ ἀλληλοδιαδοχή.

40. Δὲν εἶναι ἐγκρατὴς ἐκεῖνος ποὺ τρέφεται μὲ λογισμούς. [Ἀκόμα] κι' ἂν εἶναι ὠφέλιμοι, δὲν εἶναι τῆς ἐλπίδος, [τῆς μονολογίστου ἐλπίδος - τῆς εὐχῆς], ὠφελιμώτεροι.

41. Ὑπάρχει ἁμαρτία, ποὺ ὁδηγεῖ κατ' ἀπόλυτο μέτρο στὸν θάνατο, ἡ ἀμετανόητος [ἁμαρτία]· γιὰ τὴν ὁποία ἀκόμα κι ἂν Ἅγιος προσευχηθῇ γιὰ κάποιον δὲν εἰσακούεται.

42. Ἐκεῖνος, ποὺ μετανοεῖ σωστά, δὲν ἀντισταθμίζει τὸν κόπο,

ταῖς παλαιαῖς ἁμαρτίαις, ἀλλὰ δι᾽ αὐτοῦ τὸν Θεὸν ἐξευμενίζεται.

μγ΄. Εἰ ὅσα ἔχει ἡ φύσις ἡμῶν καλά, καθ᾽ ἡμέραν ποιεῖν αὐτὰ κεχρεωστήκαμεν, τί λοιπὸν περὶ τῶν προγεγενημένων κακῶν τῷ Θεῷ ἀνταποδώσομεν;

μδ΄. Ὅσην ἂν ὑπερβολὴν ἀρετῆς σήμερον ποιήσωμεν, παρελθούσης ἀμελείας, ἔλεγχός ἐστιν, οὐκ ἀνταπόδοσις.

με΄. Ὁ θλιβόμενος νοερῶς, καὶ ἀναπαυόμενος σαρκικῶς, ὅμοιός ἐστι τῷ σωματικῶς θλιβομένῳ, καὶ νοερῶς διαχεομένῳ.

μς΄. Ἡ ἐξ ἀμφοῖν θλῖψις ἑκούσιος, συνεργεῖ πρὸς θἄτερον· ἡ τῆς διανοίας τῇ σαρκικῇ, καὶ ἡ τῆς σαρκὸς τῇ κατὰ διάνοιαν· τὸ γὰρ σύνθετον αὐτῶν, μοχθηρότερον γίνεται.

μζ΄. Μεγάλη ἀρετὴ τὸ ὑπομένειν τὰ ἐπερχόμενα, καὶ ἀγαπᾷν τὸν πλησίον μισοῦντα, κατὰ τὸν λόγον τοῦ Κυρίου[15].

μη΄. Ἀγάπης ἀνυποκρίτου τεκμήριον, ἀδικημάτων συγχώρησις. Οὕτω γὰρ καὶ ὁ

[ποὺ καταβάλλει] μὲ τὶς παλαιὲς ἁμαρτίες, ἀλλὰ μὲ αὐτόν [τὸν κόπο] καθιστᾶ τὸν Θεό εὐμενῆ.

43. Ἐὰν ὅσα καλὰ εἶναι στὴν δυνατότητα τῆς φύσεώς [μας], κατὰ τὴν διάρκεια τῆς ἡμέρας, ἔχουμε χρέος νὰ τὰ κάνουμε, τί λοιπὸν θὰ ἀνταποδώσουμε στὸν Θεὸ γιὰ τὰ κακά, τὰ ὁποῖα ἔχουμε προηγουμένως κάνει;

44. Ὅση ἀρετὴ κι ἂν ἐργασθοῦμε σήμερα καθ᾽ ὑπερβολήν, ὅταν [πλέον] ἔχῃ παρέλθῃ ἡ ἀμέλειά [μας], εἶναι ἔλεγχος καὶ ὄχι ἀνταπόδοσι, [ἐπειδὴ ἀποδεικνύει, ὅτι προηγουμένως ἀμελούσαμε].

45. Ἐκεῖνος ποὺ θλίβεται νοερὰ καὶ ἀναπαύεται σωματικά, εἶναι ὅμοιος μ᾽ ἐκεῖνον ποὺ θλίβεται σωματικὰ καὶ διαχέεται νοερά.

46. Ἡ ἑκούσιος θλῖψι, ποὺ προέρχεται καὶ ἀπὸ τὰ δύο [τὸ σῶμα καὶ τὸν νοῦ] συνεργεῖ πρὸς τὸ ἀντίθετο ἀπὸ τὰ δύο. Ἡ θλῖψις [δηλαδὴ τοῦ νοῦ] [συνεργεῖ] στήν [θλῖψι] τοῦ σώματος καὶ ἡ [θλῖψι] τοῦ σώματος στήν [θλῖψι] τοῦ νοῦ. Ἡ συνύπαρξι βέβαια αὐτῶν [τῶν θλίψεων, τοῦ σώματος καὶ τοῦ νοῦ] καθίσταται πιὸ ἐπίπονη.

47. Μεγάλη ἀρετή [εἶναι] τὸ νὰ ὑπομένῃ [κανείς] τὶς ἐπερχόμενες [θλίψεις] καὶ νὰ ἀγαπᾷ τὸν πλησίον του, ἐνῶ [ὁ πλησίον], σύμφωνα μὲ τὸν λόγο τοῦ Κυρίου, [τόν] μισεῖ.

48. Ἀπόδειξι τῆς ἀνυπόκριτης ἀγάπης [εἶναι] ἡ συγχώρησι τῶν ἀδικιῶν [τοῦ ἄλλου]. Διότι κατ᾽ αὐτὸν τὸν τρόπο καὶ ὁ

Κύριος τὸν κόσμον ἠγάπησε.

μθ΄. Οὐκ ἔστιν ἀπὸ καρδίας συγχωρῆσαί τινα παραπτώματα, ἐκτὸς γνώσεως ἀληθινῆς. Αὕτη γὰρ ἴδια ἑκάστῳ τὰ ἐπερχόμενα δείκνυσιν.

ν΄. Οὐδὲν ἀπολέσεις, ὧν ἂν ἀφῇς διὰ τὸν Κύριον. Τῷ γὰρ ἰδίῳ καιρῷ, πολυπλασίως ἐλεύσεται.

να΄. Ὅταν ὁ νοῦς τοῦ τῆς εὐσεβείας σκοποῦ ἐπιλάθηται, τότε τὸ προφανὲς ἔργον τῆς ἀρετῆς ἀνόνητον γίνεται.

νβ΄. Εἰ παντὶ ἀνθρώπῳ βλαβερὰ ἡ κακοβουλία, πολλῷ μᾶλλον τοῖς τὴν ἀκρίβειαν ἐπανῃρημένοις.

νγ΄. Ἔργῳ φιλοσόφει περὶ βουλῆς ἀνθρώπου, καὶ ἀνταποδόσεως Θεοῦ. Οὐκ ἔστι γὰρ ὁ λόγος τῆς ἐργασίας σοφώτερος, ἢ ὠφελιμώτερος.

νδ΄. Τοῖς ὑπὲρ εὐσεβείας πόνοις, ἐπακολουθεῖ ἀντίληψις. Τοῦτο δὲ γνωστέον διὰ νόμου θείου καὶ συνειδήσεως.

νε΄. Εἷς παρέλαβε φρόνημα, καὶ ἀνεπισκέπτως ἐ-

Κύριος ἀγάπησε τὸν κόσμο.

49. Δὲν εἶναι [δυνατόν] νὰ συγχωρήσῃ κάποιος ἀπὸ καρδίας τὰ παραπτώματα [τοῦ ἄλλου], χωρὶς τὴν ἀληθινὴ γνῶσι. Διότι αὐτή [ἡ ἀληθινὴ γνῶσι] παρουσιάζει στὸν καθένα, σὰν δικά του, τὰ ἐπερχόμενα [δεινά, ὡς παιδαγωγίες ἐξ οἰκείας εὐθύνης].

50. Τίποτα δὲν θὰ χάσῃς ἀπὸ ὅσα κι᾽ ἂν ἀφήσῃς γιὰ τὸν Κύριο. Διότι στὸν δικό του καιρό [τὸ καθένα] θὰ ἔρθῃ πολλαπλάσιο.

51. Ὅταν ὁ νοῦς λησμονήσῃ τὸν σκοπὸ τῆς εὐσεβείας, τότε τὸ προφανὲς ἔργο τῆς ἀρετῆς γίνεται ἀνωφελές, [μάταιο].

52. Ἐὰν σὲ κάθε ἄνθρωπο εἶναι βλαβερὸς ὁ πονηρὸς λογισμός, πολὺ περισσότερο σὲ ὅσους ἔχουν ἀναδεχθῇ τὴν ζωὴ τῆς ἀκριβείας.

53. Ἐμπράκτως νὰ μελετᾷς σχετικὰ μὲ τὸν λογισμὸ τοῦ ἀνθρώπου [μὲ τὴν πνευματικὴ ἐργασία] καὶ τὴν ἀνταπόδοσι τοῦ Θεοῦ. Διότι δὲν εἶναι τὰ λόγια σοφώτερα ἢ ὠφελιμώτερα ἀπὸ τὴν ἄσκησι τοῦ ἔργου.

54. Στοὺς κόπους γιὰ τὴν εὐσέβεια ἐπακολουθεῖ ἡ θεία ἀντίληψι. Αὐτὸ βέβαια πρέπει νά [μᾶς] γίνῃ γνωστό, μέσῳ τοῦ θείου νόμου καὶ τῆς συνειδήσεως.

55. Κάποιος προσέλαβε μία σκέψι καὶ ἀνεξέταστα τὴν

κράτησεν. Ἕτερος δὲ παρέλαβε, καὶ τῇ ἀληθείᾳ συνέκρινε. Ζητητέον, τίς αὐτῶν εὐσεβεστέρως ἐποίησε;

νς΄. Γνῶσις ἀληθὴς ὑπάρχει ἡ τῶν θλιβερῶν ὑπομονή· καὶ τὸ μὴ αἰτιᾶσθαι τοὺς ἀνθρώπους ἐπὶ ταῖς ἑαυτοῦ συμφοραῖς.

νζ΄. Ὁ ποιῶν ἀγαθόν, καὶ ζητῶν ἀνταπόδοσιν, οὐ δουλεύει Θεῷ, ἀλλὰ τῷ ἰδίῳ θελήματι.

νη΄. Οὐκ ἔστιν ἁμαρτήσαντα τὴν ἀνταπόδοσιν διαδρᾶσαι, εἰ μὴ διὰ μετανοίας προσηκούσης τῷ σφάλματι.

νθ΄. Τινὲς λέγουσιν, οὐ δυνάμεθα ποιῆσαι τὸ ἀγαθόν, ἐὰν μὴ ἐνεργῶς δεξώμεθα τὴν χάριν τοῦ Πνεύματος.

ξ΄. Ἀεὶ οἱ προαιρέσει ταῖς ἡδοναῖς ἐγκείμενοι, ὡς ἀβοήθητον παραιτοῦνται τὸ κατὰ δύναμιν.

ξα΄. Ἡ μὲν χάρις τοῖς ἐν Χριστῷ βαπτισθεῖσι, μυστικῶς δεδώρηται· ἐνεργεῖ δὲ κατὰ ἀναλογίαν τῆς ἐργασίας τῶν ἐντολῶν. Καὶ κρυφίως μὲν ἡ χάρις βοηθεῖν ἡμῖν οὐ παύεται, ἐφ᾽ ἡμῖν δέ ἐστι ποιεῖν, ἢ μὴ

κράτησε. Ἄλλος ὅμως [τὴν προσέλαβε] καί [τήν] συνέκρινε μὲ τὴν ἀλήθεια. Πρέπει νὰ ζητηθῇ: ποιὸς ἀπ᾽ αὐτοὺς ἐνήργησε πιὸ εὐσεβῶς;

56. Ἡ ὑπομονὴ τῶν θλιβερῶν εἶναι ἀληθινὴ γνῶσι· καὶ τὸ νὰ μὴν θεωρῇ ὡς αἰτίους [κανείς] τοὺς ἀνθρώπους γιὰ τὶς δικές του συμφορές.

57. Ἐκεῖνος ποὺ πράττει τὸ καλὸ καὶ ζητᾶ ἀνταπόδοσι δὲν ὑπακούει στὸν Θεὸ ἀλλὰ στὸ δικό του θέλημα.

58. Δὲν εἶναι [δυνατόν] σ᾽ ἐκεῖνον ποὺ ἁμάρτησε νὰ διαφύγῃ τὴν ἀνταπόδοσι, παρὰ μόνο διὰ μετανοίας ἡ ὁποία ἁρμόζει στὸ σφάλμα.

59. Μερικοὶ λέγουν: «Δὲν μποροῦμε νὰ πράξουμε τὸ καλὸ ἐὰν ἐνεργῶς δὲν δεχθοῦμε τὴν Χάρι τοῦ Ἁγίου Πνεύματος».

60. Πάντοτε ἐκεῖνοι, ποὺ βρίσκονται μὲ τὴν προαίρεσί τους μέσα στὶς ἡδονὲς παραιτοῦνται ἀπὸ τὴν κατὰ δύναμιν [ἄσκησι τοῦ καλοῦ], διότι δῆθεν στεροῦνται βοηθείας.

61. Ἡ μὲν Χάρι σ᾽ ἐκείνους ποὺ εἶναι βαπτισμένοι ἐν Χριστῷ ἔχει δωρηθῆ μυστικά. Ἐνεργεῖ δὲ ἀναλογικὰ πρὸς τὴν ἐργασία τῶν ἐντολῶν. Καὶ ναὶ μὲν ἡ Χάρι δὲν σταματᾶ νὰ μᾶς βοηθῇ μυστικά, ἀλλὰ ἐναπόκειται σὲ ἐμᾶς νὰ κάνουμε ἢ νὰ μὴν

ποιεῖν τὸ ἀγαθὸν κατὰ δύναμιν.

ξβ'. Πρῶτον μὲν θεοπρεπῶς ἐγείρει τὴν συνείδησιν. Ὅθεν καὶ κακοποιοὶ μετανοήσαντες, τῷ Θεῷ εὐηρέστησαν.

ξγ'. Πάλιν ἐν διδασκαλίᾳ τοῦ πλησίον ἐγκέκρυπται. Ἔστι δὲ ὅτε καὶ ἐν ἀναγνώσει τῇ διανοίᾳ παρέπεται, καὶ διὰ φυσικῆς ἀκολουθίας διδάσκει τὸν νοῦν τὴν ἑαυτῆς ἀλήθειαν. Εἰ οὖν τῆς μερικῆς ταύτης ἀκολουθίας μὴ κρύψωμεν τὸ τάλαντον, εἰς τὴν χαρὰν τοῦ Κυρίου ἐνεργῶς εἰσελευσόμεθα[16].

ξδ'. Ὁ πρὸ τῆς ἐργασίας τῶν ἐντολῶν τὰς ἐνεργείας τοῦ Πνεύματος ἐπιζητῶν, ὅμοιός ἐστι δούλῳ ἀργυρωνήτῳ, ὃς ἅμα τῷ ἀγορασθῆναι, σὺν ταῖς ὠναῖς καὶ τὴν ἐλευθερίαν γραφῆναι ζητεῖ.

ξε'. Ὁ τὰς ἔξωθεν ἐπιφορὰς δικαιοσύνῃ Θεοῦ παραγινομένας εὑρηκώς, οὗτος ζητῶν τὸν Κύριον, εὗρε γνῶσιν μετὰ δικαιοσύνης[17].

ξς'. Ἐὰν νοήσῃς κατὰ τὴν Γραφήν, ὅτι ἐν πάσῃ τῇ γῇ

κάνουμε τὸ ἀγαθὸ κατὰ τὴν δύναμί [μας].

62. Κατ᾽ ἀρχὰς μέν [ἡ Χάρι] ἀνορθώνει τὴν συνείδησι θείᾳ δυνάμει. Γιὰ τοῦτο καὶ κακοποιοί, ἀφοῦ μετενόησαν, εὐαρέστησαν τὸν Θεό.

63. Ἐξ ἄλλου [ἡ Χάρι] εἶναι κρυμμένη μέσα στὴν διδασκαλία γιὰ τὸν πλησίον. Συμβαίνει δέ [τοῦτο]. Ἐνίοτε ὅμως [ἡ Χάρι] ἀκολουθεῖ τὴν σκέψι κατὰ τὴν ἀνάγνωσι καὶ διδάσκει στὸν νοῦ τὴν δική Της ἀλήθεια μὲ φυσικὴ συνέπεια. Ἐὰν λοιπὸν αὐτῆς τῆς ἰδιαίτερης συνέπειας [τὴν ὁποία ἐνεργεῖ ἡ Χάρι] δὲν κρύψουμε τὸ χάρισμα [ποὺ μᾶς προσφέρει], ὄντως θὰ εἰσέλθουμε στὴν χαρὰ τοῦ Κυρίου.

64. Ἐκεῖνος ὁ ὁποῖος πρὶν ἀπὸ τὴν ἐργασία τῶν ἐντολῶν ἐπιζητεῖ τὶς ἐνέργειες τοῦ [Ἁγίου] Πνεύματος, [πρόωρα χαρίσματα] εἶναι ὅμοιος μὲ τὸν ἀγορασμένο δοῦλο, ὁ ὁποῖος μαζὶ μὲ τὰ συμβόλαια τῆς ἀγορᾶς ζητᾶ νὰ γραφῇ καὶ ἡ ἐλευθερία.

65. Ἐκεῖνος ποὺ ἔχει ἀνακαλύψει ὅτι οἱ ἐξωτερικὲς συμφορὲς ἔρχονται ἀπὸ τὴν δικαιοσύνη τοῦ Θεοῦ, αὐτὸς ζητώντας τὸν Κύριο βρῆκε γνῶσι μαζὶ μὲ δικαιοσύνη.

66. Ἐὰν ἐννοήσῃς, σύμφωνα μὲ τὴν [Ἁγία] Γραφή, ὅτι σὲ ὅλη τὴν γῆ

τὰ κρίματα τοῦ Κυρίου[18], *γενήσεταί σοι πᾶσα σύμβασις, θεογνωσίας διδάσκαλος.*

ξζʹ. Κατὰ τὴν ἑκάστου ἔννοιαν, ἀπαντᾷ τὸ ὀφειλόμενον. Τὴν δὲ ποικιλίαν τῆς ἁρμοδίου ἐπιφορᾶς, μόνος ὁ Θεὸς ἐπίσταται.

ξηʹ. Ὅταν ἀτιμίαν τινὰ παρὰ τῶν ἀνθρώπων πάθῃς, εὐθὺς τὴν ἐπιφορὰν τῆς παρὰ Θεοῦ δόξης ἐννόησον· καὶ ἐπὶ μὲν τῇ ἀτιμίᾳ, ἄλυπος καὶ ἀτάραχος ἔσῃ· ἐπὶ δὲ τῇ δόξῃ, πιστὸς καὶ ἀκατάκριτος ἔσῃ, ὅταν ἐλεύσεται.

ξθʹ. Ἐπαινούμενος ὑπὸ πλήθους κατ᾽ εὐδοκίαν Θεοῦ, μηδὲν ἐπιδεικτικὸν ἐπιμείξῃς τῇ κυριακῇ οἰκονομίᾳ· ἵνα μὴ πάλιν ἐκ μεταβολῆς, εἰς τὸ ἐναντίον ἐμπέσῃς.

οʹ. Σπόρος οὐκ αὐξηθήσεται, δίχα γῆς καὶ ὕδατος· καὶ οὐκ ὠφεληθήσεται ἄνθρωπος ἐκτὸς ἑκουσίων πόνων, καὶ θείας ἀντιλήψεως.

οαʹ. Οὐκ ἔστι χωρὶς νέφους ἐπιχεθῆναι βροχήν, οὐδὲ χωρὶς συνειδήσεως ἀγαθῆς, εὐαρεστῆσαι Θεῷ.

[κυριαρχοῦν] οἱ ἀποφάσεις τοῦ Κυρίου, θὰ σοῦ γίνῃ κάθε τι ποὺ συμβαίνει, διδάσκαλος θεογνωσίας.

67. Σύμφωνα μὲ τὸν λογισμὸ τοῦ καθενὸς συμβαίνει ἐκεῖνο ποὺ τοῦ πρέπει. Τὴν δὲ ποικιλία τῆς ἁρμόζουσας ἐπιφορᾶς [δηλαδὴ ὁτιδήποτε εἶναι ἐπιτήδειο γιὰ τὴν σωτηρία του] μόνον ὁ Θεὸς τὴν γνωρίζει.

68. Ὅταν πάθῃς ἀπὸ τοὺς ἀνθρώπους κάποια ἀτιμία, σκέψου ἀμέσως τὸν ἐρχομὸ τῆς δόξας ἀπὸ τὸν Θεό. Καὶ γιὰ μὲν τὴν ἀτιμία θὰ μείνῃς δίχως λύπη καὶ ταραχή, γιὰ τὴν δόξα δέ, ὅταν θὰ ἔρθῃ, θὰ μείνῃς πιστὸς καὶ δὲν θὰ κατακριθῇς.

69. Ὅταν ἐπαινῆσαι ἀπὸ πλῆθος [ἀνθρώπων] κατὰ τὴν εὐδοκία τοῦ Θεοῦ, νὰ μὴν ἀναμείξῃς τίποτε τὸ ἐπιδεικτικὸ σ᾽ αὐτὸ ποὺ ὁ Κύριος οἰκονόμησε, γιὰ νὰ μὴν πέσῃς ἀντιστρόφως στὸ ἀντίθετο, ἐξ αἰτίας μεταβολῆς [τῶν συνθηκῶν].

70. Ὁ σπόρος δὲν θὰ αὐξηθῇ χωρὶς χῶμα καὶ νερό. Καὶ ὁ ἄνθρωπος δὲν θὰ ὠφεληθῇ χωρὶς ἑκουσίους κόπους καὶ θεία ἀντίληψι.

71. Δὲν εἶναι [δυνατόν] νὰ βρέξῃ χωρὶς σύννεφο, οὔτε νὰ εὐαρεστήσῃ [κανείς] τὸν Θεὸ χωρὶς ἀγαθὴ συνείδησι.

οβ΄. Μὴ ἀπαναίνου μανθάνειν, κἂν λίαν φρόνιμος τυγχάνῃς. Ἡ γὰρ οἰκονομία τοῦ Θεοῦ ὠφελιμωτέρα ἐστὶ τῆς ἡμετέρας φρονήσεως.

ογ΄. Ὅταν ὑφ᾽ ἡδονῆς τινος ἡ καρδία παρακινηθῇ τοῦ τῆς φιλοπονίας τόπου, τότε λίθου βαρυτάτου δίκην ἐπὶ κατάβασιν ὀλισθήσαντος, δυσεπικράτητος γίνεται.

οδ΄. Ὥς περ μόσχος ἄπειρος, βοτάναις ἐπιτρέχων, κατήντησεν εἰς ἀμφίκρημνον τόπον· οὕτως εὑρίσκεται ψυχὴ κατὰ μικρὸν ὑπὸ λογισμῶν ἀποβουκολουμένη.

οε΄. Ὅταν ὁ νοῦς ἀνδρισάμενος ἐν Κυρίῳ, ἀποσπᾷ τὴν ψυχὴν ἀπὸ χρονίας προλήψεως, τότε ἡ καρδία ὡς ἀπὸ δημίων κολάζεται, τεινόντων αὐτὴν ἔνθα, καὶ ἔνθα, τοῦ νοός, καὶ τοῦ πάθους.

ος΄. Ὥς περ οἱ ἐν θαλάσσῃ πλέοντες, ἐλπίδι κέρδους, ἡδέως ὑπομένουσι τὸν ἡλιακὸν καύσωνα· οὕτως οἱ μισοῦντες τὴν κακίαν, ἀγαπῶσιν ἔλεγχον. Διότι ἐναντιοῦται, ὁ μέν, τοῖς ἀνέ-

72. Μὴν ἀρνῆσαι νὰ μαθαίνῃς ἀκόμα κι᾽ ἂν τυχαίνῃ νὰ εἶσαι πολὺ σοφός. Διότι ἡ μέριμνα τοῦ Θεοῦ εἶναι ὠφελιμώτερη ἀπὸ τὴν δική σου σοφία.

73. Ὅταν ἐξ αἰτίας κάποιας ἡδονῆς ἡ καρδία μετακινηθῇ ἀπὸ τήν [συνήθη] θέσι τῆς φιλοπονίας [της], τότε γίνεται δύσκολη στὸ νὰ συγκρατηθῇ, ὅπως ὁ βαρύτατος λίθος ποὺ γλίστρησε σὲ κατωφέρεια.

74. Ὅπως ἀκριβῶς ἕνα ἀμάθητο μοσχάρι, ποὺ τρέχει ἐπάνω στὰ βοσκοτόπια φθάνει τελικὰ σὲ ἀπόκρημνο τόπο, σὲ παρόμοια κατάστασι βρίσκεται ἡ ψυχή, ὅταν κατ᾽ ὀλίγον ἐξαπατηθῇ ἀπὸ τοὺς λογισμούς.

75. Ὅταν, ὁ νοῦς ποὺ ἀπέκτησε ἀνδρεία μέ [τὴν Χάρι] τοῦ Κυρίου, ἀποσπᾷ τὴν ψυχὴ ἀπὸ πολυχρόνιο πρόληψι [ἀγῶνα λογισμῶν], τότε ἡ καρδία βασανίζεται, σὰν ἀπὸ δημίους, ποὺ τὴν τραβοῦν ἐδῶ καὶ ἐκεῖ, ἀπὸ τὸ ἕνα μέρος ὁ νοῦς καὶ ἀπὸ τὸ ἄλλο τὸ πάθος.

76. Ὅπως ἀκριβῶς ἐκεῖνοι, ποὺ πλέουν στὴν θάλασσα χάριν τῆς ἐλπίδος τοῦ κέρδους, εὐχαρίστως ὑπομένουν τὸν καύσωνα τοῦ ἡλίου, κατὰ τὸν ἴδιο τρόπο ἐκεῖνοι ποὺ μισοῦν τὴν κακία ἀγαποῦν τὸν ἔλεγχο. Διότι ἐναντιώνεται ὁ μέν [καύσωνας τοῦ ἡ-

μοις, ὁ δέ, τοῖς πάθεσιν.

οζʹ. Ὡς περ φυγὴ ἐν χειμῶνι ἢ ἐν σαββάτῳ[19]*, ὀδύνη γίνεται τῇ σαρκί, καὶ βεβήλωσις τῇ ψυχῇ· οὕτως ἐπανάστασις παθῶν ἐν γηραλέῳ σώματι καὶ ψυχῇ καθιερωμένῃ.*

οηʹ. Οὐδεὶς οὕτως ἀγαθὸς καὶ οἰκτίρμων, ὡς ὁ Κύριος. Τῷ δὲ μὴ μετανοοῦντι, οὐδὲ αὐτὸς ἀφίησι.

οθʹ. Πολλοὶ λυπούμεθα ἐπὶ ταῖς ἁμαρτίαις, τὰς δὲ αἰτίας αὐτῶν ἡδέως καταδεχόμεθα.

πʹ. Ἀσπάλαξ ὑπὸ γῆν ἕρπων, τυφλὸς ὤν, ἀστέρας ἰδεῖν οὐ δύναται. Καὶ ὁ μὴ πιστεύων περὶ προσκαίρων, οὔτε περὶ τῶν αἰωνίων πιστεύειν δύναται.

παʹ. Χάρις πρὸ χάριτος ἡ ἀληθὴς γνῶσις δεδώρηται τοῖς ἀνθρώποις παρὰ Θεοῦ· πρὸ πάντων τῷ δωρησαμένῳ πιστεύειν τοὺς μετόχους αὐτῆς ἐκδιδάσκουσα.

πβʹ. Ὅταν ἐφάμαρτος ψυχὴ τὰς ἐπερχομένας θλίψεις οὐ καταδέχεται, τότε οἱ Ἄγγελοι περὶ αὐτῆς λέγουσιν· ἰατρεύσαμεν τὴν

λίου] στοὺς ἀνέμους, ὁ δέ [ἔλεγχος] στὰ πάθη.

77. Ὅπως ἀκριβῶς ἡ φυγή, κατά [τὸν καιρό] τοῦ χειμῶνος ἢ κατά [τὴν ἡμέρα] τοῦ Σαββάτου, ἀποβαίνει ὀδύνη γιὰ τὸ σῶμα καὶ βεβήλωσι γιὰ τὴν ψυχή, κατὰ τὸν ἴδιο τρόπο [ἀποβαίνει ὀδύνη γιὰ τὸ σῶμα καὶ βεβήλωσι γιὰ τὴν ψυχή] ἡ ἐπανάστασι τῶν παθῶν σὲ γεροντικὸ σῶμα καὶ ἀφιερωμένη ψυχή.

78. Κανεὶς δὲν εἶναι τόσο ἀγαθὸς καὶ οἰκτίρμων ὅπως ὁ Κύριος. Σ᾿ ἐκεῖνον ὅμως ποὺ δὲν μετανοεῖ [γιὰ τὴν ἁμαρτία του], οὔτε Ἐκεῖνος [τήν] συγχωρεῖ.

79. Πολλοὶ λυπούμεθα ἐξ αἰτίας τῶν ἁμαρτιῶν μας, ἀλλὰ τὶς αἰτίες αὐτῶν εὐχαρίστως [τίς] δεχόμεθα.

80. Ὁ τυφλοπόντικας, ὁ ὁποῖος σέρνεται κάτω ἀπὸ τὴν γῆ, ἐπειδὴ εἶναι τυφλὸς δὲν μπορεῖ νὰ δῇ τὰ ἀστέρια. Καὶ ἐκεῖνος, ποὺ δὲν πιστεύει σχετικὰ μὲ τὰ πρόσκαιρα, οὔτε καὶ γιὰ τὰ αἰώνια μπορεῖ νὰ πιστεύῃ.

81. Ἡ ἀληθινὴ γνῶσι ἔχει δωρηθῇ στοὺς ἀνθρώπους ἀπὸ τὸν Θεὸ ὡς χάρι πρὶν ἀπὸ τὴν Χάρι, ἡ ὁποία πρὶν ἀπ᾿ ὅλα διδάσκει ἐκείνους ποὺ εἶναι μέτοχοι σ᾿ αὐτήν, νὰ πιστεύουν σ᾿ Ἐκεῖνον ποὺ τὴν δώρισε.

82. Ὅταν ἁμαρτωλὴ ψυχὴ δὲν ὑπομένῃ τὶς θλίψεις ποὺ ἔρχονται, τότε οἱ Ἄγγελοι λέγουν γι᾿ αὐτήν: «Δώσαμε θεραπεία στὴν

Βαβυλῶνα, καὶ οὐκ ἰάθη[20].

πγ'. Νοῦς ἐπιλανθανόμενος τῆς ἀληθοῦς γνώσεως, ὑπὲρ τῶν ἐναντίων, ὡς συμφερόντων τοῖς ἀνθρώποις διαμάχεται.

πδ'. Ὥσπερ ἐν ὕδατι πῦρ χρονίσαι οὐ δύναται, οὕτως οὔτε λογισμὸς αἰσχρὸς ἐν φιλοθέῳ καρδίᾳ. Διότι πᾶς φιλόθεος, ἔστι καὶ φιλόπονος. Ἑκούσιος δὲ πόνος, ἐχθρὸς ἡδονῆς κατὰ φύσιν ὑπάρχει.

πε'. Πάθος ἔργῳ νομὴν κρατῆσαν διὰ τοῦ θελήματος, ὕστερον καὶ μὴ θέλοντι τῷ μετόχῳ, βιαίως κατεπαίρεται.

πς'. Τῶν ἀκουσίων λογισμῶν τὰς αἰτίας ἀγαπῶμεν, καὶ διὰ τοῦτο ἐπέρχονται. Τῶν δὲ ἑκουσίων, δηλονότι καὶ τὰ πράγματα.

πζ'. Οἴησις καὶ ἀλαζονεία, βλασφημίας εἰσὶν αἴτια. Φιλαργυρία δὲ καὶ κενοδοξία, ἀσπλαχνίας, καὶ ὑποκρίσεως.

πη'. Ὅταν ἴδῃ ὁ διάβολος, ὅτι ὁ νοῦς ἐκ καρδίας προσηύξατο, τότε μεγάλους, καὶ κακοτέχνους πειρασμοὺς ἐπιφέρει. Μικρὰς γὰρ ἀρε-

Βαβυλῶνα καὶ δὲν θεραπεύθηκε».

83. Ὁ νοῦς, ποὺ λησμονεῖ τὴν ἀληθινὴ γνῶσι, πολεμᾶ γιὰ χάρι τῶν ἀντιθέτων [τῶν ἐχθρικῶν] ὡσὰν νὰ εἶναι συμφέροντα στοὺς ἀνθρώπους.

84. Ὅπως ἀκριβῶς ἡ φωτιὰ δὲν μπορεῖ νὰ χρονίσῃ μέσα στὸ νερό, κατὰ τὸν ἴδιο τρόπο οὔτε ὁ αἰσχρὸς λογισμὸς μπορεῖ νὰ χρονίσῃ μέσα στὴν καρδία ποὺ ἀγαπᾶ τὸν Θεό. Διότι κάθε φιλόθεος εἶναι καὶ φιλόπονος. Ὁ ἑκούσιος ὅμως κόπος εἶναι ἐκ φύσεως ἐχθρὸς τῆς ἡδονῆς.

85. Ἐὰν τὸ πάθος ἀποκτήσῃ ἐξουσία [δικαίωμα] μὲ ἔργο διὰ τοῦ θελήματος, ὕστερα βίαια ἐξεγείρεται ἐναντίον ἐκείνου, ποὺ ἔχει τὸ πάθος καὶ ἂν ἀκόμη δὲν τὸ θέλῃ.

86. Ἀγαποῦμε τὶς αἰτίες τῶν ἀκουσίων λογισμῶν καὶ γι' αὐτόν [τὸν λόγο] ἐπέρχονται. Τῶν δὲ ἑκουσίων [λογισμῶν ἀγαποῦμε] καὶ τὰ ἔμπρακτα ἀποτελέσματα.

87. Ἡ ὑπερηφάνια καὶ ἡ ἀλαζονεία εἶναι οἱ αἰτίες τῆς βλασφημίας. Ἡ δὲ φιλαργυρία καὶ ἡ κενοδοξία [εἶναι οἱ αἰτίες] τῆς ἀσπλαχνίας καὶ τῆς ὑποκρισίας.

88. Ὅταν ὁ διάβολος δῇ ὅτι ὁ νοῦς προσευχήθηκε ἐκ καρδίας, τότε ἐπιφέρει μεγάλους καὶ πανούργους πειρασμούς. Διότι δὲν θέλει

τάς, μεγάλαις ἐπιφοραῖς ἀναιρεῖν οὐ βούλεται.

πθ΄. Λογισμὸς ἐγχρονίζων, δηλοῖ τὴν τοῦ ἀνθρώπου προσπάθειαν. Ταχέως δὲ ἀναιρούμενος, σημαίνει πόλεμον, καὶ ἐναντιότητα.

ϟ΄. Τρεῖς εἰσι νοητοὶ τόποι, εἰς οὓς ὁ νοῦς ἐκ μεταβολῆς εἰσέρχεται· κατὰ φύσιν, ὑπὲρ φύσιν, καὶ παρὰ φύσιν. Καὶ ὅταν μὲν εἰς τὸν κατὰ φύσιν εἰσέλθῃ, εὑρίσκει ἑαυτὸν αἴτιον τῶν πονηρῶν λογισμῶν· καὶ ἐξομολογεῖται τῷ Θεῷ τὰς ἁμαρτίας, ἐπιγινώσκων τὰς αἰτίας τῶν παθῶν. Ὅταν δὲ εἰς τὸν παρὰ φύσιν γένηται, ἐπιλανθάνεται τῆς δικαιοσύνης τοῦ Θεοῦ, καὶ τοῖς ἀνθρώποις διαμάχεται ὡς ἀδικοῦσιν αὐτόν. Ὅταν δὲ εἰς τὸν ὑπὲρ φύσιν ἀχθῇ, εὑρίσκει τοὺς καρποὺς τοῦ Ἁγίου Πνεύματος, οὓς εἶπεν ὁ Ἀπόστολος, ἀγάπην, χαράν, εἰρήνην, καὶ τὰ ἑξῆς[21]*. Καὶ οἶδεν, ὅτι ἐὰν προκρίνῃ τὰς σωματικὰς φροντίδας, ἐμμένειν ἐκεῖ οὐ δύναται. Καὶ ὁ ἀναχωρῶν τοῦ τόπου ἐκείνου, ἐμπίπτει εἰς τὴν ἁμαρτίαν,*

νὰ ἀφανίσῃ τὶς μικρὲς ἀρετὲς μὲ μεγάλες δοκιμασίες.

89. Λογισμὸς ποὺ χρονίζει, δηλώνει τὴν προσπάθεια [τὴν ἐπιρρέπεια καὶ τὴν προσκόλλησι] τοῦ ἀνθρώπου [στὸ πάθος]. Ὅταν ὅμως ἀφανίζεται γρήγορα, δηλώνει πόλεμο καὶ ἐναντίωσι [τοῦ ἀγωνιστῆ].

90. Τρεῖς εἶναι οἱ νοητοὶ τόποι στοὺς ὁποίους ὁ νοῦς εἰσέρχεται ἕνεκα μεταβολῆς [του]: ὁ κατὰ φύσιν, ὁ ὑπὲρ φύσιν καὶ ὁ παρὰ φύσιν. Καὶ ὅταν μὲν εἰσέλθῃ στὸν κατὰ φύσιν [νοητὸ τόπο] βρίσκει τὸν ἑαυτό του ὑπαίτιο γιὰ τοὺς πονηροὺς λογισμοὺς καὶ ἐξομολογεῖται στὸν Θεὸ τὶς ἁμαρτίες [του], ἀναγνωρίζοντας τὶς αἰτίες τῶν παθῶν [του]. Ὅταν δὲ φθάσῃ στὸν παρὰ φύσιν [νοητὸ τόπο], λησμονεῖ τὴν δικαιοσύνη τοῦ Θεοῦ καὶ φιλονεικεῖ μὲ τοὺς ἀνθρώπους, μὲ τὴν ἰδέα ὅτι τὸν ἀδικοῦν. Ὅταν ὅμως ὁδηγηθῇ στὸν ὑπὲρ φύσιν [νοητὸ τόπο], βρίσκει τοὺς καρποὺς τοῦ Ἁγίου Πνεύματος, τοὺς ὁποίους εἶπε ὁ Ἀπόστολος: ἀγάπη, χαρά, εἰρήνη καὶ τὰ συνακόλουθα. Καὶ γνωρίζει ὅτι ἐὰν προτιμήσῃ τὶς σωματικὲς φροντίδες, δὲν μπορεῖ νὰ μείνῃ ἐκεῖ. Καὶ ἐκεῖνος, ποὺ ἀναχωρεῖ ἀπὸ ἐκεῖνον τὸν τόπο πέφτει στὴν ἁμαρτία καὶ

καὶ εἰς τὰς ἐπακολουθούσας αὐτῇ δεινὰς συμβάσεις, κἂν μὴ προσφάτως, ἀλλὰ τῷ ἰδίῳ καιρῷ, καθὼς οἶδεν ἡ τοῦ Θεοῦ δικαιοσύνη.

ϟα΄. Τοσοῦτον ἡ ἑκάστου γνῶσις ἀληθὴς τυγχάνει, ὅσον αὐτὴν πρᾳότης, καὶ ταπείνωσις, καὶ ἀγάπη βεβαιοῦσι.

ϟβ΄. Πᾶς ὁ βαπτισθεὶς ὀρθοδόξως, ἔλαβε μυστικῶς πᾶσαν τὴν χάριν. Πληροφορεῖται δὲ λοιπόν, κατὰ τὴν ἐργασίαν τῶν ἐντολῶν.

ϟγ΄. Ἐντολὴ Χριστοῦ κατὰ συνείδησιν ἐπιτελουμένη, κατὰ τὸ πλῆθος τῶν ὀδυνῶν τῆς καρδίας, δωρεῖται παράκλησιν· πλὴν ἕκαστον αὐτῶν ἐν ἰδίῳ καιρῷ παραγίνεται.

ϟδ΄. Ἔχε παράμονον δέησιν, ἐν παντὶ πράγματι, ὡς μηδὲν ἐπιτελεῖν ἐκτὸς βοηθείας Θεοῦ.

ϟε΄. Οὐδὲν προσευχῆς εἰς ἐνέργειαν δυνατώτερον· καὶ πρὸς εὐδοκίαν Θεοῦ, οὐδὲν αὐτῆς ὠφελιμώτερον.

ϟς΄. Πᾶσα ἐργασία ἐντολῶν, ἐν αὐτῇ περιέχεται. Τῆς γὰρ εἰς Θεὸν ἀγάπης, οὐδέν ἐ-

στὶς φοβερὲς δυστυχίες, ποὺ ἐπέρχονται ἐξ αἰτίας της, ἂν ὄχι ἄμεσα, ἀλλὰ στὸν ἰδιάζοντα καιρό, ὅπως γνωρίζει ἡ δικαιοσύνη τοῦ Θεοῦ.

91. Ἡ [ἐν Χριστῷ] γνῶσι τοῦ καθενὸς συμβαίνει νὰ εἶναι τόσο ἀληθινή, ὅσο τὴν ἐπιβεβαιώνουν ἡ πραότητα, ἡ ταπείνωσι καὶ ἡ ἀγάπη.

92. Καθένας ὁ ὁποῖος βαπτίσθηκε ὀρθόδοξα, ἔλαβε μὲ τρόπο μυστικὸ ὅλη τὴν Χάρι. Λαμβάνει ὅμως ἔπειτα πληροφορία [γι᾽ αὐτὴ τὴν Χάρι] σύμφωνα μὲ τὴν ἐργασία τῶν ἐντολῶν.

93. Ἡ ἐντολὴ τοῦ Χριστοῦ, ἡ ὁποία ἐπιτελεῖται σύμφωνα μὲ τὴν συνείδησι, χαρίζει παρηγορία, ἀνάλογα μὲ τὸ πλῆθος τῶν ὀδυνῶν τῆς καρδίας. Ἀλλὰ καθένα ἀπ᾽ αὐτὰ ἐπέρχεται στὸν κατάλληλο καιρὸ [του].

94. Κράτησε ἐπίμονο προσευχὴ σὲ κάθε ζήτημα, ὥστε τίποτα νὰ μὴν ἐπιτελῇς χωρὶς τὴν βοήθεια τοῦ Θεοῦ.

95. Τίποτε δὲν εἶναι ὡς πρὸς τὴν ἀποτελεσματικότητα δυνατώτερο ἀπὸ τὴν προσευχὴ καὶ γιὰ τὴν εὐαρέστησι τοῦ Θεοῦ τίποτα δὲν εἶναι ὠφελιμώτερο ἀπ᾽ αὐτήν.

96. Ὅλη ἡ ἐργασία τῶν ἐντολῶν περιέχεται σ᾽ αὐτήν [στὴν προσευχή]. Διότι τίποτε δὲν εἶναι

στιν ἀνώτερον.

ϟζ'. Προσευχὴ ἀῤῥέμβαστος, σημεῖον φιλοθεΐας τῷ παραμένοντι. Ἀμέλεια δὲ αὐτῆς καὶ ῥεμβασμός, φιληδονίας τεκμήριον.

ϟη'. Ὁ ἀθλίπτως ἀγρυπνῶν, καὶ μακροθυμῶν, καὶ προσευχόμενος, Πνεύματος Ἁγίου ἐναργῶς μέτοχος τυγχάνει. Ὁ δὲ θλιβόμενος ἐν τούτοις, καὶ θελήματι ὑπομένων, καὶ οὗτος ταχέως τυγχάνει ἀντιλήψεως.

ϟθ'. Ἐντολὴ ἐντολῆς ἀποδέδεικται διαφορωτέρα. Διὸ καὶ πίστις πίστεως βεβαιοτέρα εὑρίσκεται.

ρ'. Ἔστι πίστις ἐξ ἀκοῆς[22]*, κατὰ τὸν Ἀπόστολον, καὶ ἔστι πίστις ἐλπιζομένων ὑπόστασις*[23]*.*

ρα'. Καλὸν διὰ λόγων ὠφελεῖν τοὺς πυνθανομένους· κρεῖσσον δὲ τὸ διὰ προσευχῆς, καὶ ἀρετῆς συνεργεῖν αὐτοῖς. Ὁ γὰρ διὰ τούτων ἑαυτὸν προσφέρων Θεῷ, βοηθεῖ καὶ τῷ πέλας διὰ τοῦ οἰκείου βοηθήματος.

ρβ'. Εἰ θέλεις συντόμῳ λόγῳ ὠφελῆσαι τὸν φιλομαθῆ, ὑπόδειξον αὐτῷ προσευχήν, καὶ πίστιν ὀρθήν,

ἀνώτερο ἀπὸ τὴν ἀγάπη γιὰ τὸν Θεό.

97. Ἡ ἀρρέμβαστος προσευχὴ εἶναι σημεῖο ἀγάπης γιὰ τὸν Θεὸ ἀπὸ ἐκεῖνον ποὺ παραμένει [ἀμετεώριστος στὴν προσευχή]. Ἡ δὲ ἀμέλεια αὐτῆς [τῆς προσευχῆς] καὶ ὁ μετεωρισμός [εἶναι] ἀπόδειξι φιληδονίας.

98. Ἐκεῖνος, ποὺ ἀγρυπνεῖ καὶ ὑπομένει καὶ προσεύχεται χωρὶς βία, εἶναι ὁλοφάνερα μέτοχος τοῦ Ἁγίου Πνεύματος. Ἀλλὰ καὶ ὁ βιαζόμενος σ' αὐτὰ καὶ ἐκεῖνος ποὺ μὲ τὴν θέλησί [του] κάνει ὑπομονὴ καὶ αὐτὸς σύντομα ἀπολαμβάνει τῆς [θείας] ἀντιλήψεως.

99. Ἐντολὴ ἀπὸ ἐντολὴ ἔχει ἀποδειχθῆ κατὰ τὴν σύγκρισι ὅτι εἶναι διαφορετική. Γι' αὐτὸ καὶ πίστι ἀπὸ πίστι βρίσκεται κατὰ τὴν σύγκρισι διαφορετικὴ ὡς πρὸς τὴν σταθερότητα.

100. Ὑπάρχει, σύμφωνα μὲ τὸν Ἀπόστολο, πίστι ἐξ ἀκοῆς [ἀπὸ ἄκουσμα] καὶ ὑπάρχει πίστι [ἀκλόνητη] ποὺ εἶναι, ἡ πραγματικότης ἐκείνων ποὺ ἐλπίζουμε.

101. Καλό [εἶναι] νὰ ὠφελῇ [κανείς] μὲ λόγια ἐκείνους ποὺ ρωτοῦν νὰ μάθουν. Καλλίτερο ὅμως [εἶναι] νὰ τοὺς βοηθᾷ μὲ τὴν προσευχὴ καὶ τὴν ἀρετή. Διότι ἐκεῖνος ποὺ μέσῳ αὐτῶν [τῆς προσευχῆς καὶ τῆς ἀρετῆς] προσφέρει τὸν ἑαυτό του στὸν Θεό, θεραπεύει καὶ τὸν διπλανό του μὲ τὴν δική του θεραπεία.

102. Ἐὰν θέλῃς νὰ ὠφελήσῃς μὲ σύντομο λόγο ἐκεῖνον, ποὺ ἀγαπᾶ νὰ μάθῃ, ὑπόδειξε σ' αὐτὸν τὴν προσευχή, τὴν ὀρθὴ πίστι καὶ

καὶ τῶν ἐπερχομένων ὑπομονήν. Πάντα γὰρ λοιπὸν τὰ καλὰ διὰ τούτων εὑρίσκεται.

ργʹ. Περὶ ὧν τις ἤλπισεν εἰς Θεόν, οὐκ ἔτι περὶ ἐκείνων τῷ πλησίον διαμάχεται.

ρδʹ. Εἰ πᾶν ἀκούσιον ἐκ τῶν ἑκουσίων ἔχει τὴν αἰτίαν, κατὰ τὴν Γραφήν, οὐδεὶς οὕτως ἐχθρὸς ἀνθρώπου, ὡς αὐτὸς ἑαυτοῦ τυγχάνει.

ρεʹ. Πάντων τῶν κακῶν προηγεῖται ἄγνοια· δευτέρα δὲ ταύτης ἐστὶν ἡ ἀπιστία.

ρςʹ. Φεῦγε πειρασμὸν δι᾽ ὑπομονῆς, καὶ δεήσεως. Εἰ δὲ ἐκτὸς τούτων ἀντιτάσσῃ, περισσοτέρως ἐπέρχεται.

ρζʹ. Ὁ πρᾶος κατὰ Θεόν, τῶν σοφῶν ἐστι σοφώτερος· καὶ ὁ ταπεινὸς τῇ καρδίᾳ, τῶν δυνατῶν δυνατώτερος. Ἐπειδὴ τὸν ζυγὸν τοῦ Χριστοῦ κατὰ γνῶσιν βαστάζουσιν.

ρηʹ. Ὅσα ἐκτὸς προσευχῆς ἢ λαλοῦμεν, ἢ πράττομεν, ὕστερον ἢ σφαλερά, ἢ ἐπιβλαβῆ τυγχάνουσι· καὶ ἡ-

τὴν ὑπομονὴ στὰ ἐπερχόμενα. Διότι ὅλα ἀκολούθως τὰ καλὰ ἀποκτῶνται μέσῳ αὐτῶν.

103. Γιὰ ἐκεῖνα, ποὺ εἶχε κάποιος στηρίξει τὶς ἐλπίδες του στὸν Θεό, γι᾽ αὐτὰ πλέον δὲν φιλονεικεῖ μὲ τὸν πλησίον του.

104. Ἐὰν κάθε τι ἀκούσιο ἔχῃ, σύμφωνα μὲ τήν [Ἁγία] Γραφή, τὴν αἰτία του [σὲ ὅσα ἔγιναν] ἑκούσια, κανεὶς δὲν εἶναι τόσο πολὺ ἐχθρὸς τοῦ ἀνθρώπου, ὅσο εἶναι ὁ ἴδιος [ὁ ἄνθρωπος ἐχθρός] τοῦ ἑαυτοῦ του.

105. Ὅλων τῶν κακῶν προηγεῖται ἡ ἄγνοια. Δεύτερη δὲ ἀπὸ αὐτὴν εἶναι ἡ ἀπιστία.

106. Ἀπόφυγε τὸν πειρασμὸ μὲ τὴν ὑπομονὴ καὶ τὴν προσευχή. Ἐὰν ὅμως ἐναντιώνεσαι [κατὰ τοῦ πειρασμοῦ] χωρὶς αὐτά [τὴν ὑπομονὴ καὶ τὴν προσευχή] ἐπιτίθεται πιὸ πολύ.

107. Ὁ κατὰ Θεὸν πρᾶος εἶναι πιὸ σοφὸς ἀπὸ τοὺς σοφούς. Καὶ ὁ ταπεινὸς ὡς πρὸς τὴν καρδία εἶναι πιὸ δυνατὸς ἀπὸ τοὺς δυνατούς, ἐπειδὴ καὶ οἱ δύο βαστάζουν τὸν ζυγὸ τοῦ Χριστοῦ μὲ ἐπίγνωσι.

108. Ὅσα εἴτε λέμε εἴτε πράττουμε χωρὶς προσευχή, κατόπιν βρίσκονται εἴτε λανθασμένα εἴτε ἐπιβλαβῆ καὶ μᾶς ἐλέγ-

μᾶς ἀγνώστως διὰ τῶν πραγμάτων ἐλέγχουσιν.

ρθ΄. Ἐξ ἔργων, καὶ λόγων, καὶ ἐννοίας, δίκαιος εἷς. Ἐκ δὲ πίστεως, καὶ χάριτος, καὶ μετανοίας, πολλοὶ δίκαιοι.

ρι΄. Ὥς περ μετανοοῦντι ὑψηλοφρονεῖν ἀλλότριον, οὕτως ἑκουσίως ἁμαρτάνοντι, ταπεινοφρονεῖν ἀδύνατον.

ρια΄. Οὐκ ἔστι συνειδήσεως κατάγνωσις ἡ ταπεινοφροσύνη· ἀλλὰ χάρις[β] *Θεοῦ, καὶ συμπαθείας ἐπίγνωσις.*

ριβ΄. Ὅπερ ἐστὶν οἶκος αἰσθητὸς τῷ κοινῷ ἀέρι, τοῦτο νοῦς λογικὸς τῇ θείᾳ χάριτι· καὶ ὅσον ἂν ἐκβάλῃς τὴν ὕλην, τοσοῦτον αὐτομολήσει· καὶ ὅσον ἂν ἐμβάλῃς, τοσοῦτον ὑποχωρήσει.

ριγ΄. Ὕλη οἴκου, σκεύη, καὶ βρώματα. Ὕλη δὲ νοός, κενοδοξία, καὶ ἡδονή.

ριδ΄. Χώρημα καρδίας, ἐλπὶς εἰς Θεόν. Στενοχωρία δὲ αὐτῆς, φροντὶς σωματική.

ριε΄. Μία μέν ἐστι καὶ ἀναλλοίωτος ἡ χάρις τοῦ Πνεύματος, ἐνεργεῖ δὲ ἑκάστῳ,

χουν χωρὶς νὰ τὸ γνωρίζουμε μέσῳ τῶν ὅσων συμβαίνουν.

109. Ἕνεκα τῶν ἔργων καὶ τῶν λόγων καὶ τῶν σκέψεών [του], ἕνας [εἶναι] ὁ δίκαιος. Ἕνεκα δὲ τῆς πίστεως καὶ τῆς Χάριτος καὶ τῆς μετανοίας, πολλοὶ οἱ δίκαιοι.

110. Ὅπως ἀκριβῶς [εἶναι] ἀσυμβίβαστο γιὰ ἐκεῖνον, ποὺ μετανοεῖ, τὸ νὰ ὑψηλοφρονῇ, κατὰ τὸν ἴδιο τρόπο γιὰ ἐκεῖνον ποὺ ἁμαρτάνει μὲ τὴν θέλησί του, [εἶναι] ἀδύνατον νὰ ἔχῃ ταπεινὸ φρόνημα.

111. Δὲν εἶναι ἡ ταπεινοφροσύνη ἐπίκρισι τῆς συνειδήσεως, ἀλλὰ ἐπίγνωσι τῆς Χάριτος τοῦ Θεοῦ καὶ τῆς σχέσεως [μαζί Του].

112. Ὅ,τι ἀκριβῶς εἶναι τὸ αἰσθητὸ σπίτι σὲ σχέσι μὲ τὸν κοινὸ ἀέρα [ποὺ ἀναπνέουμε], αὐτό [εἶναι] ὁ λογικὸς νοῦς σὲ σχέσι μὲ τὴν θεία Χάρι. Καὶ ὅσο ἂν βγάλῃς ἔξω ὑλικὰ πράγματα, τόσο θὰ εἰσέλθῃ αὐθόρμητα [ὁ ἀέρας στὸ σπίτι καὶ ἀντίστοιχα ἡ Χάρι στὸν νοῦ]. Καὶ ὅσο θὰ εἰσαγάγῃς [ὑλικὰ πράγματα], τόσο θὰ ὑποχωρήσῃ.

113. Ὑλικὰ πράγματα τοῦ σπιτιοῦ [εἶναι] τὰ σκεύη καὶ τὰ φαγητά. Ὑλικὰ δὲ πράγματα γιὰ τὸν νοῦ [εἶναι] ἡ κενοδοξία καὶ ἡ ἡδονή.

114. Ἡ ἐλπίδα στὸν Θεό [εἶναι] εὐρυχωρία τῆς καρδίας. Στενότητα δὲ αὐτῆς [εἶναι] ἡ σωματικὴ φροντίδα.

115. Ἡ Χάρι τοῦ [Ἁγίου] Πνεύματος εἶναι μὲν μία καὶ ἀναλλοίωτη, ἀλλὰ ἐνεργεῖ στὸν καθένα,

καθὼς βούλεται[24].

ρις΄. Ὥς περ ὑετὸς ἐπιχεθεὶς τῇ γῇ, τοῖς φυτοῖς προσφυᾶ παρέχει ποιότητα, γλυκεῖαν μὲν τοῖς γλυκέσι, στυφὴν δὲ τοῖς στυφοτέροις· οὕτως ἡ χάρις ταῖς καρδίαις τῶν πιστῶν, ἀτρέπτως ἐπιβάλλουσα, ἁρμοζούσας ταῖς ἀρεταῖς τὰς ἐνεργείας χαρίζεται.

ριζ΄. Τῷ διὰ Χριστὸν πεινῶντι, γίνεται τροφή· καὶ τῷ διψῶντι, πόμα ἡδύτατον· τῷ ῥιγοῦντι, ἔνδυμα· καὶ τῷ κοπιῶντι, ἀνάπαυσις· τῷ προσευχομένῳ, πληροφορία· καὶ τῷ πενθοῦντι, παράκλησις.

ριη΄. Ὅταν οὖν ἀκούσῃς τῆς Γραφῆς λεγούσης παρὰ[γ] *τοῦ Ἁγίου Πνεύματος, ὅτι ἐκάθησεν ἐφ᾽ ἕνα ἕκαστον τῶν Ἀποστόλων*[25]*, ἢ ὅτι ἐφήλατο ἐπὶ τὸν Προφήτην*[26]*, ἢ ἐνεργεῖ*[27]*, ἢ λυπεῖται*[28]*, ἢ σβέννυται*[29]*, ἢ παροξύνεται· καὶ πάλιν· τοὺς μὲν ἀπαρχὴν ἔχοντας*[30]*· τοὺς δὲ πλήρεις Πνεύματος Ἁγίου*[31]*, μὴ τομήν, ἢ τροπήν, ἢ ἀλλοίωσίν τινα ἐννοήσῃς περὶ τοῦ Πνεύματος, ἀλλὰ πίστευε καθ᾽ ὃν προειρήκαμεν τρόπον, ἄτρεπτον, καὶ*

ὅπως θέλει.

116. Ὅπως ἀκριβῶς τὸ νερὸ τῆς βροχῆς, ποὺ χύνεται πάνω στὴν γῆ, παρέχει στὰ φυτὰ ποιότητα ἀντίστοιχη μὲ τὴν φύσι τους, σὲ ὅσα μὲν εἶναι γλυκά, γλυκειά, ἐνῶ σὲ ὅσα [εἶναι] πιὸ στυφά, στυφή, κατὰ τὸν ἴδιο τρόπο καὶ ἡ Χάρι, ἐνῶ ἐπέρχεται ἀναλλοίωτη στὶς καρδίες τῶν πιστῶν, χαρίζει στὶς ἀρετὲς τὶς ἐνέργειες, πού [τούς] ἁρμόζουν.

117. Σ᾽ ἐκεῖνον, ποὺ πεινᾶ γιὰ τὸν Χριστό, [ὁ Χριστός] γίνεται τροφὴ καὶ σ᾽ ἐκεῖνον ποὺ διψᾶ γλυκύτατο ποτό. Σ᾽ αὐτὸν ποὺ τρέμει [ἀπὸ τὸ κρύο, γίνεται] ἔνδυμα καὶ στὸν κουρασμένο ἀνάπαυσι. Στὸν προσευχόμενο [γίνεται] πληροφορία καὶ σ᾽ ἐκεῖνον ποὺ ἔχει πένθος, παρηγορία.

118. Ὅταν λοιπὸν ἀκούσῃς τήν [Ἁγία] Γραφὴ νὰ λέῃ ἐκ μέρους τοῦ Ἁγίου Πνεύματος, ὅτι ἐκάθισε [τὸ Ἅγιο Πνεῦμα] στὸν καθένα ἀπὸ τοὺς Ἀποστόλους ἢ ὅτι ὅρμησε πάνω στὸν Προφήτη ἢ [ὅτι] ἐνεργεῖ ἢ λυπᾶται ἢ παύει νὰ φωτίζῃ ἢ παροξύνεται· καὶ πάλι [ὅταν ἀκούσῃς] ὅτι ἄλλοι μέν, ἔχουν τὸν πρῶτο καρπό, ἄλλοι δέ [εἶναι] πλήρεις Ἁγίου Πνεύματος, μὴν ἐννοήσῃς κατάτμησι ἢ κάποια μεταβολὴ ἢ ἀλλοίωσι, ὅσον ἀφορᾶ τό [Πανάγιο] Πνεῦμα, ἀλλὰ πίστευε κατὰ τὸν τρόπο, ποὺ προαναφέραμε, [ὅτι εἶναι] Ἄτρεπτο

ἀναλλοίωτον, καὶ παντοδύναμον. Διὸ καὶ ἐν ταῖς ἐνεργείαις, καὶ μένει ὅ ἐστι, καὶ ἑκάστῳ τὸ δέον ἀποσῴζει θεοπρεπῶς. Αὐτὸ μὲν γὰρ ἡλίου δίκην ἐπὶ τοὺς βαπτισθέντας τελείως ἐκκέχυται, ἕκαστος δὲ ἡμῶν καθὸ ἂν τὰ ἐπισκοτοῦντα πάθη μισήσας περιαίρῃ, ἀναλόγως φωτίζεται. Καθὸ δὲ ἀγαπῶν αὐτὰ διαλογίζεται [recte: φαίνεται][δ], ὁμοίως σκοτίζεται.

ριθ΄. Ὁ μισῶν τὰ πάθη, περιαίρει τὰς τούτων αἰτίας. Ὁ δὲ ταῖς αἰτίαις ἐγκείμενος, ὑπὸ τῶν παθῶν καὶ μὴ βουλόμενος πολεμεῖται.

ρκ΄. Ὅταν ὑπὸ τῶν πονηρῶν λογισμῶν ἐνεργούμεθα, ἑαυτούς, καὶ μὴ πατρῴαν ἁμαρτίαν αἰτιώμεθα.

ρκα΄. Ῥίζαι τῶν λογισμῶν εἰσιν αἱ προφανεῖς κακίαι· ἃς χερσὶ καὶ ποσὶ καὶ στόματι, ἐκδικοῦμεν ἑκάστοτε.

ρκβ΄. Οὐκ ἔστι προσομιλεῖν πάθει κατὰ διάνοιαν, μὴ ἀγαπῶντα τὰς τούτου αἰτίας.

ρκγ΄. Τίς γὰρ αἰσχύνης καταφρονῶν, κενοδοξίᾳ προσομιλεῖ; Ἢ τίς ἐξουδένωσιν ἀγαπῶν, ἐπὶ ἀτιμίᾳ τα-

καὶ Ἀναλλοίωτο καὶ Παντοδύναμο. Γι᾽ αὐτὸ καὶ ὡς πρὸς τὶς ἐνέργειές [Του] καὶ παραμένει ὅποιο εἶναι καὶ στὸν καθένα ἐπιφυλάσσει τὸ πρέπον, καθὼς θέλει ὁ Θεός. Διότι Αὐτὸ μὲν δίκην ἡλίου ἔχει πλήρως χυθῆ πάνω σὲ ὅσους βαπτίσθηκαν, ἀλλὰ ὁ καθένας ἀπὸ ἐμᾶς σύμφωνα μὲ τὸ ἄν, ἀφοῦ μισήσῃ τὰ πάθη πού [τόν] σκοτίζουν, [τά] ἀφαιρέσῃ, ἀναλόγως φωτίζεται. Ὅσο ὅμως εἶναι φανερὸ ὅτι τὰ ἀγαπᾶ, καθ᾽ ὅμοιον τρόπο σκοτίζεται.

119. Ἐκεῖνος, ποὺ μισεῖ τὰ πάθη ἀπομακρύνει τὶς αἰτίες τους. Ἐκεῖνος ὅμως ποὺ βρίσκεται μέσα στὶς αἰτίες [τῶν παθῶν], πολεμεῖται καὶ χωρὶς νά [τό] θέλῃ.

120. Ὅταν ὑποκινούμεθα ἀπὸ τοὺς πονηροὺς λογισμούς, νὰ κατηγοροῦμε τοὺς ἑαυτούς [μας] καὶ ὄχι τὴν προπατορικὴ ἁμαρτία.

121. Ρίζες τῶν λογισμῶν εἶναι οἱ φανερὲς κακίες, τὶς ὁποῖες κάθε φορὰ μὲ τὰ χέρια καὶ τὰ πόδια καὶ τὰ στόματα, ἱκανοποιοῦμε.

122. Δὲν εἶναι [δυνατόν] νὰ ἀσχοληθῇσαι μὲ τὸ πάθος στὸν λογισμό [σου], ἐὰν δὲν ἀγαπᾷς τὶς αἰτίες αὐτοῦ [τοῦ πάθους].

123. Ποιὸς λοιπόν, ἐνῶ καταφρονεῖ τὴν ντροπή, ἐπιδίδεται στὴν κενοδοξία; Ἢ ποιός, ἐνῶ ἀγαπᾶ τὴν ἐξουθένωσι, ταράζεται ἐξ αἰτί-

ράσσεται; Τίς δὲ καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην[32] ἔχων, ἡδονὴν σαρκὸς παραδέχεται; Ἢ τίς Χριστῷ πιστεύων, μεριμνᾷ περὶ προσκαίρων, ἢ διαμάχεται;

ρκδ'. Ὁ ἀθετούμενος ὑπό τινος, καὶ μήτε λόγῳ, μήτε ἐννοίᾳ τῷ ἀθετοῦντι φιλονεικῶν, γνῶσιν ἀληθῆ κέκτηται, καὶ πίστιν βεβαίαν ἐπιδείκνυται τῷ Δεσπότῃ.

ρκε'. Ψευδεῖς οἱ υἱοὶ τῶν ἀνθρώπων ἐνζυγοῖς τοῦ ἀδικῆσαι[33], ἑκάστῳ τὸ δίκαιον τοῦ Θεοῦ ἀποσῴζοντος.

ρκς'. Εἰ οὔτε τῷ ἀδικοῦντί ἐστι περίσσεια, οὔτε τῷ ἀδικουμένῳ ὑστέρημα, ἐν εἰκόνι μὲν διαπορεύεται ἄνθρωπος, πλὴν μάτην ταράσσεται[34].

ρκζ'. Ὅταν ἴδῃς τινὰ ἐν πολλαῖς ἀτιμίαις ὀδυνώμενον, γίνωσκε, ὅτι λογισμοῖς κενοδοξίας ἐμφορηθείς, ἀηδῶς τῶν καρδιακῶν σπερμάτων θερίζει τὰ δράγματα.

ρκη'. Ὁ σωματικαῖς ἡδοναῖς πέρα τοῦ δέοντος ἐναπολαύσας, ἑκατονταπλασίοις πόνοις ἀποτίσει τὴν περίσσειαν.

ας τῆς ἀτιμίας; Καὶ ποιὸς ἐνῶ ἔχει καρδία ταπεινωμένη, γεμάτη συντριβή, ἐγκρίνει τὴν ἡδονὴ τῆς σαρκός; Ἢ ποιὸς ἐνῶ πιστεύει στὸν Χριστό, μεριμνᾷ γιὰ πρόσκαιρα [πράγματα] ἢ φιλονεικεῖ;

124. Ὅποιος περιφρονεῖται ἀπὸ κάποιον καὶ δὲν φιλονεικεῖ μ' ἐκεῖνον, πού [τόν] περιφρονεῖ οὔτε μὲ λόγο, οὔτε μὲ σκέψι, [αὐτός] ἔχει ἀποκτήσει ἀληθινὴ γνῶσι καὶ ἐπιδεικνύει ἀκλόνητη πίστι στὸν Δεσπότη [Χριστό].

125. Οἱ υἱοὶ τῶν ἀνθρώπων [στέκονται] μπροστὰ στὶς ζυγαριὲς ψευδόμενοι ἔχοντας σκοπὸ νὰ ἀδικήσουν [στὸ ζύγισμα], ἐνῶ ὁ Θεὸς ἐπιφυλάσσει στὸν καθένα τὸ δίκαιο.

126. Ἐὰν οὔτε σ' ἐκεῖνον ποὺ ἀδικεῖ ὑπάρχῃ περίσσευμα, οὔτε σ' ἐκεῖνον, ποὺ ἀδικεῖται ὑστέρημα, σάν [φευγαλέα] εἰκόνα πορεύεται ὁ ἄνθρωπος, πλὴν ὅμως μάταια ταράζεται.

127. Ὅταν δῇς κάποιον νὰ ὀδυνᾶται μέσα σὲ πολλὲς ἀτιμίες γνώριζε, ὅτι ἐπειδὴ κυριαρχήθηκε ἀπὸ λογισμοὺς κενοδοξίας, μὲ δυσαρέσκεια θερίζει τὰ δεμάτια ἀπὸ τὴν σπορὰ τῆς καρδίας [του].

128. Ἐκεῖνος, ποὺ ἀπήλαυσε περισσότερο ἀπὸ τὸ ἀναγκαῖο τὶς σωματικὲς ἡδονές, θὰ ξεπληρώσῃ τὸ ἐπιπλέον μὲ ἑκατονταπλάσιους πόνους.

ρκθ΄. Ὁ ἀρχικός, ὑποτακτικῷ χρεωστεῖ λέγειν τὸ ὀφειλόμενον· παρακουόμενος δέ, τὴν ἐπιφορὰν τῶν κακῶν προαγγέλλειν.

ρλ΄. Ὁ ἀδικούμενος παρά τινος, καὶ μὴ παραζητῶν τῷ ἀδικοῦντι τὸ δέον, ἐκείνῳ τῷ μέρει πιστεύει τῷ Χριστῷ, καὶ ἑκατονταπλασίονα λαμβάνει ἐν τῷ αἰῶνι τούτῳ, καὶ ζωὴν αἰώνιον κληρονομεῖ[35]*.*

ρλα΄. Μνήμη Θεοῦ ἐστι, πόνος καρδίας ὑπὲρ εὐσεβείας γινόμενος. Πᾶς δὲ ὁ ἐπιλανθανόμενος τοῦ Θεοῦ, ἡδυπαθεῖ, καὶ ἀνάλγητος γίνεται.

ρλβ΄. Μὴ λέγε, ὅτι ὁ ἀπαθής, θλίβεσθαι οὐ δύναται. Κἂν γὰρ μὴ ὑπὲρ ἑαυτοῦ, ἀλλ᾽ ὑπὲρ τοῦ πλησίον τοῦτο κεχρεώστηκεν.

ρλγ΄. Ὅταν ὁ ἐχθρὸς τῶν ἐν τῇ λήθῃ ἁμαρτημάτων πολλὰ κρατήσῃ χειρόγραφα, τότε καὶ ἐν τῇ μνήμῃ τὰ αὐτὰ ποιεῖν τὸν χρεωφειλέτην ἀναγκάζει, τῷ τῆς ἁμαρτίας νόμῳ εὐλόγως ἀποχρώμενος.

ρλδ΄. Εἰ βούλει διηνεκῶς μνημονεύειν Θεοῦ, μὴ ἀπώ-

129. Ὁ Γέροντας εἶναι ὑποχρεωμένος νὰ λέῃ στὸν ὑποτακτικό, ὅ,τι [ἐκεῖνος] ὀφείλει [νὰ κάνῃ]. Ὅταν δὲ παρακούεται, [εἶναι ὑποχρεωμένος] νά [τόν] προειδοποιῇ γιὰ τὸν ἐρχομὸ τῶν κακῶν.

130. Ἐκεῖνος, ποὺ ἀδικεῖται ἀπὸ κάποιον καὶ δὲν ἐπιζητᾶ ἀπὸ ἐκεῖνον πού [τόν] ἀδίκησε τὸ πρέπον [τὸ ὀφειλόμενο], ἐμπιστεύεται στὸν Χριστὸ γιὰ ἐκεῖνο τὸ μέρος, [ποὺ ἀδικήθηκε] καὶ λαμβάνει ἑκατονταπλάσια στὸν παρόντα χρόνο καὶ τὴν αἰώνιο ζωὴ κληρονομεῖ.

131. Μνήμη Θεοῦ εἶναι ὁ πόνος τῆς καρδίας, ποὺ προκαλεῖται χάριν τῆς εὐσεβείας. Ὅποιος λησμονεῖ ὅμως τὸν Θεὸ ζῇ μὲ ἡδυπάθεια καὶ γίνεται ἀνάλγητος [ἀναίσθητος στὸν πόνο].

132. Νὰ μὴν λές, ὅτι ἐκεῖνος ποὺ ἔφθασε στὴν ἀπάθεια δὲν δύναται νὰ θλιβῇ. Διότι, ἀκόμα κι ἂν [δὲν δύναται νὰ θλιβῇ] γιὰ τὸν ἑαυτό του, ὅμως ἔχει αὐτὸ τὸ χρέος, ὅσον ἀφορᾶ τὸν διπλανό [του].

133. Ὅταν ὁ ἐχθρός [διάβολος], ἀποκτήσῃ πολλὰ ἀποδεικτικὰ ἔγγραφα τῶν ἁμαρτημάτων [ποὺ βρίσκονται] μέσα στὴ λήθη, τότε ἐξαναγκάζει τὸν χρεοφειλέτη νὰ ἐνεργῇ [τὰ ἁμαρτήματα] καὶ μέσα στὴν μνήμη, μεταχειριζόμενος εὐλόγως τὸν νόμο τῆς ἁμαρτίας.

134. Ἐὰν θέλῃς συνεχῶς νὰ μνημονεύῃς τὸν Θεό, μὴν ἀπωθῇς

θει ὡς ἀδίκους τὰς ἐπιφοράς, ἀλλ᾿ ὡς δικαίως ἐρχομένας ὑπόμενε. Ἡ μὲν γὰρ ὑπομονή, δι᾿ ἑκάστης συμβάσεως, τὴν μνήμην ἀνακινεῖ. Ἡ δὲ παραίτησις[ε] *μειοῖ τὸ νοερὸν τῆς καρδίας φρόνημα, καὶ διὰ τῆς ἀνέσεως, τήν λήθην ἐργάζεται.*

ρλε΄. Ἐὰν θέλῃς παρὰ Κυρίου ἐπικαλυφθῆναι τὰς ἁμαρτίας σου[36]*, μὴ φανεροποιήσῃς ἀνθρώποις, ἐὰν ἔχῃς ἀρετήν. Ὁ γὰρ ἂν πράττωμεν ἐπὶ ταύταις, τοῦτο καὶ ἐπ᾿ ἐκείναις ὁ Θεὸς ἐργάζεται.*

ρλς΄. Κρύψας ἀρετήν, μὴ ἐπαίρου ὡς δικαιοσύνην ἐκτελῶν. Δικαιοσύνη γάρ ἐστιν οὐ μόνον τὸ κρύπτειν τὰ καλά, ἀλλὰ καὶ τὸ μηδὲν ἐννοεῖν τῶν ἀπηγορευμένων.

ρλζ΄. Μὴ χαῖρε, ὅταν εὖ ποιήσῃς τινί, ἀλλ᾿ ὅταν ἀμνησικάκως ὑπομείνῃς τὴν παρεπομένην ἐναντιότητα. Ὃν τρόπον γὰρ αἱ νύκτες τὰς ἡμέρας, οὕτως αἱ κακίαι τὰς εὐποιίας διαδέχονται.

ρλη΄. Κενοδοξία, καὶ φιλαργυρία, καὶ ἡδονή, ἄσπιλον

ὡς ἄδικες τὶς συμφορές, ἀλλὰ ὑπόμενε μὲ τὴν σκέψι, ὅτι δικαίως ἔρχονται. Διότι ἡ μὲν ὑπομονὴ σὲ κάθε συγκυρία, ἀνακινεῖ τὴν μνήμη [τοῦ Θεοῦ]. Ἡ δὲ χαλάρωσι [τοῦ ἀγῶνος] ἀποδυναμώνει τὴν νοερὰ λειτουργία τῆς καρδίας καὶ μέσῳ τῆς ἀνέσεως, ἀπεργάζεται τὴν λήθη [τοῦ Θεοῦ].

135. Ἐὰν θέλῃς νὰ καλυφθοῦν οἱ ἁμαρτίες σου ἀπὸ τὸν Κύριο, μὴν τὸ ἀποκαλύψῃς στοὺς ἀνθρώπους, ἐὰν ἔχῃς ἀρετή. Διότι ἐκεῖνο [δηλαδὴ ἡ συγκάλυψι], τὸ ὁποῖο ἴσως ἐπιτελοῦμε πάνω σ᾿ αὐτές [στὶς ἀρετές], αὐτὸ πάνω σ᾿ ἐκεῖνες [στὶς ἁμαρτίες] ὁ Θεὸς κατεργάζεται.

136. Ἐὰν ἀπέκρυψες ἀρετή, νὰ μὴν ὑπερηφανευθῇς ὅτι ἐπιτέλεσες δικαιοσύνη [τὴν περιεκτικὴ ἀρετή]. Διότι δικαιοσύνη δέν [εἶναι] μόνο τὸ νὰ ἀποκρύπτῃς τὰ καλά, ἀλλὰ καὶ τὸ νὰ μὴν σκέπτεσαι κανένα ἀπὸ ὅσα εἶναι ἀπαγορευμένα.

137. Νὰ μὴν χαίρεσαι, ὅταν εὐεργετήσῃς κάποιον, ἀλλὰ ὅταν χωρὶς μνησικακία ὑπομείνῃς τὴν ἐπακολουθοῦσα ἐχθρότητα. Διότι μὲ ὅποιο τρόπο οἱ νύκτες διαδέχονται τὶς ἡμέρες, κατὰ τὸν ἴδιο τρόπο οἱ κακίες [διαδέχονται] τὶς εὐεργεσίες.

138. Ἡ κενοδοξία, ἡ φιλαργυρία καὶ ἡ ἡδονή, ἐὰν προηγουμένως

εὐποιίαν διαμεῖναι οὐκ ἀφίουσι, εἰμὴ πρότερον αὗται φόβῳ Θεοῦ καταπέσωσι.

ρλθ΄. Εἰς τὰς ἀκουσίους ὀδύνας, τὸ ἔλεος τοῦ Θεοῦ ἐγκέκρυπται· τὸν ὑπομένοντα, εἰς μετάνοιαν ἕλκον, καὶ ἀπαλλάττον τῆς αἰωνίου κολάσεως.

ρμ΄. Τινὲς ἐργαζόμενοι τὰς ἐντολάς, ἐν ζυγῷ ἀντιῤῥέψαι αὐτὰς ταῖς ἁμαρτίαις ἐκδέχονται· τινὲς δὲ δι᾽ αὐτῶν, τὸν ἀποθανόντα ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν ἐξευμενίζονται. Ζητητέον, τίς αὐτῶν ἔχει ὀρθὸν τὸ φρόνημα;

ρμα΄. Γεέννης φόβος, καὶ βασιλείας ἔρως, παρέχουσι τὴν τῶν θλιβερῶν ὑπομονήν. Καὶ τοῦτο, οὐκ ἐξ ἑαυτῶν, ἀλλ᾽ ἐκ τοῦ γινώσκοντος τοὺς διαλογισμοὺς ἡμῶν[37].

ρμβ΄. Ὁ πιστεύων περὶ τῶν μελλόντων, τῶν ὧδε ἡδέων ἀδογματίστως ἀπέχεται. Ὁ δὲ ἀπιστῶν, ἡδὺς καὶ ἀνάλγητος γίνεται.

ρμγ΄. Μὴ εἴπῃς, πῶς ἡδυπαθήσει ὁ πένης, μὴ ἔχων τὰ αἴτια; Δύναται γάρ τις διὰ τῶν λογισμῶν ἀθλιωτέρως ἡδυπαθεῖν.

δὲν καταβληθοῦν ἀπὸ τὸν φόβο τοῦ Θεοῦ, δὲν ἀφήνουν τὴν ἀγαθοεργία νὰ παραμείνῃ ἀκηλίδωτη.

139. Τὸ ἔλεος τοῦ Θεοῦ βρίσκεται κρυμμένο μέσα στὶς ἀκούσιες ὀδύνες προσελκύοντας ἐκεῖνον ποὺ ὑπομένει σὲ μετάνοια καὶ ἀπαλλάσσοντάς [τον] ἀπὸ τὴν αἰώνιο κόλασι.

140. Κάποιοι καθὼς ἐργάζονται τὶς ἐντολὲς προσδοκοῦν νὰ ἀντισταθμίσουν σὲ ζυγαριὰ αὐτὲς μὲ τὶς ἁμαρτίες [τους]. Ἄλλοι δὲ μέσῳ αὐτῶν [τῶν ἐντολῶν] ἐξιλεώνουν Ἐκεῖνον, ποὺ πέθανε γιὰ τὶς ἁμαρτίες μας. Πρέπει νὰ ἀναζητηθῇ, ποιὸς ἀπ᾽ αὐτοὺς ἔχει ὀρθὸ φρόνημα;

141. Ὁ φόβος τῆς γεέννης καὶ ὁ σφοδρὸς πόθος τῆς Βασιλείας παρέχουν τὴν ὑπομονὴ στὶς θλίψεις. Καὶ αὐτό, ὄχι ἀπὸ τοὺς ἑαυτούς τους ἀλλὰ ἀπὸ Ἐκεῖνον, ποὺ γνωρίζει τοὺς συλλογισμούς μας.

142. Ἐκεῖνος ποὺ πιστεύει σχετικὰ μ᾽ ὅσα θὰ γίνουν στὸ μέλλον, κρατιέται μακριὰ ἀπὸ τὰ ἐδῶ εὐχάριστα, ἀνεξάρτητα ἀπὸ κανόνες. Ἐκεῖνος ὅμως ποὺ δὲν πιστεύει, γίνεται ἡδονικὸς καὶ ἀνάλγητος.

143. Νὰ μὴν πῇς, πῶς θὰ ζήσῃ ἡδυπαθῶς ὁ πτωχός, ἀφοῦ δὲν διαθέτει τίς [ὑλικές] προϋποθέσεις [τῶν σαρκικῶν παθῶν]; Διότι δύναται κανεὶς νὰ παραδοθῇ στὶς ἡδονές, μέσῳ τῶν λογισμῶν του, μὲ ἀθλιώτερο τρόπο.

ρμδ'. Ἕτερόν ἐστι γνῶσις πραγμάτων, καὶ ἕτερον ἀληθείας ἐπίγνωσις. Καθόσον διαφέρει τῆς σελήνης ὁ ἥλιος, κατὰ τοσοῦτον τῆς προτέρας ἡ δευτέρα ὠφελιμωτέρα τυγχάνει.

ρμε'. Ἡ τῶν πραγμάτων γνῶσις, κατὰ ἀναλογίαν τῆς ἐργασίας τῶν ἐντολῶν προσγίνεται· ἡ δὲ τῆς ἀληθείας ἐπίγνωσις, κατὰ τὸ μέτρον τῆς εἰς Χριστὸν ἐλπίδος.

ρμς'. Εἰ θέλεις σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν[38]*, πειρῶ πάντοτε ὑπερβαίνειν τὰ αἰσθητά, καὶ διὰ μόνης ἐλπίδος κολλᾶσθαι τῷ Θεῷ. Οὕτως γὰρ ἀκοντὶ μὲν παρατρεπόμενος, εὑρήσεις ἀρχάς, καὶ ἐξουσίας διὰ τῶν προσβολῶν πολεμούσας σοι· ταύτας δὲ διὰ προσευχῆς νικῶν, καὶ μένων εὔελπις, ἕξεις τὴν τοῦ Θεοῦ χάριν, τῆς μελλούσης ὀργῆς ῥυομένην σε.*

ρμζ'. Ὁ συνιὼν τὸ ὑπὸ τοῦ Ἁγίου Παύλου μυστικῶς εἰρημένον, τὴν πάλην πρὸς τὰ πνευματικὰ τῆς πονηρίας εἶναι φήσαντος[39]*, γνώσεται καὶ τὴν παραβολὴν τοῦ Κυρίου, ἣν ἔλεγε πρὸς*

144. Ἄλλο εἶναι ἡ γνῶσι τῶν πραγμάτων καὶ ἄλλο ἡ ἐπίγνωσι τῆς ἀληθείας. Ὅσο διαφέρει ἡ σελήνη ἀπὸ τὸν ἥλιο, μὲ τόση πολλὴ μεγάλη [διαφορά] ἡ πρώτη βρίσκεται πιὸ ὠφέλιμη ἀπὸ τὴν δεύτερη.

145. Ἡ γνῶσι τῶν πραγμάτων ἐπέρχεται ἀνάλογα μὲ τὴν ἐργασία τῶν ἐντολῶν. Ἡ δὲ ἐπίγνωσι τῆς ἀληθείας ἀνάλογα μὲ τὸ μέτρο τῆς ἐλπίδος στὸν Χριστό.

146. Ἐὰν θέλῃς νὰ σωθῇς καὶ νὰ φθάσῃς στὴν ἐπίγνωσι τῆς ἀληθείας προσπάθησε πάντοτε νὰ ὑπερβαίνῃς τὰ αἰσθητὰ καὶ μόνον μέσῳ τῆς ἐλπίδος νὰ προσκολλᾶσαι στὸν Θεό. Διότι ἔτσι, ἐὰν παρασυρθῇς χωρὶς νὰ τὸ θέλῃς, θὰ συναντήσῃς μὲν δαιμονικὲς παρατάξεις νὰ σὲ πολεμοῦν μὲ προσβολές [λογισμῶν]. Ἐὰν ὅμως τὶς νικήσῃς μὲ τὴν προσευχὴ καὶ παραμείνῃς γεμάτος ἐλπίδα [πρὸς τὸν Θεό], θὰ ἀποκτήσῃς τὴν Χάρι τοῦ Θεοῦ, ἡ ὁποία θὰ σὲ λυτρώσῃ ἀπὸ τὴν μελλοντικὴ ὀργή.

147. Ἐκεῖνος ποὺ ἀντελήφθη αὐτὸ ποὺ ἔχει εἰπωθῆ ἀπὸ τὸν Ἅγιο [Ἀπόστολο] Παῦλο μὲ μυστικὸ τρόπο, ὅταν εἶπε ὅτι ὁ ἀγώνας εἶναι ἐναντίον τῶν πνευματικῶν [δυνάμεων] τῆς πονηρίας [τῶν δαιμόνων], [αὐτός] θὰ ἀντιληφθῇ καὶ τὴν παραβολὴ τοῦ Κυρίου, τὴν ὁποία ἔλεγε σχετικὰ μὲ

τὸ δεῖν πάντοτε προσεύχεσθαι, καὶ μὴ ἐκκακεῖν[40].

ρμη΄. Ὁ νόμος τυπικῶς ἓξ ἡμέρας ἐργάζεσθαι, τῇ δὲ ἑβδόμῃ σχολάζειν παρακελεύεται[41]*. Διότι ψυχῆς ἔργον ἐστὶν ἡ διὰ χρημάτων, ἤτοι πραγμάτων εὐποιία. Σχολὴ δὲ αὐτῆς καὶ κατάπαυσις, τὸ πωλῆσαι πάντα καὶ δοῦναι πτωχοῖς, κατὰ τὸν λόγον τοῦ Κυρίου*[42]*, καὶ διὰ τῆς ἀκτημοσύνης καταπαύσαντα, τῇ νοερᾷ σχολάζειν ἐλπίδι. Εἰς ταύτην οὖν τὴν κατάπαυσιν, καὶ ὁ Παῦλος, μετὰ σπουδῆς ἡμᾶς εἰσελθεῖν προτρέπεται, λέγων· σπουδάσωμεν εἰσελθεῖν εἰς ἐκείνην τὴν κατάπαυσιν*[43].

ρμθ΄. Ταῦτα δὲ εἰρήκαμεν, οὐκ ἀποκλείοντες τὰ μέλλοντα· οὔτε ὧδε τὴν καθολικὴν ἀνταπόδοσιν εἶναι ὁρίζοντες· ἀλλ᾽ ὅτι χρὴ πρῶτον ἐν τῇ καρδίᾳ, ἐνεργοῦσαν ἔχειν τὴν χάριν τοῦ Ἁγίου Πνεύματος, καὶ οὕτω κατὰ ἀναλογίαν εἰσελθεῖν εἰς τὴν Βασιλείαν τῶν Οὐρανῶν. Τοῦτο φανεροποιῶν καὶ ὁ Κύριος ἔλεγεν· ἡ βασιλεία τῶν οὐρανῶν ἐν-

τὸ ὅτι πρέπει πάντοτε νὰ προσευχώμεθα καὶ νὰ μὴν ἀποκάνουμε [στὴν προσευχή].

148. Ὁ [θεῖος] νόμος προστάζει νὰ ἐργαζώμεθα ἕξι ἡμέρες, ἀλλὰ τὴν ἑβδόμη νὰ ἀναπαυώμεθα, καθ᾽ ὅτι τὸ ἔργο τῆς ψυχῆς εἶναι ἡ ἀγαθοεργία μέσῳ τῆς περιουσίας, δηλαδὴ τῶν [διαφόρων ὑλικῶν] πραγμάτων. Ἀνάπαυσι δὲ αὐτῆς [τῆς ἀγαθοεργίας] καὶ ὁριστικὴ παῦσι [της εἶναι] τὸ νὰ πουλήσῃς τὰ πάντα καὶ νά [τά] δώσῃς στοὺς πτωχούς, σύμφωνα μὲ τὸν λόγο τοῦ Κυρίου καί, ἀφοῦ μέσῳ τῆς ἀκτημοσύνης καταπαύσῃς, νὰ ἀναπαύεσαι στὴ νοερὰ ἐλπίδα [στὴν εὐχὴ τοῦ Ἰησοῦ]. Σ᾽ αὐτὴ λοιπὸν τὴν κατάπαυσι καὶ ὁ [Ἀπόστολος] Παῦλος μᾶς προτρέπει μὲ ζῆλο νὰ εἰσέλθουμε, λέγοντας: «Ἄς ἐπιδιώξουμε μὲ ζῆλο νὰ εἰσέλθουμε σ᾽ ἐκείνη τὴν κατάπαυσι».

149. Αὐτὰ βέβαια [τά] εἴπαμε, χωρὶς νὰ ἀποκλείσουμε ὅσα θὰ γίνουν στὸ μέλλον, οὔτε γιὰ νὰ καθορίσουμε, ὅτι ἡ γενικὴ ἀνταπόδοσι εἶναι ἐδῶ [στὸν παρόντα χῶρο καὶ χρόνο], ἀλλὰ ὅτι πρέπει πρῶτα νὰ ἔχῃ [κανείς] τὴν Χάρι τοῦ Ἁγίου Πνεύματος ἐνεργὸ μέσα στὴν καρδία [του] καὶ μ᾽ αὐτὸν τὸν τρόπο κατ᾽ ἀναλογίαν νὰ εἰσέλθῃ στὴν Βασιλεία τῶν Οὐρανῶν. Αὐτὸ κάνοντας φανερὸ καὶ ὁ Κύριος ἔλεγε: «Ἡ Βασιλεία τῶν Οὐρανῶν βρί-

τὸς ὑμῶν ἐστιν[44]. Τοῦτο καὶ ὁ Ἀπόστολος ἔλεγεν· ἔστι πίστις ἐλπιζομένων ὑπόστασις[45]· καὶ πάλιν· οὕτω τρέχετε, ἵνα καταλάβητε[46]· καὶ πάλιν· δοκιμάζετε ἑαυτούς, εἰ ἐστὲ ἐν τῇ πίστει· ἢ οὐκ ἐπιγινώσκετε, ὅτι Ἰησοῦς Χριστὸς οἰκεῖ ἐν ὑμῖν; εἰμήτοι ἄρα ἀδόκιμοί ἐστε[47].

ρν΄. Ὁ ἀλήθειαν ἐπεγνωκώς, ταῖς θλιβεραῖς ἐπιφοραῖς οὐκ ἀντιτάσσεται. Οἶδε γὰρ ὅτι εἰς φόβον Θεοῦ ὁδηγοῦσι τὸν ἄνθρωπον.

ρνα΄. Αἱ πάλαι ἁμαρτίαι κατ᾽ εἶδος μνημονευθεῖσαι, βλάπτουσι τὸν εὔελπιν. Μετὰ λύπης μὲν γὰρ ἀναδοθεῖσαι, τῆς ἐλπίδος ἀφιστῶσιν· ἀλύπως δὲ ἐξεικονισθεῖσαι, τὸν παλαιὸν μολυσμὸν ἐναποτίθενται.

ρνβ΄. Ὅταν ὁ νοῦς δι᾽ ἀπαρνήσεως ἑαυτοῦ κρατήσῃ τὴν μονολόγιστον ἐλπίδα, τότε ὁ ἐχθρὸς προφάσει ἐξομολογήσεως, τὰ προγεγενημένα κακὰ ἐξεικονίζει· ἵνα τὰ χάριτι Θεοῦ ἐπιλησθέντα πάθη, ἀναζωπυρήσῃ, καὶ λεληθότως ἀδικήσῃ τὸν ἄνθρωπον. Τότε γὰρ καὶ σφοδρός[στ], καὶ μισοπαθὴς ὑ-

σκεται ἐντός σας». Αὐτὸ καὶ ὁ Ἀπόστολος ἔλεγε: «Ὑπάρχει πίστι, [ἡ ὁποία εἶναι] πραγματικὴ ὕπαρξι ὅσων ἐλπίζονται». Καὶ πάλι [λέει]: «Κατ᾽ αὐτὸν τὸν τρόπο τρέχετε, γιὰ νὰ κερδίσετε». Καὶ πάλι [ὁ Ἀπόστολος λέει]: «Δοκιμάζετε τοὺς ἑαυτούς σας, ἐὰν βρίσκεστε στὴν πίστι. Ἢ μήπως δὲν ἀντιλαμβάνεστε ὅτι ὁ Χριστὸς κατοικεῖ μέσα σας; Ἐκτὸς ἂν εἶστε πράγματι ἄξιοι ἀποδοκιμασίας».

150. Ἐκεῖνος ποὺ ἔχει ἀποκτήσει συνείδησι τῆς ἀληθείας, δὲν ἀντιτάσσεται στὶς συμφορὲς ποὺ προξενοῦν θλῖψι. Διότι γνωρίζει, ὅτι ὁδηγοῦν τὸν ἄνθρωπο στὸν φόβο τοῦ Θεοῦ.

151. Οἱ παλαιὲς ἁμαρτίες, ἐὰν μνημονευθοῦν μὲ τὸ εἶδος [τους] βλάπτουν ἐκεῖνον ποὺ εἶναι γεμάτος ἐλπίδα [πρὸς τὸν Θεό]. Διότι ἐὰν μὲν ἀναφυοῦν [στὴν μνήμη] μαζὶ μὲ τὸ αἴσθημα τῆς λύπης, στέκουν μακριὰ ἀπὸ τὴν ἐλπίδα[2]. Ἐὰν ὅμως ἐξεικονιστοῦν [στὸν νοῦ] χωρὶς τὸ αἴσθημα τῆς λύπης, ἐναποθέτουν [στὸν νοῦ] τὸν παλαιὸ μολυσμό.

152. Ὅταν ὁ νοῦς μὲ τὴν ἀπάρνησι τοῦ ἑαυτοῦ [του] ἀποκτήσῃ τὴν μονολόγιστη ἐλπίδα [τὴν εὐχὴ τοῦ Ἰησοῦ], τότε ὁ ἐχθρὸς μὲ πρόφασι τὴν ἐξομολόγησι, ἐξεικονίζει [στὸν νοῦ] τὰ κακὰ ποὺ ἔχουν γίνει στὸ παρελθόν, μὲ σκοπὸ τὰ πάθη, τὰ ὁποῖα μὲ τὴν Χάρι τοῦ Θεοῦ λησμονήθηκαν νά [τά] ἀναζωπυρώσῃ καὶ ἀσυναισθήτως νὰ ἀδικήσῃ τὸν ἄνθρωπο. Διότι τότε καὶ ἐὰν εἶναι καθαρὸς καὶ μισῇ τὰ πάθη,

πάρχων, ἐξ ἀνάγκης σκοτισθήσεται, συγχυσθεὶς ἐπὶ τοῖς πεπραγμένοις· κἂν ὁμιχλώδης ἔτι καὶ φιλήδονος εἴη, συγχρονίσει πάντως, καὶ ἐμπαθῶς προσομιλήσει ταῖς προσβολαῖς, ὡς πρόληψιν εὑρεθῆναι τὴν τοιαύτην μνήμην, καὶ οὐκ ἐξομολόγησιν.

ρνγ΄. Ἐὰν θέλῃς Θεῷ προσφέρειν ἐξομολόγησιν ἀκατάκριτον, μὴ μνημόνευε κατ᾽ εἶδος τὰς παρατροπάς, ἀλλ᾽ ὑπόμενε γενναίως τὰς τούτων ἐπαγωγάς.

ρνδ΄. Τὰ ἀνιαρά, διὰ τὰς προγεγενημένας ἁμαρτίας ἐπέρχονται, πάσης πλημμελείας τὸ προσφυὲς ἐπικομίζοντα.

ρνε΄. Ὁ γνωστικὸς καὶ ὁ εἰδὼς τὴν ἀλήθειαν, οὐ διὰ μνήμης τῶν πραχθέντων, ἀλλὰ δι᾽ ὑπομονῆς τῶν ἐπερχομένων, ἐξομολογεῖται τῷ Θεῷ.

ρνς΄. Ἀποβαλὼν πόνον, καὶ ἀτιμίαν, μὴ ἐπαγγέλλου δι᾽ ἄλλων ἀρετῶν μετανοεῖν. Κενοδοξία γὰρ καὶ ἀναλγησία δουλεύειν τῇ ἁμαρτίᾳ καὶ διὰ τῶν δεξιῶν πεφύκασι.

ἀναγκαστικὰ θὰ σκοτισθῇ ἐπειδὴ ταράχθηκε ἐξ αἰτίας ἐκείνων ποὺ ἔχουν γίνει [στὸ παρελθόν]. Καὶ ἐὰν εἶναι ἀκόμα μέσα στὴν ὁμίχλη [τῶν παθῶν] καὶ φιλήδονος, θὰ συντονιστῇ ὁπωσδήποτε μὲ τὶς προσβολές [τῶν δαιμόνων] καὶ θὰ ἀσχοληθῇ μὲ ἐμπάθεια γιὰ νὰ ἀποκτήσῃ [τελικά] αὐτοῦ τοῦ εἴδους τὴν μνήμη ὡς πρόληψι [μνήμη τῶν προγενεστέρων κακῶν] καὶ ὄχι [ὡς] ἐξομολόγησι.

153. Ἐὰν θέλῃς νὰ προσφέρῃς ἀκατάκριτη ἐξομολόγησι στὸν Θεό, νὰ μὴν μνημονεύῃς μὲ τὸ εἶδος [τους] τὶς πτώσεις [σου], ἀλλὰ ὑπέμεινε μὲ γενναιότητα τὶς ἐπιπτώσεις τους.

154. Τὰ δυσάρεστα ἐπέρχονται ἐξ αἰτίας τῶν ἁμαρτιῶν, ποὺ ἔχουν γίνει στὸ παρελθόν, φέρνοντας ἐπιπλέον ὅ,τι εἶναι ἁρμόδιο γιὰ τὸ κάθε σφάλμα.

155. Ἐκεῖνος ποὺ ἔχει [πνευματική] γνῶσι καὶ κατέχει τὴν ἀλήθεια, δὲν ἐξομολογεῖται στὸν Θεὸ μὲ τὴν ἐνθύμησι ὅσων ἔγιναν, ἀλλὰ μὲ τὴν ὑπομονὴ σὲ ὅσα πρόκειται νὰ ἐπέλθουν.

156. Ἐὰν ἀπέρριψες τὸν κόπο καὶ τὴν ἀτιμία, ἂς μὴν ἐλπίζῃς νὰ μετανοήσῃς μέσῳ ἄλλων ἀρετῶν. Διότι ἡ κενοδοξία καὶ ἡ ἀναλγησία ἔχουν ἀπὸ τὴν φύσι [τους τὴν ἰδιότητα] νὰ ὑπηρετοῦν τὴν ἁμαρτία καὶ μέσῳ ὀρθῶν πραγμάτων.

ρνζ΄. Ὥς περ γὰρ τὰς ἀρετὰς πόνοι καὶ ἀτιμίαι, οὕτω καὶ τὰς κακίας ἡδοναὶ καὶ κενοδοξίαι τίκτειν εἰώθασι.

ρνη΄. Πᾶσα σωματικὴ ἡδονή, ἐκ προλαβούσης ἐστὶν ἀνέσεως. Ἄνεσιν δὲ γεννᾷ ἀπιστία.

ρνθ΄. Ὁ ὢν ὑπὸ ἁμαρτίαν, οὐ δύναται μόνος περιγενέσθαι τοῦ σαρκικοῦ φρονήματος. Διότι τὸν ἐρεθισμὸν ἄπαυστον καὶ ἐγκείμενον ἔχει τοῖς μέλεσιν.

ρξ΄. Ἐμπαθεῖς ὄντας, προσεύχεσθαι δεῖ, καὶ ὑποτάσσεσθαι. Μόλις γάρ ἐστι μετὰ βοηθείας πολεμῆσαι ταῖς προλήψεσιν.

ρξα΄. Ὁ μετὰ ὑποταγῆς, καὶ προσευχῆς πυκτεύων τῷ θελήματι, ἀθλητής ἐστιν εὐμέθοδος˙ τὴν νοητὴν πάλην διὰ τῆς τῶν αἰσθητῶν ἀποχῆς προφανῶς ἐπιδεικνύμενος.

ρξβ΄. Ὁ μὴ συναλλάσσων τῷ Θεῷ τὸ ἑαυτοῦ θέλημα, ὑποσκελίζεται ἐν τοῖς ἰδίοις ἐπιτηδεύμασι, καὶ ὑποχείριος τῶν ἀντιπάλων γίνεται.

ρξγ΄. Ὅταν ἴδῃς δύο κα-

157. Διότι, ὅπως ἀκριβῶς οἱ κόποι καὶ οἱ ἀτιμίες συνηθίζουν νὰ γεννοῦν τὶς ἀρετές, κατὰ τὸν ἴδιο τρόπο καὶ οἱ ἡδονὲς καὶ οἱ κενοδοξίες [συνηθίζουν νὰ γεννοῦν] τὶς κακίες.

158. Κάθε σωματικὴ ἡδονὴ ὑφίσταται ἐξ αἰτίας τῆς χαλάρωσης, ποὺ εἶχε προηγηθῆ. Ἡ ἀπιστία δὲ γεννᾶ τὴν χαλάρωσι.

159. Ἐκεῖνος ποὺ βρίσκεται κάτω ἀπὸ τὴν ἐξουσία τῆς ἁμαρτίας δὲν μπορεῖ νὰ ὑπερνικήσῃ μόνος [του] τὸ σαρκικὸ φρόνημα. Διότι ἔχει τὴν πρόκλησι ἀκατάπαυστη καὶ ἐνυπάρχουσα μέσα στὰ μέλη [του].

160. Ἐπειδὴ εἴμαστε ἐμπαθεῖς πρέπει νὰ προσευχώμεθα καὶ νὰ ὑποτασσώμεθα. Διότι μαζὶ μὲ τὴν βοήθεια [τοῦ Γέροντος], μόλις εἶναι [δυνατόν] νὰ πολεμήσουμε ἐναντίον τῶν προλήψεων [τῶν ἐνθυμήσεων δηλαδὴ τῶν προγενεστέρων κακῶν].

161. Ἐκεῖνος ποὺ πυγμαχεῖ ἐναντίον τοῦ θελήματός [του] μὲ ὑπακοὴ καὶ προσευχή, εἶναι μεθοδικὸς ἀθλητής, ἐπειδὴ διεξέρχεται τὴν πάλη τοῦ νοῦ, ὁλοφάνερα μέσῳ τῆς ἀποχῆς ἀπὸ τὰ αἰσθητά.

162. Ἐκεῖνος, ποὺ δὲν ἀνταλλάσσει τὸ θέλημά του μέ [τὸ θέλημα] τοῦ Θεοῦ, ἀνατρέπεται μέσῳ τῶν ἔργων του καὶ γίνεται ὑποχείριος τῶν ἀντιπάλων [δαιμόνων].

163. Ὅταν δῇς δύο κακούς [ἀν-

κούς, ἔχοντας πρὸς ἀλλήλους ἀγάπην, γίνωσκε ὅτι ἕτερος τῷ ἑτέρῳ συνεργεῖ πρὸς τὸ θέλημα.

ρξδʹ. Ὑψηλόφρων καὶ κενόδοξος, ἡδέως ἀλλήλοις συναλλάσσουσιν· ὁ μὲν γὰρ δουλικῶς ὑποπίπτοντα, ἐπαινεῖ τὸν κενόδοξον· ὁ δὲ συνεχῶς ἐπαινοῦντα, μεγαλύνει τὸν ὑψηλόφρονα.

ρξεʹ. Φιλόθεος ἀκροατής, ἀμφοτέρων πορίζεται τὴν ὠφέλειαν· ἐπὶ μὲν τοῖς ἀγαθοῖς μαρτυρούμενος, προθυμότερος γίνεται· ἐπὶ δὲ τοῖς κακοῖς ἐλεγχόμενος, μετανοεῖν ἀναγκάζεται. Δεῖ δὲ ἡμᾶς κατὰ τὴν προκοπήν, καὶ τὸν βίον ἔχειν· καὶ κατὰ τὸν βίον, ὀφείλομεν τῷ Θεῷ τὰς προσευχὰς ἀναφέρειν.

ρξϛʹ. Καλὸν μὲν τὴν κεφαλαιωδεστέραν κρατεῖν ἐντολήν, καὶ μηδὲν κατ᾽ εἶδος μεριμνᾷν, μηδὲ κατ᾽ εἶδος προσεύχεσθαι, ἀλλὰ μόνον ζητεῖν τὴν Βασιλείαν, καὶ τὸν λόγον τοῦ Θεοῦ[48]*. Εἰδὲ περὶ ἑκάστης χρείας ἔτι φροντίζομεν, ὀφείλομεν καὶ περὶ ἑκάστης προσεύχεσθαι. Ὁ γὰρ ἐκτὸς προσευ-*

θρώπους] νὰ ἔχουν μεταξύ τους ἀγάπη, γνώριζε ὅτι ὁ καθένας ἀπὸ τοὺς δύο ἐνεργεῖ, σύμφωνα μὲ τὸ θέλημα τοῦ ἄλλου.

164. Ὁ ὑψηλόφρων καὶ ὁ κενόδοξος εὐχαρίστως μεταξύ τους συνδέονται. Διότι ὁ μέν [ὑψηλόφρων], ὅταν ὁ κενόδοξος [τόν] προσκυνᾷ δουλικῶς, [ἐκεῖνος τόν] ἐπαινεῖ, ὁ δέ [κενόδοξος], ὅταν ὁ ὑψηλόφρων συνεχῶς [τόν] ἐπαινῇ, [ἐκεῖνος τόν] μεγαλοποιεῖ.

165. Ὁ φιλόθεος ἀκροατὴς ἀποκομίζει τὴν ὠφέλεια καὶ ἀπὸ τὰ δύο [εἴδη ἀκουσμάτων]. Ὅταν ἐπιδοκιμάζεται ἀπὸ τὰ ἀγαθά [ἀκούσματα] γίνεται προθυμότερος [στὸν πνευματικὸ ἀγῶνα]. Ὅταν δὲ ἐλέγχεται ἀπὸ τὰ κακά [ἀκούσματα], ἀναγκάζεται νὰ μετανοῇ. Πρέπει λοιπὸν ἐμεῖς σύμφωνα μὲ τήν [πνευματική μας] πρόοδο νὰ ἔχουμε καὶ τὴν ἀσκητική [μας] πρᾶξι καὶ σύμφωνα μὲ τὴν ἀσκητική [μας] πρᾶξι ὀφείλουμε νὰ ἀναπέμπουμε προσευχὲς στὸν Θεό.

166. Καλὸ βέβαια [εἶναι] νὰ φυλάσσωμε τὴν πλέον κυρία ἐντολή [τὴν ἀγάπη τοῦ Θεοῦ] καὶ νὰ μὴν μεριμνοῦμε γιὰ τὴν κάθε εἰδικὴ περίπτωσι, οὔτε νὰ προσευχώμεθα γιὰ τὴν κάθε εἰδικὴ περίπτωσι, ἀλλὰ μόνο νὰ ἐπιζητοῦμε τὴν Βασιλεία καὶ τὸν λόγο τοῦ Θεοῦ. Ἐὰν ὅμως ἀκόμα μεριμνοῦμε γιὰ κάθε ἀνάγκη, ὀφείλουμε νὰ προσευχώμεθα καὶ γιὰ κάθε [ἀνάγκη]. Διότι ἐκεῖνος ποὺ κάνει ἢ φροντίζει κά-

χῆς τι ποιῶν, ἢ φροντίζων, οὐκ εὐοδοῦται ἐπὶ τῷ τέλει τοῦ πράγματος. Καὶ τοῦτό ἐστιν ὃ εἶπεν ὁ Κύριος· οὐ δύνασθε χωρὶς ἐμοῦ ποιεῖν οὐδέν[49].

ρξζ΄. Τὸν παραλογιζόμενον τὴν περὶ προσευχῆς ἐντολήν, ἀτοπώτεραι παρακοαὶ διαδέχονται, ἑτέρα τῇ ἑτέρᾳ καθάπερ δέσμιον παραπέμπουσαι.

ρξη΄. Ὁ τὰ ἐνεστῶτα θλιβερὰ προσδοκίᾳ τῶν μελλόντων ἀγαθῶν προσδεχόμενος, γνῶσιν ἀληθείας εὗρηκε· καὶ ὀργῆς καὶ λύπης ῥᾳδίως ἀπαλλαγήσεται.

ρξθ΄. Ὁ κακουχίαν καὶ ἀτιμίαν ὑπὲρ ἀληθείας αἱρούμενος, ἀποστολικὴν ὁδὸν πορεύεται, τὸν σταυρὸν ἄρας καὶ τὴν ἅλυσιν περικείμενος[50]*. Ὁ δὲ ἐκτὸς τούτων τῇ καρδίᾳ προσέχειν πειρώμενος, πλανᾶται κατὰ νοῦν, καὶ ἐμπίπτει εἰς πειρασμοὺς καὶ παγίδας τοῦ διαβόλου*[51].

ρο΄. Οὔτε τοὺς κακοὺς λογισμοὺς ἐκτὸς τῶν αἰτιῶν, οὔτε τὰς αἰτίας ἐκτὸς τῶν λογισμῶν, ἐστὶ πολεμοῦντα νικῆσαί ποτε. Ὅταν γὰρ τὸ ἓν μονομερῶς ἀποβάλω-

τι χωρὶς προσευχὴ δὲν ὁδηγεῖται σὲ καλὸ ἀποτέλεσμα σύμφωνα μὲ τὸν σκοπὸ τοῦ πράγματος. Καὶ αὐτὸ εἶναι ἐκεῖνο, τὸ ὁποῖο εἶπε ὁ Κύριος: «Χωρὶς ἐμένα δὲν μπορεῖτε νὰ κάνετε τίποτα».

167. Ἐκεῖνον, ποὺ καταφρονεῖ τὴν ἐντολὴ σχετικὰ μὲ τὴν προσευχή, τὸν ἀκολουθοῦν [καὶ ἄλλες] πιὸ σκανδαλώδεις παρακοές, οἱ ὁποῖες σὰν αἰχμάλωτο τὸν ἀποστέλλουν ἡ μία στὴν ἄλλη.

168. Ἐκεῖνος, ποὺ ἀποδέχεται τὰ παρόντα θλιβερά [γεγονότα] μὲ τὴν προσδοκία τῶν μελλοντικῶν ἀγαθῶν, βρῆκε τὴν γνῶσι τῆς ἀληθείας καὶ θὰ ἀπαλλαγῇ εὔκολα ἀπὸ τὴν ὀργὴ καὶ τὴν λύπη.

169. Ἐκεῖνος, ποὺ ἐπιλέγει τὴν κακουχία καὶ τὴν ἀτιμία γιὰ χάρι τῆς ἀληθείας, σηκώνοντας τὸν σταυρὸ καὶ φορώντας τὴν ἁλυσίδα, βαδίζει τὴν ἀποστολικὴ ὁδό. Ἐκεῖνος ὅμως ποὺ προσπαθεῖ νὰ ἔχῃ στραμμένη τὴν προσοχὴ στὴν καρδία [του] χωρὶς αὐτά, πλανᾶται ὡς πρὸς τὸν νοῦ του καὶ πέφτει στοὺς πειρασμοὺς καὶ τὶς παγίδες τοῦ διαβόλου.

170. Ἐκεῖνος, ποὺ ἀγωνίζεται, δὲν εἶναι ποτέ [δυνατόν], οὔτε τοὺς κακοὺς λογισμοὺς νὰ νικήσῃ, χωρὶς [νὰ νικήσῃ] τὶς αἰτίες τους, οὔτε [νὰ νικήσῃ] τὶς αἰτίες χωρὶς τοὺς λογισμούς [τους]. Διότι ὅταν ἕνα [ἀπὸ τὰ δύο τό] ἀποβάλ-

μεν, μετ᾽ οὐ πολὺ διὰ τοῦ ἑτέρου τοῖς ἀμφοτέροις ἐμφερόμεθα.

ροα΄. Ὁ φόβῳ κακοπαθείας, καὶ ὀνειδισμοῦ τοῖς ἀνθρώποις μαχόμενος, ἢ ὧδε δι᾽ ἐπιφορῶν περισσοτέρως κακοπαθεῖ, ἢ ἐν τῷ μέλλοντι αἰῶνι, ἀνηλεῶς κολάζεται.

ροβ΄. Ὁ πᾶσαν κακὴν ἐπιφορὰν ἀποκλεῖσαι βουλόμενος, ὀφείλει διὰ προσευχῆς συναλλάσσειν τῷ Θεῷ τὰ πράγματα· καὶ κρατεῖν μὲν νοερῶς τὴν εἰς αὐτὸν ἐλπίδα, τὴν δὲ φροντίδα τῶν αἰσθητῶν, κατὰ δύναμιν παραλογίζεσθαι.

ρογ΄. Ὅταν εὕρῃ ὁ διάβολος ἐκτὸς ἀνάγκης ἄνθρωπον τοῖς σωματικοῖς ἐνασχολούμενον, πρότερον ἁρπάζει τὰ τῆς γνώσεως λάφυρα· εἶθ᾽ οὕτω, τὴν εἰς Θεὸν ἐλπίδα, ὡς κεφαλήν, ἀποτέμνει.

ροδ΄. Εἴ ποτε λάβῃς καθαρᾶς προσευχῆς ὀχυρὸν τόπον[ς]*, τὴν γνῶσιν τῶν πραγμάτων ἀναδιδομένων ὑπὸ τοῦ ἐχθροῦ ἐν τῷ καιρῷ μὴ καταδέχου, ἵνα μὴ τὸ μεῖζον ἀπολέσῃς. Κρεῖσσον γὰρ*

λουμε μονομερῶς, ὄχι μετὰ ἀπὸ πολὺ χρονικὸ διάστημα, μέσῳ τοῦ ἄλλου ἀποδεχόμεθα καὶ τὰ δύο.

171. Ἐκεῖνος, ποὺ ἐναντιώνεται στοὺς ἀνθρώπους ἀπὸ φόβο γιὰ τὴν κακοπάθεια καὶ τὸν ὀνειδισμό, εἴτε ἐδῶ [στὸν παρόντα χῶρο καὶ χρόνο] μὲ συμφορὲς περισσότερο κακοπαθεῖ, εἴτε στὸν μέλλοντα αἰῶνα ἀνελέητα τιμωρεῖται.

172. Ἐκεῖνος, ποὺ ἐπιθυμεῖ νὰ ἀποκλείσῃ κάθε ἐπερχόμενο κακό [γεγονός], ὀφείλει διὰ προσευχῆς νὰ ἀναθέσῃ τὰ πράγματα στὸν Θεό. Καὶ νὰ κρατᾷ μὲν νοερῶς τὴν ἐλπίδα [του] σ᾽ Ἐκεῖνον, τὴν δὲ φροντίδα γιὰ τὰ ὑλικά, κατὰ τὴν δύναμί [του], νὰ τὴν καταφρονῇ.

173. Ὅταν ὁ διάβολος βρῇ τὸν ἄνθρωπο νὰ ἀσχολῆται μὲ τὰ σωματικὰ χωρὶς νὰ ὑπάρχῃ ἀνάγκη, πιὸ πρὶν ἁρπάζει ὡς λάφυρα [τοὺς θησαυρούς] τῆς γνώσεως. Κατόπιν μ᾽ αὐτὸν τὸν τρόπο ἀποκόπτει τὴν ἐλπίδα στὸν Θεό, ὡς [νὰ ἀποτέμνῃ] τὸ κεφάλι [τοῦ ἀνθρώπου].

174. Ἐὰν βρεθῇς κάποτε σὲ σταθερὴ κατάστασι καθαρᾶς προσευχῆς, ἐκείνη τὴν ὥρα, ἂς μὴν ἀποδεχθῇς ἀπὸ τὸν ἐχθρὸ τὴν γνῶσι τῶν πραγμάτων – [γνώσεις, λύσεις, ἐμπνεύσεις, διεξόδους διαφόρων προβλημάτων καὶ καταστάσεων] – τὰ ὁποῖα προσφέρονται ἀπὸ τὸν ἐχθρό [διάβολο, ἐπειδὴ θέλει νὰ διακόψῃ τὸ ὑψηλὸ ἔργο τῆς προσευχῆς], γιὰ νὰ μὴν χάσῃς τὸ πολυτιμώτερο, [τὴν προσευχή]. Διότι [εἶναι] καλλίτερα νὰ

τοῖς τῆς προσευχῆς βέλεσι κατατοξεύειν αὐτὸν κάτω που συγκεκλεισμένον, ἢ προσομιλεῖν αὐτῷ, τὰ φαῦλα προσφέροντι, καὶ ἀποσπᾷν ἡμᾶς τῆς κατ᾽ αὐτοῦ δεήσεως μηχανωμένῳ.

ροε'. Ἡ τῶν πραγμάτων γνῶσις, ἐν καιρῷ πειρασμοῦ καὶ ἀκηδίας, ὠφελεῖ τὸν ἄνθρωπον· ἐν καιρῷ δὲ προσευχῆς, καταβλάπτειν εἴωθε.

ρος'. Διδάσκειν ἐν Κυρίῳ λαχών, καὶ παρακουόμενος, θλίβου νοερῶς, καὶ μὴ ταράσσσου προφανῶς. Θλιβόμενος γάρ, οὐ συγκατακριθήσῃ τῷ παρακούοντι· ταρασσόμενος δέ, ἐν τῷ αὐτῷ πράγματι πειρασθήσῃ.

ροζ'. Ἐν καιρῷ ἐξηγήσεως, μὴ κρύψῃς τὰ τοῖς παροῦσι προσήκοντα· τὰ μὲν εὐπρεπῆ σαφεστέρως, τὰ δὲ σκληρὰ αἰνιγματωδῶς διηγούμενος.

ροη'. Τοῦ ἐν ὑποταγῇ σου μὴ ὄντος, σφάλμα μὴ προσενέγκῃς εἰς πρόσωπον. Τοῦτο γὰρ ἐξουσίας μᾶλλον, ἢ συμβουλίας ἐστί.

ροθ'. Τὰ πληθυντικῶς λεγόμενα, γίνεται πᾶσιν ὠφέλιμα, ἑκάστῳ τὰ ἴδια κατὰ

τὸν κατατοξεύῃς μὲ τὰ βέλη τῆς προσευχῆς, ἐνῶ βρίσκεται κάπου κάτω ἀποκλεισμένος, παρὰ νὰ συνομιλῆς μ᾽ αὐτόν, ἐνῶ προσφέρει τὰ πονηρὰ καὶ μηχανεύεται νὰ μᾶς ἀποσπάσῃ ἀπὸ τὴν ἐναντίον του προσευχή.

175. Ἡ γνῶσι τῶν πραγμάτων κατὰ τὴν ὥρα τοῦ πειρασμοῦ καὶ τῆς ἀκηδίας, ὠφελεῖ τὸν ἄνθρωπο, ἀλλὰ κατὰ τὴν ὥρα τῆς προσευχῆς, συνηθίζει νὰ τὸν βλάπτῃ καίρια.

176. Ἐάν [σοῦ] ἔτυχε νὰ διδάσκῃς ἐν Κυρίῳ καὶ παρακούεσαι, νὰ θλίβεσαι νοερὰ καὶ νὰ μὴν ταράζεσαι φανερά. Διότι ὅταν θλίβεσαι δὲν θὰ κατακριθῇς μαζὶ μ᾽ ἐκεῖνον ποὺ ἔκανε τὴν παρακοή. Ἐνῶ, ἐὰν ταράζεσαι θὰ δοκιμασθῇς ἀπὸ τὸν πειρασμὸ μὲ τὸ ἴδιο πρᾶγμα.

177. Κατὰ τὴν ὥρα τῆς διδασκαλίας νὰ μὴν κρύψῃς ἀπὸ αὐτοὺς ποὺ εἶναι παρόντες τὰ πρέποντα, ἑρμηνεύοντας [ὅσα] μέν [εἶναι] εὐπρεπῆ μὲ μεγαλύτερη σαφήνεια, [ὅσα] δέ [εἶναι] σκληρά, συγκεκαλυμμένα.

178. Ἐκείνου ποὺ δὲν εἶναι στὴν ὑπακοή σου νὰ μήν [τοῦ] προβάλλῃς κατὰ πρόσωπον τὸ σφάλμα [του]. Διότι αὐτὸ εἶναι πρᾶξι μᾶλλον ἐξουσίας παρὰ νουθεσίας.

179. Αὐτὰ ποὺ λέγονται στὸν πληθυντικό [ἀναφερόμενα σὲ πολλούς], γίνονται σὲ ὅλους ὠ-

συνείδησιν ἐμφανιζόμενα [recte: ἐμφανίζοντα][η].

ρπ'. Ὁ λαλῶν ὀρθῶς, ὀφείλει καὶ αὐτὸς ὡς παρὰ Θεοῦ λαμβάνειν τὰ ῥήματα. Ἡ γὰρ ἀλήθεια, οὐ τοῦ λαλοῦντός ἐστιν, ἀλλὰ τοῦ ἐνεργοῦντος Θεοῦ.

ρπα'. Παρ' ὧν οὐκ ἔχεις ὁμολογίαν ὑποταγῆς, μὴ φιλονείκει ἀνθισταμένων τῇ ἀληθείᾳ· ἵνα μὴ μῖσος ἐγείρῃς, κατὰ τὴν Γραφήν[52].

ρπβ'. Ὁ ὑποτακτικῷ ὅπου οὐ δεῖ ἀντιλέγοντι παραχωρῶν, πλανᾷ αὐτὸν ἐν ἐκείνῳ τῷ πράγματι, καὶ τὰς συνθήκας τῆς ὑποταγῆς, ἀθετεῖν παρασκευάζει.

ρπγ'. Ὁ φόβῳ Θεοῦ νουθετῶν, ἢ παιδεύων τὸν ἁμαρτάνοντα, τὴν ἐναντιουμένην τῷ σφάλματι ἀρετὴν ἑαυτῷ περιποιεῖται. Ὁ δὲ μνησικακῶν, καὶ κακοθελῶς ὀνειδίζων, τῷ ὁμοίῳ πάθει κατὰ τὸν πνευματικὸν περιπίπτει νόμον.

ρπδ'. Ὁ καλῶς μαθὼν τὸν νόμον, φοβεῖται τὸν νομοθέτην. Καὶ φοβούμενος αὐτόν, ἐκκλίνει ἀπὸ παντὸς κακοῦ[53].

ρπε'. Μὴ γίνου δίγλωσσος,

φέλιμα, ἐπειδὴ ἐμφανίζουν στὸν καθένα τὰ δικά του, σύμφωνα μὲ τὴν συνείδησί [του].

180. Ἐκεῖνος ποὺ ὁμιλεῖ σωστὰ καὶ αὐτὸς ὀφείλει, ἐπειδὴ λαμβάνει τοὺς λόγους ἀπὸ τὸν Κύριο. Διότι ἡ ἀλήθεια δὲν εἶναι ἐκείνου πού [τήν] λέει, ἀλλὰ τοῦ Θεοῦ πού [τήν] ἐνεργεῖ.

181. Ἀπ' ὅσους δὲν ἔχεις λάβει ὑπόσχεσι ὑπακοῆς νὰ μὴν λογομαχῆς, ἐὰν ἐναντιώνωνται στὴν ἀλήθεια, γιὰ νὰ μὴν προκαλέσῃς τὸ μῖσος, σύμφωνα μὲ τήν [Ἁγία] Γραφή.

182. Ἐκεῖνος ποὺ συγχωρεῖ στὸν ὑποτακτικό [του] νὰ ἀντιλέγῃ ὅπου δὲν πρέπει, τὸν παραπλανᾶ μ' ἐκείνη τὴν πρᾶξι [τὴν τακτική] καὶ τὸν προετοιμάζει νὰ ἀθετῇ τὶς ὑποσχέσεις τῆς ὑπακοῆς.

183. Αὐτὸς ποὺ μὲ φόβο Θεοῦ νουθετεῖ ἢ παιδαγωγεῖ ἐκεῖνον ποὺ ἁμαρτάνει, διασῴζει γιὰ τὸν ἑαυτό του τὴν ἀρετὴ ἡ ὁποία ἐναντιώνεται στό [ἐν λόγῳ] σφάλμα. Ἐκεῖνος ὅμως ποὺ μνησικακεῖ καὶ μοχθηρῶς ὀνειδίζει [ἐκεῖνον ποὺ ἁμαρτάνει], πέφτει στὸ ἴδιο πάθος σύμφωνα μὲ τὸν πνευματικὸ νόμο.

184. Ἐκεῖνος ποὺ ἔμαθε καλὰ τὸ νόμο, φοβᾶται τὸ νομοθέτη. Καὶ ἐπειδὴ τὸν φοβᾶται ἀπομακρύνεται ἀπὸ κάθε κακό.

185. Νὰ μὴν γίνεσαι δίγλωσσος,

ἑτέρως μὲν τῷ λόγῳ, ἑτέρως δὲ τῇ συνειδήσει διακείμενος. Τὸν γὰρ τοιοῦτον ἡ Γραφὴ ὑπὸ κατάραν ἵστησιν[54].

ρπς΄. Ἔστιν ὁ ἀλήθειαν λέγων, καὶ ὑπὸ ἀφρόνων μισούμενος, κατὰ τὸν Ἀπόστολον[55]. *Καὶ ἔστιν ὁ ὑποκρινόμενος, καὶ διὰ τοῦτο ἀγαπώμενος. Ὅμως οὐδέτερον τῶν ἀνταποδόσεων τούτων, πολυχρόνιον γίνεται. Διότι ὁ Κύριος ἐν ἰδίῳ καιρῷ ἑκάστῳ τὸ δέον ἀποδίδωσιν.*

ρπζ΄. Ὁ τὰ μέλλοντα μοχθηρὰ ἀναιρεῖν βουλόμενος, τὰ ἐνεστῶτα ἡδέως ὀφείλει ὑποφέρειν. Οὕτω γὰρ νοερῶς συναλλάσων πρᾶγμα πράγματι, διὰ μικρῶν ὀδυνῶν, μεγάλας ἐκφεύξεται τιμωρίας.

ρπη΄. Ἀσφάλισαι λόγον ἀπὸ καυχήσεως, καὶ λογισμὸν ἀπὸ οἰήσεως, ἵνα μὴ παραχωρηθῇς καὶ πράξῃς τὰ ἐναντία. Οὐ γὰρ ἐξ ἀνθρώπου μόνου τελεσιουργεῖται τὸ ἀγαθόν, ἀλλ᾽ ἐκ τοῦ παντεπόπτου Θεοῦ.

ρπθ΄. Ὁ παντεπόπτης Θεός, ὥς περ τοῖς ἔργοις ἡ-

ἔχοντας διαφορετικὴ διάθεσι ὡς πρὸς τὸν λόγο [σου] καὶ διαφορετικὴ ὡς πρὸς τὴν συνείδησί [σου]. Διότι τόν [ἄνθρωπο] αὐτοῦ τοῦ εἴδους ἡ [Ἁγία] Γραφή, [τόν] θέτει ὑπὸ κατάρα.

186. Ὑπάρχει ἐκεῖνος ὁ ὁποῖος λέει τὴν ἀλήθεια καὶ ἀπὸ ὅσους δὲν ἔχουν φρόνησι εἶναι μισητός, σύμφωνα μὲ τὸν Ἀπόστολο. Καὶ ὑπάρχει καὶ ἐκεῖνος, ποὺ ὑποκρίνεται καὶ ἕνεκα αὐτοῦ εἶναι ἀγαπητός. Ὅμως ἀπ᾽ αὐτὲς τὶς δύο ἀνταμοιβές, καμία δὲν κρατάει γιὰ πολὺ χρόνο. Διότι ὁ Κύριος ἀποδίδει τὸ πρέπον στὸν καθένα στὸν δικό του καιρό.

187. Ἐκεῖνος ποὺ ἐπιθυμεῖ νὰ ματαιώσῃ ἐκεῖνα τὰ ἐπίπονα ποὺ πρόκειται νὰ συμβοῦν στὸ μέλλον, ὅσα συμβαίνουν τώρα ὀφείλει νὰ [τά] ὑποφέρῃ μὲ εὐχαρίστησι. Διότι κατ᾽ αὐτὸν τὸν τρόπο συνδέοντας νοερῶς τὸ ἕνα πρᾶγμα μὲ τὸ ἄλλο, μὲ μικροὺς πόνους θὰ γλιτώσῃ ἀπὸ μεγάλες τιμωρίες.

188. Γιὰ νὰ μὴν παραχωρήσῃ [ὁ Θεός] καὶ πράξῃς τὰ τῶν ἐχθρῶν [δαιμόνων], νὰ διαφυλάξῃς ἀσφαλῶς τὸν λόγο [σου] ἀπὸ καύχησι καὶ τὸν λογισμό [σου] ἀπὸ ἔπαρσι. Διότι τὸ ἀγαθὸ δὲν ἐπιτελεῖται μόνο ἀπὸ τὸν ἄνθρωπο ἀλλὰ καὶ ἀπὸ τὸν Παντεπόπτη Θεό [ποὺ ἐπιβλέπει τὰ πάντα].

189. Ὁ Παντεπόπτης Θεός, ὅπως ἀκριβῶς ἐπιφέρει συμφορὲς ἄξι-

μῶν ἀξίας ἐπιφορὰς ἀπονέμει, οὕτω καὶ τοῖς λογισμοῖς, καὶ τοῖς ἑκουσίοις νοήμασιν.

ρϟ΄. Οἱ ἀκούσιοι λογισμοί, ἐκ προλαβούσης ἁμαρτίας ἀναφύονται, οἱ δὲ ἑκούσιοι, ἐκ τοῦ αὐτεξουσίου θελήματος. Ὅθεν αἴτιοι εὑρίσκονται τῶν προτέρων, οἱ δεύτεροι.

ρϟα΄. Ταῖς μὲν παρὰ πρόθεσιν κακαῖς ἐννοίαις, λύπη παρέπεται· διὸ καὶ συντόμως ἐξαφανίζονται. Ταῖς δὲ κατὰ πρόθεσιν, χαρά· ὅθεν καὶ δυσαπάλλακτοι γίνονται.

ρϟβ΄. Ὁ φιλήδονος λυπεῖται ἐν ψόγοις καὶ κακοπαθείαις, ὁ δὲ φιλόθεος, ἐν ἐπαίνοις καὶ πλεονεξίαις.

ρϟγ΄. Ὁ μὴ γινώσκων τὰ κρίματα τοῦ Θεοῦ, ἀμφίκρημνον ὁδὸν κατὰ νοῦν διαβαίνει, καὶ ὑπὸ παντὸς ἀνέμου ῥᾳδίως ἀνατρέπεται. Ἐπαινούμενος, γαυριᾷ· καὶ ψεγόμενος, πικραίνεται. Εὐωχούμενος, ἀσελγαίνει· καὶ κακοπαθῶν, ἀποδύρεται. Συνιῶν, φανητιᾷ· καὶ μὴ νοῶν σχηματίζεται. Πλουτῶν, ἀλα-

ες τῶν ἔργων μας, κατὰ τὸν ἴδιο τρόπο [ἐνεργεῖ] καὶ γιὰ τοὺς λογισμοὺς καὶ τὰ ἑκούσια διανοήματά [μας].

190. Οἱ ἀκούσιοι λογισμοὶ ἀναφύονται [στὸν νοῦ] ἀπὸ ἁμαρτία, ποὺ προηγήθηκε, οἱ δὲ ἑκούσιοι ἀπὸ τὸ αὐτεξούσιο θέλημα. Συνεπῶς οἱ δεύτεροι γίνονται αἴτιοι τῶν πρώτων.

191. Ὅσες μὲν κακὲς σκέψεις [γίνονται] χωρὶς πρόθεσι, [τίς] ἀκολουθεῖ λύπη. Γι᾽ αὐτὸ καὶ σύντομα ἐξαφανίζονται. Ὅσες ὅμως [γίνονται] μὲ πρόθεσι, [τὶς ἀκολουθεῖ] χαρά, ὁπότε καὶ δύσκολα ἀπομακρύνονται.

192. Ὁ φιλήδονος λυπᾶται στοὺς ἐλέγχους καὶ τὶς κακοπάθειες, ἐνῶ ὁ φιλόθεος στοὺς ἐπαίνους καὶ τὶς πλεονεξίες.

193. Ἐκεῖνος, ποὺ δὲν γνωρίζει τὸν νόμο τοῦ Θεοῦ πορεύεται, ὡς πρὸς τὸν νοῦ του, σὲ δρόμο ἀνάμεσα σὲ γκρεμοὺς καὶ ἀνατρέπεται εὔκολα ἀπὸ τὸν ὁποιονδήποτε ἄνεμο. Ἐπαινούμενος ὑπερηφανεύεται καὶ ἐλεγχόμενος πικραίνεται. Ὅταν συμμετέχῃ σὲ πλούσιο συμπόσιο, φέρεται ἀσελγῶς καὶ ὅταν κακοπαθῇ, ὀδύρεται. Ὅταν κατανοήσῃ κάτι [ἀποκτήσῃ μιὰ γνῶσι], ἀρέσκεται νὰ ἐπιδεικνύεται, καὶ ἐὰν δὲν [τό] κατανοήσῃ, προσποιεῖται [ὅτι τὸ κατενόησε]. Ὅταν ἔχῃ πλοῦτο, συμπεριφέρεται ἀλαζο-

ζονεύεται· καὶ πτωχεύων, ὑποκρίνεται. Κορεσθείς, θρασύνεται· καὶ νηστεύων, κενοδοξεῖ. Τοῖς ἐλέγχουσι φιλονεικεῖ, καὶ τοῖς συγγνώμην αὐτῷ ἀπονέμουσιν, ὡς ἀνοήτοις προσέχει.

ρϟδ'. Ἐὰν μή τις οὖν, κατὰ χάριν Χριστοῦ, γνῶσιν ἀληθείας καὶ φόβον Θεοῦ κτήσηται, οὐ μόνον ἐκ τῶν παθῶν, ἀλλὰ καὶ ἐκ τῶν συμβάσεων δεινῶς τραυματίζεται.

ρϟε'. Ὅταν λῦσαι θέλῃς πρᾶγμα ἐμπεπλεγμένον, ζήτει περὶ αὐτοῦ τί τῷ Θεῷ ἀρέσκει, καὶ εὑρήσεις αὐτοῦ τὴν λύσιν ἐπωφελῆ.

ρϟς'. Ἐν οἷς ἂν πράγμασιν εὐδοκεῖ ὁ Θεός, ἐν τούτοις καὶ πᾶσα ἡ κτίσις ὑπηρετεῖ. Ἐν οἷς δὲ αὐτὸς ἀποστρέφεται, ὁμοίως καὶ ἡ κτίσις ἀντιτάσσεται.

ρϟζ'. Ὁ ἀντιτασσόμενος ταῖς σκυθρωπαῖς ἐπιφοραῖς, ὡς οὐκ οἶδεν, ἀντιμάχεται τῇ κελεύσει τοῦ Θεοῦ. Ὁ δὲ καταδεχόμενος αὐτὰς μετὰ γνώσεως ἀληθοῦς, οὗτος, κατὰ τὴν Γραφήν, ὑπομένει τὸν Κύριον[56].

νικὰ καὶ ὅταν εἶναι πτωχός, ὑποκρίνεται. Ὅταν χορτάσῃ, γίνεται θρασὺς καὶ ὅταν νηστεύῃ κενοδοξεῖ. Μὲ ἐκείνους πού [τόν] ἐλέγχουν φιλονεικεῖ καὶ θεωρεῖ ὡς ἀνοήτους, ὅσους τοῦ προσφέρουν συγγνώμη.

194. Ἐὰν λοιπὸν κάποιος δὲν ἀποκτήσῃ, ἀπὸ τὴν Χάρι τοῦ Χριστοῦ τὴν γνῶσι τῆς ἀληθείας καὶ τὸν φόβο τοῦ Θεοῦ, τραυματίζεται φοβερά, ὄχι μόνον ἀπὸ τὰ πάθη ἀλλὰ καὶ ἀπὸ τὰ τυχόντα περιστατικά.

195. Ὅταν θέλῃς νὰ ἐπιλύσῃς ἕνα περιπεπλεγμένο ζήτημα, ἀναζήτησε σχετικὰ μ᾽ αὐτό, τί ἀρέσει στὸν Θεὸ καὶ θὰ βρῇς εὐεργετικὴ τὴν ἐπίλυσί του.

196. Σὲ ὅσα πράγματα ὁ Θεὸς θὰ εὐαρεστεῖτο, σ᾽ αὐτὰ καὶ ὅλη ἡ κτίσι ὑπηρετεῖ. Σὲ ὅσα ὅμως Αὐτὸς δείχνει τὴν ἀποστροφή Του, καθ᾽ ὅμοιο τρόπο καὶ ἡ κτίσι ἐναντιώνεται.

197. Ἐκεῖνος, ποὺ ἐναντιώνεται στὰ ὀδυνηρὰ ἐπερχόμενα, ἐπειδὴ δὲν ἔχει γνῶσι [τοῦ Θεοῦ], μάχεται ἐναντίον τῆς προσταγῆς τοῦ Θεοῦ. Ἐκεῖνος, ὅμως, ποὺ τὰ ἀποδέχεται [τὰ ὀδυνηρὰ ἐπερχόμενα] μὲ ἀληθινὴ γνῶσι, αὐτός, σύμφωνα μὲ τήν [Ἁγία] Γραφή, ὑπομένει τὸν Κύριο.

ρϟη΄. Πειρασμοῦ ἐπελθόντος, μὴ ζήτει διὰ τί, ἢ διὰ τίνος ἐλήλυθεν· ἀλλ᾽ ὅπως αὐτὸν εὐχαρίστως, καὶ ἀλύπως, καὶ ἀμνησικάκως ὑπομείνῃς.

ρϟθ΄. Ἀλλότριον κακόν, οὐ προστίθησιν ἁμαρτίαν, ἐὰν μὴ ἡμεῖς αὐτὸ κακαῖς ἐννοίαις παραδεξώμεθα.

σ΄. Εἰ οὐκ ἔστι ῥαδίως εὑρεῖν τὸν ἐκτὸς πειρασμῶν εὐαρεστήσαντα, εὐχαριστεῖν δεῖ τῷ Θεῷ ἐπὶ πάσῃ συμβάσει.

σα΄. Εἰμὴ νυκτερινῆς ἄγρας ἀπέτυχεν ὁ Πέτρος[57]*, οὐκ ἂν τῆς ἡμερινῆς ἐπέτυχε. Καὶ εἰμὴ αἰσθητῶς ἐτυφλώθη ὁ Παῦλος*[58]*, οὐκ ἂν νοητῶς ἀνέβλεψε. Καὶ εἰμὴ ὡς βλάσφημος ἐσυκοφαντήθη ὁ Στέφανος*[59]*, οὐκ ἂν τῶν Οὐρανῶν αὐτῷ ἀνεῳχθέντων τὸν Θεὸν ἐθεάσατο.*

σβ΄. Ὥς περ ἡ κατὰ Θεὸν ἐργασία, ἀρετὴ λέγεται, οὕτως καὶ ἡ παρὰ προσδοκίαν θλῖψις, πειρασμὸς ὀνομάζεται.

σγ΄. Ὁ Θεὸς τὸν Ἀβραὰμ ἐπείραζε[60]*, τουτέστι πρὸς τὸ συμφέρον ἔθλιβεν, οὐχ ἵνα*

198. Ὅταν ἔρθῃ πειρασμός, μὴν ἀναζητήσῃς γιὰ ποιό [λόγο] ἢ μέσῳ ποιοῦ ἔχει ἔρθη, ἀλλά [ἀναζήτησε] μὲ ποιὸν τρόπο θὰ τὸν ὑπομείνῃς μὲ εὐγνωμοσύνη καὶ χωρὶς λύπη καὶ μνησικακία.

199. Τὸ ξένο κακὸ δέν [μᾶς] προσθέτει ἁμαρτία, ἐὰν ἐμεῖς δὲν ἐπιτρέψουμε τὴν εἴσοδό του [στὸν νοῦ μας] μὲ κακὲς σκέψεις.

200. Ἐφ᾽ ὅσον δὲν εἶναι εὔκολο νὰ ἀνακαλύψουμε ἐκεῖνον, ποὺ χωρὶς πειρασμοὺς εὐαρέστησε [στὸ Θεό], πρέπει νὰ εὐχαριστοῦμε τὸν Θεὸ γιὰ κάθε συμβάν, [πειρασμό, θλῖψι].

201. Ἐὰν δὲν ἀποτύγχανε στὴν νυκτερινὴ ψαριὰ ὁ Πέτρος, δὲν θὰ ἐπετύγχανε [τὴν ψαριά] τῆς ἡμέρας. Καὶ ἐὰν δὲν τυφλωνόταν ὡς πρὸς τοὺς αἰσθητοὺς ὀφθαλμούς του ὁ Παῦλος, δὲν θὰ ἀνέβλεπε ὡς πρὸς τὸν νοῦ [του]. Καὶ ἐὰν δὲν συκοφαντεῖτο ὡς βλάσφημος ὁ Στέφανος, δὲν θὰ ἔβλεπε τὸν Θεό, ὅταν ἀνοίχθηκαν σ᾽ αὐτὸν οἱ Οὐρανοί.

202. Ὅπως ἀκριβῶς ἡ κατὰ Θεὸν ἐργασία λέγεται ἀρετή, ἔτσι καὶ ἡ θλῖψι [ποὺ ἐπέρχεται] χωρὶς νὰ τὴν περιμένουμε, ὀνομάζεται πειρασμός.

203. Ὁ Θεὸς ἔστελνε πειρασμὸ στὸν Ἀβραάμ, δηλαδὴ [τοῦ] προκαλοῦσε θλῖψι πρὸς τὸ συμφέρον του, ὄχι γιὰ

μάθῃ ὁποῖός ἐστιν· ᾔδει γὰρ αὐτόν, ὁ εἰδὼς τὰ πάντα πρὶν γενέσεως αὐτῶν· ἀλλ᾽ ὅπως ἀφορμὰς αὐτῷ παράσχῃ τῆς τελείας πίστεως.

σδ΄. Πᾶσα θλῖψις, ἐλέγχει τὴν ῥοπὴν τοῦ θελήματος, εἴτε εἰς δεξιὰ ῥέπει, εἴτε εἰς ἀριστερά. Διά τοῦτο ἡ συμβατικὴ θλῖψις, πειρασμὸς ὀνομάζεται· τῷ μετόχῳ, πεῖραν τῶν κεκρυμμένων θελημάτων παρέχουσα.

σε΄. Ὁ φόβος τοῦ Θεοῦ, ἀναγκάζει ἡμᾶς πολεμεῖν τῇ κακίᾳ· ἡμῶν δὲ πολεμούντων, ἡ χάρις τοῦ Θεοῦ πολεμεῖ[θ] *αὐτήν.*

σς΄. Σοφία ἐστίν, οὐ μόνον τὸ διὰ φυσικῆς ἀκολουθίας εἰδέναι τὴν ἀλήθειαν, ἀλλὰ καὶ τὸ ὑπομένειν ὡς ἰδίαν τὴν τῶν ἀδικούντων πονηρίαν. Οἱ μὲν γὰρ τῇ προτέρᾳ ἐναπομείναντες, πρὸς ὑπερηφανίαν ἐπήρθησαν· οἱ δὲ ἐπὶ τὴν δευτέραν φθάσαντες, ταπεινοφροσύνην ἐκτήσαντο.

σζ΄. Εἰ βούλει μὴ ἐνεργεῖσθαι ὑπὸ τῶν πονηρῶν λογισμῶν, ἐξουδένωσιν ψυχῆς,

νὰ μάθῃ ποιὸς εἶναι. Διότι τὸν ἐγνώριζε, Ἐκεῖνος, ποὺ τὰ πάντα γνωρίζει πρὶν τὴν γέννησί τους· ἀλλὰ γιὰ νὰ προσφέρῃ σ᾽ αὐτὸν εὐκαιρίες γιὰ τὴν τέλεια πίστι.

204. Κάθε θλῖψι ἀποδεικνύει τὴν κλίσι τοῦ θελήματος, εἴτε κλίνει πρὸς τὰ δεξιά [στὰ καλά], εἴτε κλίνει πρὸς τὰ ἀριστερά [στὰ κακά]. Γι᾽ αὐτὸ ἡ θλῖψι, ποὺ προκύπτει ἀπὸ κάποιο γεγονός, ὀνομάζεται πειρασμός, ἡ ὁποία προσφέρει σ᾽ ἐκεῖνον ποὺ μετέχει [σ᾽ αὐτήν], πεῖρα [γνῶσι ἐξ ἐμπειρίας] τῶν κρυμμένων [του] θελημάτων.

205. Ὁ φόβος τοῦ Θεοῦ μᾶς ἀναγκάζει νὰ πολεμοῦμε τὴν κακία. Καθόσον δὲ ἐμεῖς βρισκόμεθα σὲ πόλεμο, ἡ Χάρι τοῦ Θεοῦ τὴν κτυπᾶ [τὴν κακία].

206. Σοφία δὲν εἶναι μόνο τὸ νὰ γνωρίσουμε τὴν ἀλήθεια μέσῳ φυσικῆς συνέπειας, ἀλλὰ καὶ τὸ νὰ ὑπομένουμε τὴν κακία ἐκείνων πού [μᾶς] ἀδικοῦν ὡς δική μας. Διότι ἐκεῖνοι μὲν ποὺ ἱκανοποιήθηκαν μὲ τὴν πρώτη [τὴν γνῶσι τῆς ἀλήθειας μέσῳ τῆς φυσικῆς συνέπειας] κόμπασαν μὲ ὑπερηφάνια, ἐκεῖνοι ὅμως ποὺ ἔφθασαν στὴν δεύτερη ἀπέκτησαν τὴν ταπεινοφροσύνη.

207. Ἐὰν θέλῃς νὰ μὴν δέχεσαι τὶς ἐπενέργειες τῶν πονηρῶν λογισμῶν ὑπόφερε τὴν ἐξουθένωσι τῆς ψυχῆς

καὶ θλῖψιν σαρκὸς καταδέχου. Καὶ τοῦτο οὐ μερικῶς, ἀλλ᾽ ἐν παντὶ καιρῷ, καὶ τόπῳ, καὶ πράγματι.

σηʹ. Ὁ τοῖς θλιβεροῖς ἑκουσίως ἐμπαιδευόμενος, ὑπὸ τῶν ἀκουσίων λογισμῶν οὐ κατακυριευθήσεται. Ὁ δὲ τὰ πρότερα μὴ καταδεχόμενος, ὑπὸ τῶν δευτέρων, καὶ μὴ βουλόμενος, αἰχμαλωτίζεται.

σθʹ. Ὅταν ἀδικουμένου σου σκληρυνθῇ τὰ σπλάχνα καὶ ἡ καρδία, μὴ λυποῦ, ὅτι οἰκονομικῶς ἐκινήθη τὸ προεγκείμενον· ἀλλὰ χαίρων ἀνάτρεπε τοὺς ἐπανακύπτοντας λογισμούς· εἰδὼς ὅτι τούτων ἐκ προσβολῆς ἀναιρουμένων, καὶ τὸ κακὸν μετὰ τὴν κίνησιν, συναναιρεῖσθαι πέφυκε· τῶν δὲ λογισμῶν ἐνδελεχούντων, κἀκεῖνο προσθήκην λαμβάνειν εἴωθεν.

σιʹ. Ἐκτὸς συντριμμοῦ καρδίας, ἀδύνατον καθόλου ἀπαλλαγῆναι κακίας. Συντρίβει δὲ καρδίαν, ἡ τριμερὴς ἐγκράτεια, ὕπνου λέγω, καὶ τροφῆς, καὶ σωματικῆς ἀνέσεως. Ἡ γὰρ τούτων περίσσεια, ἡδυπάθειαν ἐντίθησιν· ἡ δὲ ἡδυπάθεια, τοὺς πονηροὺς λογισμοὺς

καὶ τὴν θλῖψι τῆς σάρκας. Καὶ αὐτὸ ὄχι ἐν μέρει, ἀλλὰ σὲ κάθε χρόνο καὶ τόπο καὶ περίστασι.

208. Ἐκεῖνος, ὁ ὁποῖος ἑκουσίως σωφρονίζεται μέσῳ ὅσων προκαλοῦν πίεσι καὶ θλῖψι, ἀπὸ τοὺς ἀκούσιους λογισμοὺς δὲν θὰ κυριευθῇ. Ἐκεῖνος ὅμως ποὺ δὲν ὑπομένει τὰ προηγούμενα, ἀπὸ τὰ δεύτερα [τοὺς ἀκούσιους λογισμούς] καὶ χωρὶς νὰ τὸ θέλῃ αἰχμαλωτίζεται.

209. Ὅταν, ἐπειδὴ ἀδικεῖσαι, σκληρυνθοῦν τὰ σπλάχνα καὶ ἡ καρδία [σου], ἂς μὴν λυπᾶσαι, διότι κατ᾽ οἰκονομίαν [τοῦ Θεοῦ] προεκλήθη αὐτὸ [τὸ γεγονός], ποὺ συνέβη προηγουμένως, [ἡ ἀδικία]. Ἀλλὰ χαρούμενος ἀνάτρεπε τοὺς λογισμοὺς ποὺ ἐπανέρχονται, γνωρίζοντας, ὅτι ὅταν αὐτοί [οἱ λογισμοί] ἀφανιστοῦν ἀπό [τὸ στάδιο ἤδη] τῆς προσβολῆς καὶ τὸ κακὸ ἔχει ἐκ φύσεως τὴν ἰδιότητα νὰ ἐξαφανίζεται συγχρόνως [μὲ τοὺς λογισμούς] μετὰ τὴν κίνησι [τῆς ἐκδιώξεως]. Ὅταν ὅμως οἱ λογισμοὶ ἀποκτοῦν διάρκεια καὶ ἐκεῖνο [τὸ κακό] συνηθίζει νὰ αὐξάνῃ.

210. Χωρὶς τὴν συντριβὴ τῆς καρδίας [εἶναι] ἐντελῶς ἀδύνατον [κανείς] νὰ ἀπαλλαγῇ ἀπὸ τὴν κακία. Συντρίβει δὲ τὴν καρδία ἡ τριμερὴς ἐγκράτεια· λέγω [δηλαδή, ἡ ἐγκράτεια] τοῦ ὕπνου καὶ τῆς τροφῆς καὶ τῆς σωματικῆς ἀνέσεως. Διότι ἡ ἀφθονία αὐτῶν εἰσάγει τὴν ἡδυπάθεια· ἡ δὲ ἡδυπάθεια ἀποδέχεται τοὺς πονη-

παραδέχεται· ἀντίκειται δὲ καὶ τῇ προσευχῇ, καὶ τῇ προσηκούσῃ διακονίᾳ.

σια΄. Κελεύειν ἀδελφοὺς λαχών, φύλαττε τὴν τάξιν σου, καὶ μὴ διὰ τοὺς ἀντιλέγοντας παρασιωπήσῃς τὰ δέοντα. Ἐν οἷς μὲν ὑπακούουσι, μισθὸν ἕξεις ὑπὲρ τῆς ἐκείνων ἀρετῆς· ἐν οἷς δὲ παρακούσουσι, πάντως ἀφήσεις αὐτοῖς· καὶ λήψῃ τὰ ἴσα παρὰ τοῦ εἰρηκότος· ἄφετε, καὶ ἀφεθήσεται ὑμῖν[61].

σιβ΄. Πανηγύρει ἔοικε πᾶσα σύμβασις. Ὁ εἰδὼς πραγματεύσασθαι, κερδανεῖ πολλά· ὁ δὲ μὴ εἰδώς, ζημίας ὑποφέρει.

σιγ΄. Τὸν ἀπὸ ἑνὸς λόγου μὴ ὑπακούοντα, μὴ βιάζου μετὰ φιλονεικίας· ἀλλὰ τὸ κέρδος, ὃ ἀπέβαλεν ἐκεῖνος, σὺ περιποίησον σαυτῷ. Πλέον γὰρ τῆς ἐκείνου διορθώσεως, ὠφελήσει σε ἡ ἀνεξικακία.

σιδ΄. Ὅταν ἡ τοῦ ἑνὸς βλάβη εἰς πολλοὺς ἀνατρέχῃ, τότε οὐ δεῖ μακροθυμεῖν, οὔτε ζητεῖν τὸ ἑαυτοῦ συμφέρον, ἀλλὰ τῶν πολλῶν ἵνα σωθῶσι. Διότι τῆς μονομεροῦς ἀρετῆς, ἡ πολυμε-

ρούς λογισμούς. Ἐναντιώνεται δὲ καὶ στὴν προσευχὴ καὶ στὴν ὀφειλομένη διακονία.

211. Ἐάν [σοῦ] ἔτυχε νὰ προστάζῃς ἀδελφούς, διαφύλαττε τὴν τάξι σου [τὸ ἐκ τῆς θέσεώς σου καθῆκον] καὶ μὴν ἀποσιωπήσῃς αὐτὰ ποὺ πρέπει [νὰ εἰπωθοῦν], ἐξ αἰτίας ἐκείνων οἱ ὁποῖοι ἀντιλέγουν. Γιὰ ὅσους μὲν ὑπακούουν θὰ πάρῃς μισθὸ γιὰ χάρι τῆς ἀρετῆς τους, ὅσους ὅμως θὰ παρακούσουν, ἐξάπαντος θὰ τοὺς συγχωρήσῃς καὶ θὰ λάβῃς τὴν ἴση ἀμοιβὴ ἀπὸ Ἐκεῖνον ποὺ λέει: «Συγχωρεῖστε καὶ θὰ συγχωρεθοῦν σὲ σᾶς [τὰ ἁμαρτήματα]».

212. Μὲ ἐμποροπανήγυρι μοιάζει κάθε [ὀδυνηρό] γεγονός. Ἐκεῖνος ποὺ γνωρίζει νὰ πραγματεύεται, θὰ κερδίσῃ πολλά. Ἐκεῖνος, ὅμως, ποὺ δὲν γνωρίζει, ὑφίσταται τὶς ζημιές.

213. Ἐκεῖνον ποὺ μ᾽ ἕνα λόγο [τὸν πρῶτο] δὲν ὑπακούει, μήν [τόν] ἐξαναγκάσῃς μὲ φιλονεικία, ἀλλὰ τὸ κέρδος, τὸ ὁποῖο ἐκεῖνος ἀπέρριψε, ἀπόκτησέ [το] ἐσὺ γιὰ τὸν ἑαυτόν σου. Διότι περισσότερο ἀπὸ τὴν διόρθωσι ἐκείνου, θὰ σὲ ὠφελήσῃ ἡ ἀνεξικακία.

214. Ὅταν τὸ κακὸ τοῦ ἑνὸς ἐξαπλώνεται στοὺς πολλούς, τότε δὲν πρέπει νὰ μακροθυμῇς, οὔτε νὰ ἐπιζητῇς τὸ συμφέρον τοῦ ἑαυτοῦ σου, ἀλλὰ [τὸ συμφέρον] τῶν πολλῶν, ὥστε νὰ σωθοῦν. Διότι ἡ ἀρετή, ποὺ ἀπαρτίζεται ἀπὸ πολλὰ μέρη συμβαίνει νὰ

ρῆς ὠφελιμωτέρα τυγχάνει.

σιε΄. Ἐάν τις περιπέσῃ εἰς οἱανδήτινα ἁμαρτίαν, καὶ μὴ λυπηθῇ κατὰ ἀναλογίαν τοῦ σφάλματος, εὐχερῶς πάλιν τῷ αὐτῷ περιπίπτει δικτύῳ.

σις΄. Ὥς περ λέαινα δάμαλιν φιλικῶς οὐ προσίεται, οὕτως ἀναισχυντία τὴν κατὰ Θεὸν λύπην, οὐ προσδέχεται εὐμενῶς.

σιζ΄. Ὥς περ λύκῳ πρόβατον οὐ συνέρχεται εἰς τεκνογονίαν, οὕτως οὐδὲ κόρῳ, πόνος καρδιακὸς εἰς κύησιν ἀρετῶν.

σιη΄. Οὐδεὶς δύναται πόνον καὶ λύπην ἔχειν κατὰ Θεόν, ἐὰν μὴ πρότερον τὰς τούτων αἰτίας ἀγαπήσῃ.

σιθ΄. Φόβος Θεοῦ καὶ ἔλεγχος, εἰσδέχονται λύπην. Ἐγκράτεια δὲ καὶ ἀγρυπνία, προσομιλοῦσι πόνῳ.

σκ΄. Ὁ γραφικαῖς ἐντολαῖς, καὶ νουθεσίαις μὴ παιδευόμενος, τῇ μάστιγι τοῦ ἵππου καὶ τῷ κέντρῳ τοῦ ὄνου ἐλασθήσεται[62]. Εἰ δὲ καὶ ταῦτα ἀπώσεται, ἐν κημῷ καὶ χαλινῷ τὰς σιαγόνας ἀγχθήσεται[63].

εἶναι πιὸ ὠφέλιμη ἀπὸ τὴν [ἀρετή] ἑνὸς μέρους.

215. Ἐὰν κάποιος πέσῃ σὲ ὁποιαδήποτε ἁμαρτία καὶ δὲν λυπηθῇ ἀνάλογα μέ [τὸ βάρος] τοῦ σφάλματος, εὔκολα πέφτει πάλι στὴν ἴδια παγίδα.

216. Ὅπως ἀκριβῶς ἡ λέαινα δὲν πλησιάζει φιλικὰ τὴν μικρὴ ἀγελάδα, κατὰ τὸν ἴδιο τρόπο δὲν ἀποδέχεται εὐνοϊκά, ἡ ἀναισχυντία τὴν κατὰ Θεὸν λύπη.

217. Ὅπως ἀκριβῶς τὸ πρόβατο δὲν συνευρίσκεται μὲ τὸν λύκο μὲ σκοπὸ τὴν τεκνογονία, κατὰ τὸν ἴδιο τρόπο οὔτε ὁ καρδιακὸς πόνος μὲ τὸν χορτασμὸ μὲ σκοπὸ τὴν γέννησι τῶν ἀρετῶν.

218. Κανεὶς δὲν μπορεῖ νὰ ἔχῃ κόπο καὶ λύπη κατὰ Θεόν, ἐὰν πρὶν δὲν ἀγαπήσῃ τὶς αἰτίες τους.

219. Ὁ φόβος τοῦ Θεοῦ καὶ ὁ ἔλεγχος ἐπιτρέπουν τὴν εἴσοδο στὴν λύπη. Ἡ ἐγκράτεια δὲ καὶ ἡ ἀγρυπνία συνεφάπτονται [συνυπάρχουν] μὲ τὸν κόπο.

220. Ἐκεῖνος, ποὺ δὲν σωφρονίζεται μὲ τὶς ἐντολὲς καὶ τὶς νουθεσίες τῶν θείων Γραφῶν θὰ χτυπηθῇ μὲ τὸ μαστίγιο τοῦ ἵππου καὶ τὴν βουκέντρα τοῦ ὄνου. Ἐὰν ὅμως θὰ ἀποκρούσῃ καὶ αὐτά, μὲ φίμωτρο καὶ χαλινάρι θὰ σφιχθῇ στὶς σιαγόνες του.

σκα΄. Ὁ ὑπὸ τῶν μικρῶν εὐχερῶς νικώμενος, καὶ τοῖς μεγάλοις ἐξ ἀνάγκης δεδούλωται. Ὁ δὲ τούτων καταφρονῶν, τοῖς μεγάλοις ἐν Κυρίῳ ἀντιστήσεται.

σκβ΄. Μὴ πειρῶ ἐλέγχοις ὠφελεῖν τὸν ἐν ἀρεταῖς καυχώμενον. Διότι ὁ αὐτὸς καὶ φιλενδείκτης καὶ φιλαλήθης εἶναι οὐ δύναται.

σκγ΄. Πᾶν ῥῆμα Χριστοῦ, ἔλεον, καὶ δικαιοσύνην, καὶ σοφίαν ἐμφαίνει Θεοῦ, καὶ τὴν τούτων δύναμιν, διὰ τῆς ἀκοῆς ἐμβάλλει, τοῖς ἡδέως ἀκούουσιν. Ὅθεν καὶ οἱ ἀνελεήμονες, καὶ ἄδικοι, ἀηδῶς ἀκούοντες, τὴν τοῦ Θεοῦ σοφίαν γνῶναι οὐκ ἠδυνήθησαν, ἀλλὰ καὶ διδάσκοντα ἐσταύρωσαν. Καὶ ἡμεῖς οὖν σκοπήσωμεν, εἰ ἡδέως αὐτοῦ ἀκούομεν[64]*. Αὐτὸς γὰρ εἴρηκεν· ὁ ἀγαπῶν με, τὰς ἐντολάς μου τηρήσει, καὶ ἀγαπηθήσεται ὑπὸ τοῦ Πατρός μου, κἀγὼ ἀγαπήσω αὐτόν, καὶ ἐμφανίσω αὐτῷ ἐμαυτόν*[65]*. Βλέπεις πῶς τὴν ἑαυτοῦ ἐμφάνειαν ἐν ταῖς ἐντολαῖς ἐνέκρυψε; Πασῶν οὖν τῶν ἐντολῶν ἐστι περιεκτικωτάτη, ἡ εἰς τὸν Θε-*

221. Ἐκεῖνος, ποὺ νικιέται εὔκολα ἀπὸ τὰ μικρά, ἔχει ἀναγκαστικὰ ὑποδουλωθῆ καὶ στὰ μεγάλα. Ἐκεῖνος ὅμως πού [τὰ μικρά] τὰ καταφρονεῖ, στὰ μεγάλα μέ [τὴν βοήθεια] τοῦ Κυρίου θὰ ἀντισταθῆ.

222. Μὴν ἀποπειραθῆς νὰ ὠφελήσῃς μὲ ἐλέγχους ἐκεῖνον, ποὺ καυχᾶται γιὰ ἀρετές. Διότι δὲν μπορεῖ ὁ ἴδιος νὰ εἶναι καὶ φίλος τῆς ἐπιδείξεως καὶ φίλος τῆς ἀληθείας.

223. Κάθε λόγος τοῦ Χριστοῦ φανερώνει τὸ ἔλεος καὶ τὴ δικαιοσύνη καὶ τὴ σοφία τοῦ Θεοῦ καὶ τὴ δύναμί τους μέσῳ τῆς ἀκοῆς [τήν] βάζει μέσα σ᾽ ἐκείνους ποὺ ἀκούουν μὲ εὐφροσύνη καὶ πολλὴ εὐχαρίστησι. Ἑπομένως καὶ οἱ ἀνελεήμονες καὶ οἱ ἄδικοι, ἐπειδὴ ἀκούουν μὲ ἀποστροφὴ καὶ δυσαρέσκεια, δὲν μπόρεσαν νὰ γνωρίσουν τὴν σοφία τοῦ Θεοῦ ἀλλὰ καὶ Ἐκεῖνον πού [τήν] δίδασκε, [Τόν] σταύρωσαν. Καὶ ἐμεῖς λοιπόν, θὰ ἐξετάσουμε, ἐὰν μὲ αἴσθημα εὐφροσύνης καὶ γλυκύτητος, Τὸν ἀκοῦμε. Διότι Ἐκεῖνος ἔχει πεῖ: «Ἐκεῖνος, ποὺ μὲ ἀγαπᾶ, θὰ τηρήσῃ τὶς ἐντολές μου καὶ θὰ ἀγαπηθῇ ἀπὸ τὸν Πατέρα μου. Καὶ ἐγὼ θὰ τὸν ἀγαπήσω καὶ θὰ ἐμφανίσω Τὸν Ἑαυτό μου σ᾽ αὐτόν». Βλέπεις πῶς ἔκρυψε τὴν δική Του Παρουσία μέσα στὶς ἐντολές; Ὅλων λοιπὸν τῶν ἐντολῶν ἡ πλέον περιεκτικὴ εἶναι ἡ ἀγάπη

όν, καὶ τὸν πλησίον ἀγάπη· ἥτις ἐκ τῆς τῶν ὑλῶν ἀποχῆς, καὶ τῆς τῶν λογισμῶν ἡσυχίας, συνίσταται.

σκδ΄. Τοῦτο εἰδὼς ὁ Κύριος παραγγέλλει ἡμῖν λέγων· μὴ μεριμνήσητε περὶ τῆς αὔριον[66]· καὶ εἰκότως. Ὁ γὰρ τῶν ὑλῶν καὶ τῆς μερίμνης αὐτῶν μὴ ἀπαλλαγείς, τῶν πονηρῶν λογισμῶν πῶς ἀπαλλαγήσεται; Ὁ δὲ τοῖς λογισμοῖς περιεχόμενος, πῶς ἴδῃ τὴν ὑπὸ τούτων καλυπτομένην ἁμαρτίαν, ἐνυπόστατον; Ἥτις ἐστὶ σκότος καὶ ὁμίχλη ψυχῆς, ἐξ ἐννοιῶν πονηρῶν, καὶ πράξεων λαβοῦσα τὴν ἀρχήν· τοῦ μὲν διαβόλου, διὰ προσβολῆς ἀβιάστου πειράζοντος, καὶ τὴν ἀρχὴν ὑποδεικνύοντος· τοῦ δὲ ἀνθρώπου, διὰ φιληδονίας, καὶ κενοδοξίας, ἡδέως προσομιλήσαντος. Εἰ γὰρ καὶ κατὰ διάκρισιν οὐκ ἐβούλετο, ἀλλὰ κατὰ ἐνέργειαν ἡδύνετο καὶ παρεδέχετο. Ὁ δὲ ταύτην μὴ θεασάμενος τὴν περιεκτικὴν ἁμαρτίαν, πότε δεηθεὶς περὶ αὐτῆς καθαρισθήσεται; Ὁ δὲ μὴ καθαρισθείς, πῶς εὕρῃ τὸν τόπον τῆς καθαρᾶς φύσεως;

πρὸς τὸν Θεὸ καὶ τὸν πλησίον, ἡ ὁποία συνίσταται ἀπὸ τὴν ἀποχὴ ἀπὸ τὰ ὑλικὰ πράγματα καὶ τὴν ἡσυχία τῶν λογισμῶν.

224. Γνωρίζοντας αὐτὸ ὁ Κύριος μᾶς παραγγέλλει, λέγοντας: «Μὴν μεριμνήσετε γιὰ τὴν αὐριανὴ ἡμέρα». Καὶ εὐλόγως. Διότι ἐκεῖνος, ποὺ δὲν ἔχει ἀπαλλαγὴ ἀπὸ τὰ ὑλικὰ πράγματα καὶ ἀπὸ τὴν μέριμνά τους, πῶς θὰ ἀπαλλαγῇ ἀπὸ τοὺς πονηροὺς λογισμούς; Ἐκεῖνος δὲ ποὺ προσκολλᾶται στοὺς λογισμούς, πῶς νὰ δῇ τὴν ἁμαρτία, ἡ ὁποία κρύβεται ἀπὸ αὐτούς [τοὺς λογισμούς], ὅτι εἶναι ὑπαρκτή, [πραγματική]; Αὐτή, ποὺ εἶναι σκοτάδι καὶ ὁμίχλη τῆς ψυχῆς, ποὺ ἔλαβε τὴν ἀρχή [της] ἀπὸ πονηρὲς σκέψεις καὶ πράξεις. Ὅταν ὁ μὲν διάβολος μέσῳ τῆς χωρὶς ἐξαναγκασμὸ προσβολῆς, θέτῃ πειρασμὸ καὶ ὑποδεικνύῃ τὸ ξεκίνημα [τῆς ἁμαρτίας], ὁ δὲ ἄνθρωπος μέσῳ τῆς φιληδονίας καὶ τῆς κενοδοξίας [του] εὐχαρίστως κουβεντιάζῃ [μὲ τὸν διάβολο]; Διότι καὶ ἂν δὲν ἤθελε σύμφωνα μὲ τὴν διάκρισί [του], [ὅμως] μὲ τὴν ἐνέργεια [τὴν πρᾶξι τοῦ πειρασμοῦ] εὐχαριστεῖτο καὶ ἔστεργε. Ἐκεῖνος λοιπὸν ποὺ δὲν εἶδε αὐτὴν τὴν περιεκτικὴ ἁμαρτία, πότε προσευχόμενος γι᾽ αὐτὴν θὰ καθαρισθῇ; Ἐκεῖνος δὲ ποὺ δὲν καθαρίσθηκε, πῶς θὰ βρῇ τὸν τόπο τῆς καθαρῆς φύσεως;

Ὁ δὲ τοῦτον μὴ εὑρών, πῶς ἴδῃ τὸν ἐνδότερον οἶκον τοῦ Χριστοῦ; Εἴπερ οἶκός ἐσμεν τοῦ Θεοῦ, κατὰ τὸν προφητικόν, καὶ εὐαγγελικὸν λόγον, καὶ ἀποστολικόν[67].

